Μεσίτης ἐμεδέχθης Ἀρχιερεῦ, τῶ Θεῶ καὶ ἀθρώπων ὑπέρλαμπρος. σὺ γὸ φωτὴρ, ὠφθης ὑσεβείας θεοφεγγὴς, ἐ τῆς

τῆς ἀρθέν γρώσεως, ἐλεημοσύνης εἰσηγητής. δόσε Χρυσολόγε, καρδίας διαθέσει, μωῒ ἐπαξίως μεγαλύνομεν. Ψ.

Παρθένε δεδοξασμένη Μήτηρ Θεοῦ, τὸν ἀμαρτήσασε πόθῳ περίσωζε, τῇ παρασπῶν, ἔχλον διαλύσσα συμπαθῶς. Ὡς γὰρ Θεὸν γεννήσασα, πᾶσι ἔσα θέλεις ἐπιτελεῖς, αὐτὸς ἀκωλύτως, ἐ δώσασα Παρθένε, δόσε πᾶσι μεγαλύνομεν.

Καταβασία. Ἅπας γαγεμής.

Ἐξαπ. πρὸς, Ἐν Πνεύματι τῷ Γερῷ.

Ποῖς λησταυγέσι λόγοσσου, ἡ Χριστοῦ Ἐκκλησία, φαιδρύνεται λαμπρύνεται, ὦ Χρυσόστομε Πάτερ. ψυχὰς δὲ καταθύφαίμορται, τῶν πιστῶν γεραίρουσαι, τὴν παναγίαν σου μνήμην. Σὺ γὰρ πᾶσιν ἔφανες, μετανοίας ὁδηγὸς, ἐ προφήτης σωτηρίας.

Ἕτερον. πρὸς, Γυναῖκες ἀκτίσθητε.

Τὸν μεγαλόφωνότατον, τῆς μετανοίας κήρυκα, τὸν θησαυρὸν τῆ πίστεως, τὸ στόμα τῆς Ἐκκλησίας, τὸ λύσσον ἐ εὔλαλον, τῶν γραφῶν τὴν σαφήνειαν, Γωάννην τὸν παύσοφον, ἀνευφημήσωμεν πάντες, ὡς ὑπ' αὐτῶ σηειχθέντες.

Θεοτοκίον. Ὅμοιον.

Παρθένε παναμώμητε, Κυρίαμε καὶ Δέσποινα, τὸν σὸν Υἱὸν ἐκδυσώπει, σὺν τῷ κλεινῷ Χρυσοστόμῳ, παρασπεῖσαν ῥύσασθαι, πάντοτε τῶν ὑμνούντων σε, ἐ αἰωνίων τάξασθαι, τῇ ἀγαθῶν Παναγία. δώσασι γὰρ ὅσα θέλεις.

Εἰς τὸν Αἶνον. Πᾶσα πνοή. ἦχος πλ. δ. ἐ ψαλμῳδήσωσι, ἡ Χ. δ. ἐ δοξα σκεύασον.

Χρυσὸ πλαυγέστερον, τὰ ἱερά σου διδάγματα, προχέοντος Παῦσοφε, πλουτίζεις Χρυσόστομε, πεπονημένας φρενίας, ἐ ἀποδιώκεις, τῇ παθημάτων τὴν ἀχλὺν, φιλαργυρίας πικρὸν χειμώνα τε. διόσε μακαρίζομεν, ἀθανάτως καὶ τὴν κόρυσσα, τῇ Λεπτῶν σεβόμεθα, ὡς πηγὴν ἁγιάσματος.

Ὁ Ἴλλος ὁ πύργος, ὁ ποταμὸς ὁ τοῖς μαθοῖ, τῇ δυγμάτων κατῤῥύτος, ὁ μυῆς ὁ ἀρωσιος, τῆς Θεολογίας, τὸ παγχρυσον στόμα, ἀμαρτωλῶν ἐγγυητὴς, τῆς μεταυοίας κῆρυξ ὁ ἀθεος, φωστὴρ ὁ διαυγέστατος, ὁ ἐπουράνιος ἀθρωπος, ὁ μακάριος σήμερον, ἀυνμνείσθω Χρυσόστομος.

Ἥλιος πολύφωτος, τὴν οἰκουμένην τοῖς λόγοσι σας, καταυγάζων γεγένησαι, ἀστὴρ φαεινότατος, λαμπὰς φαεινοτάτη, πυρσὸς τοὺς θαλάσσης, τῇ κοσμικῇ διαπαντὸς, χειμαζομένους ὁ πρασκαλούμενος, πρὸς ὅρμον γαλινότατον, τῆς σωτηρίας ἀ χάριτι, χρυσολόγε Χρυσόστομε, πρέσβευε τῇ ψυχῶν ἡμῶν.

Δόξα. ὁ. Πάτερ Ὅσιε, προσωμίλησας θλίψεσι, πικραῖς ζωσίασε. ἀ αἷς κέκοσμησαι, μακαρία τέλος, οἷα γεραιὸς ἀθλητὴς, καταπαλαίσας τὸν πολυμήχανον. ἐ μίκης διαδήματι, σὲ ὁ Χριστὸς ἐστεφάνωσαι, Γωάννη Χρυσόστομε, πρέσβευε τῇ ψυχῶν ἡμῶν.

Καὶ νῦν. τῆ. Ἀμπολία.

Χρυσέοις ἔπεσι, ἐ Θεοφθόγγοις διδάγμασι, κατακοσμήσας τὴν τῶ Θεῶ Ἐκκλησιαν, πλάστον πνεύματικὸν ἐθησαύρισας ἐν αὐτῇ, τὰ σα Θεοπαράδοτα λόγια. διὸ σέφανον ἐκ ἀκηράτου ἀρετῆς, πλεξαμενη τοῖς ἁγίοις, τῇ ἱερᾶς προσφέρει μνήμη, παγχρυσε τῇ ψυχῇ σου τῇ γλώττῃ, Γωάννη Θεόσοφε. ἀλλ' ὡς ἔχων παῤῥησίαν Ὅσιε, πρέσβευε ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον. Ὅμοιον.

Ἑαυτοῦ πνεύσεξαι, τὰς δεήσεις τῶν δούλων σου, ἐ λύτρωσαι ἡμᾶς, ἀπὸ πάσης σῤῥύσεως ἐ θλίψεως.

Δοξολογία Μεγάλη, ἐ Ἀπόλυσις.

Δίδεται ἐ ἄγιον ἔλαιον τοῖς Ἀδελφοῖς.

Εἰς τὴν Λειτουργίαν Τυπικὰ, ἐ ἀπὸ τῶ Καρόμος, Ὡ δόξα. ἐ. Ὁ Ἀπόστολος.

Ἀδελφοί, τοσοῦτον ἡμῖν ἔπρεπεν Ἀρχιερ.

Εὐαγγέλιον κῆ Γωαννη.

Ἐν τῷ ὁ Κύριος, ἐγώ εἰμι ἡ θύρα.

Κοινωνικόν. Μία τοίμνη, εἰς Ποιμήν.

Κοινωνικὸν. Εἰς μνημόσυνον αἰώνιον.

Τὰ

Τῷ αὐτῷ Μηνὶ, ΙΔ'.

Τὸ Ἁγίου ἀθλοφόρου καὶ παμφωτάτου Ἀποστόλου Φιλίππου. Εὐσεβείας ὁδὸν, τὸν, Κύριε ἐπέκραξα, ἐτῶμεν δ. ς'. καὶ φαλοῦμεν ἤ. προσόμοια. ὃχ, ἦ. β.

Ὅλων ἀποθέμενοι.

Ἀρχὴν μὲν ἐπίβασιν, εἰλικρινὲς θεωρίας, θεωρίαν τέλος δὲ, φιλοθέου πράξεως μάκαρ θέμενος, τὴν Χριστοῦ ἠξίωται, τοῦ Πατρὸς τὸν λόγον, ὑποδεξάμενος τὸν ἄφραστον. ἐν ᾧ ἐφίεται, πᾶσα λογικὴ φύσις ἐδόξασε, Θεὸν τὸν ὑποστήσαντος, ἐν ᾧ ποθήσας τετύχηκας, τὰ τὰ παραυτίκα, δεξάμενος σφραγῖδα τὴν Τίον. ᾧ πρέσβευε δυσωπῶν, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Θείας ἀναβάσεσι, διαπρεπὴς κεχρημένος, ὡς Μωσῆς τὸ πρότερον, τὸν Θεὸν θεάσασθαι ἐπετήδευσας. ἐν ᾧ γνωστῶς εἶδες δὲ, τὸν ἀυτῶ εἰκόνα, δεδεγμένος πρὸς ἐμφέρειαν. Πατρὸς γὰρ σωτῆρος, γνῶσις ὁ Υἱὸς ἐν ἀπαθείᾳ, Υἱὸς δὲ ἐν Γεννήτορι, μία ἡ ὐσία γνωρίζεται, ἐν δὶα παντὸς, ταυτότης ἀναφέρεται σεπτῶς, ἐν Βασιλεία ἐν δυνάμει, δόξα ἐν προσκυνήσει.

Ὄργανον πρόμουσον, ταῖς θείαις ἐπιπνοίαις, ἐν ταῖς ὑφηγήσεσι, τῶν Ἁγίων Πνεύματος ἐνεκρατίσω, ἐν τῷ περιρρυτῷ, μελῳδῶν ἐν Κυρίῳ, τὸ Σωτῆρος Εὐαγγέλιον, πανόργανα σοφώτατε. πᾶσαν γὰρ ἀπάτην κατεβόλλεσε, ὡς ὑλῶν ἀκαταπήκτων, ἐν ὡς χάρτην γῆς παραιρούμενον. ἐν τῶν ἐπὶ πᾶσιν, Δεσπότην τὸν ἐν Κύριον Χριστὸν, τῇ Οἰκουμένῃ ἐκήρυξας, Φίλιππε θεοπρεπῆ.

Δόξα, ἦχος, πλ. β. Βυζάντιος.

Τὸ μεγάλου Φιλίππου φωτὸς, ταῖς ἀφραπάσι πυρωθεῖς, παγκάσμους ἐξέλαμψας φωτὸς. τὸν ἀστέρα δὲ τῷ φώτων, τῷ Υἱῷ ζητήσας εὗρες. ἐν τῷ φωτὶ τὸ ζῆν γὰρ ὥρισται. ἐν δὲ ὄντος σφραγῖδι ἐπέτυπος διὰ τῶν ἀρχετύπων. ὧν Ἀποστόλε δυσώπει, τοὺς ἐσφραγισμένους τῷ θείῳ, παναγίῳ αἵματι.

Καὶ νῦν. Θεοτοκίον.

Τὸ μήτηρ ἀμέσως Χριστέ.

Φιλώσας ὁ ἀρτίδικος, τὸν ποίμνιόν σου Παμμάκαρτε, καθ' ἑκάστην, ἐκλιτεῖ ὁ πτωχὸς, καταβρωμα ποιῆσαι. ἀλλὰ σὺ Θεοτόκε, τῆς νῦν ὀλοβὸς ἄξελε ἡμᾶς.

Σταυροθεοτοκίον. Ὁμοιον.

Ταὐτὸν τὸν ἀφομοίωτον, ἀδίκως καθήλωσε, ἐπὶ Ξύλου, ὁ Παρθένος ἐξ ἁγνῆς, καὶ Μήτρας ὁρῶσα, ὡς Συμεὼν προσέφη, τὰ σπλάγχνα Σῶτερ διετέμνετο. Εἰς τὸν ἓ. τῆς Ὀκτωήχου, ὃ ταῦτα τὰ ἓ. ἦχος, πλ.

Ὦ τῆς παραδόξου θαύματος.

Ὦ τῆς παραδόξου θαύματος. ὁ τῆς ἰχθύος πατὴρ, σαγηνεύων Ἀποστόλους, τῶν εὐθρώπων γέγονεν, ἁλιεὺς θεοπρέπεστος. λόγῳ σαγήνῃ, ἐζώγρησε. Σταυρῷ ἀγκίστρῳ, Κόσμον ἀνεῖλκυσεν. ὦ οἷον θέαμα, τῷ Χριστῷ προσάγαγε, ὁ Δεσπότης, ὅτερ τὸ μυστήριον, μὴ ἐσιωπήσαμεν.

Εἰς πάσας τὰς γῆς ἐξῆλθεν.

Ὦ τῆς παραδόξου θαύματος. ἀποστολικὸς ἐκ Θεοῦ, ὁ Ἀπόστολος Φίλιππος, μέσον λύκων πρόβατον, ἀπεστάλης ἡμῖν πρόμος. τῆς θήρας ἄρμες, πίστει ἀνελάξε. τὸν Κόσμον θείοις, μετεσχημάτισας. ὦ ἔργα πίστεως. ὦ δυνάμεις ἄφατοι· ἐν ταῖς ἀχαῖς, σῶσον τὰς ψυχὰς ἡμῶν, ὡς μόνος εὐσπλαγχνίος.

Στιχος. Οἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ.

Ὦ τοῦ παραδόξου θαύματος. Φρέαρ πηγάζων ζωῆς, ἐμισθώσω ἀμνάδα, ταῖς ἐν Κόσμῳ πέφηνεν, ὁ Ἀπόστολος Φίλιππος. ἀφ' ὑπερρεῖθρα, δογμάτων πρέσεσιν, ἐξ ὧν θαυμάτων, ῥάμματα πηγάσας, ὧν οἷα δέδρακε, φοβερὰ τερατεία ὁ θεουργός. οὗτος τὸ μυστήριον, πίστει γεραίρομεν.

Δόξα, ἦχος, β. Βυζαντ.

Καταλιπὼν τὰ ἐπὶ γῆς, ἠκολούθησας Χριστῷ. ἐν σφραγισθεὶς, τῷ ἐμφανίματι τῷ Ἁγίῳ Πνεύματος, ἀπεφάλιος ὑπ'

ὑπ' ἀωτῶ, ὡς τὰ ἔθνη τὰ ἀπολωλότα, ἐπιστρέφεται ὁ Σωτὴρ πάντας, εἰς φῶς θεογνωσίας, Φίλιππε Ἀπόστολε. Ἐ τελέσας τὴν ἀγῶνα τῆ θείᾳ πίστει, διὰ βασάνων πολυτλήκων, τῶν ψυχῶν τῷ Θεῷ παρέδωκας. ἀυτὸν ἱκέτευε Παμμακάριστε, δωρηθῆναι ἡμῖν τὸ μέγα ἔλεος.

Καὶ μετὰ. Ἐξ. Ὅτε, ἐκ τῆς ξύλης.

Λέξαι, τῶν ἱκέσιον ᾠδὸν, τῶν σῶν οἰκετῶν Θεοτόκε, ὡς σοι προσφέρομεν, Δέσποινα βοήθησον, ἀπερισκέπτους ἡμᾶς. Ἐ κινδύνων ἐξάγαγε, τὴν ποίμνιόν σου ταύτην, πάσαις προστάτευσαι, ὡς τῷ σπήλαιῳ ποτε, σὺ γὰρ, τὸν Σωτῆρα τεκοῦσα, ἔχεις παῤῥησίαν ὡς τοιαύτη, Μήτηρ ἱκετεύειν τὸν σωθῆναι ἡμᾶς.

Σταυροθεοτοκίον. Ὅμοιον.

Ὅτε, ἡ Ἀμίαντος Ἀμνὰς, ἔβλεψε τὸν ἴδιον Ἄῤῥα, ἐπὶ σφαγὴν ὡς βροτὸν, θέλοντα ἐλεήμονα, θρηνοῦσα ἔλεγεν. ἀτεκνώσαι μοι κατάδικε με, Χριστὲ τὴν τεκοῦσαν, τί τοῦτο πεποίηκας, ὁ Λυτρωτὴς τῶν πάντων ὅμως, ἀρνοῦμαί σε δοξάζω, σὲ τὴν ὑπὲρ μῆτρα ἐ λόγως, ἄνερον ἀγαθότητα φιλανθρωπε.

Τροπάριον. Ἦχος, γ.

Ἀπόστολε Ἄγιε Φίλιππε,
Εἰς τὸν Ὄρθρον, ἡ σωτηρία ἄλλο. Οἱ Καμάρες τῆς Οἰκουμένης, ἐ τῇ Ἀγίᾳ Ἀποστόλῳ ὡς ἑ. Οὐ ἡ ἀκροστιχίς.
Τὸν ἀκλεᾶ Φίλιππον ὑμνῶ πυῤῥόχρωτα.

Θεοφάνους.

Ὠδὴ, ἀ. Ἦχος, ἢ. β'.

Ὡς ὑ ὑπερφώτου ἀκτῖσι τῆς τῶ Χριστῶ, Θεϊκῆς λαμπρότητος, ἐῤῥιδωμένος σταθεῖς, Θεοκήρυξ Φίλιππε ταῖς σαῖς, κῆ μεθέξεσιν αὐγαῖς, ἡμᾶς καταύγασον.

Ὦ τῆ Πατρὸς σοι τὸν δόξαν δι' ἑαυτῶ, ὑπιδεῖξας Φίλιππε, τῶ χριστῶ τῆ Μαθητῆ, σὲ Χριστὸς ἐκτάξε τὸν σὸν, προγράμμων ἀρετῶν, Θεομακάριστε.

Νεῦ ἐκ αἰτήμασι βλέπεις ὧδε σκιᾶς, ὧδ' ἐπάντησον παῖσοφε, τὸν πυγμὴ τῆ ἀγαθῶν, ἀρετῆ τὸ ἔκατον Χριστοῦ, ἀλλὰ πρόσωπον ὀργῆς, σαφῶς πρὸς πρόσωπον.

Θεοτοκίον.

Ἐκλελεκτόπων Ἀρχόμπων ἐκ τῆς φυλῆς, τῆ Γαβδα Παῖαγε, ὁ Υἱὸς σε Θεοῦ, προελθὼν Ἡγούμενος τῆς γῆς, τῆ περάτων ἀληθῶς, μῶ ἐβασίλευσεν.

Ὠδὴ, γ'. Οὐκ ἔστιν Ἅγιος ὡς σύ.

Ὑπάρχων ἐμπλεως φωτὸς, πρακτικῆς θεωρίας, τῶ φωτὶ τῶ μεγάλῳ, γενόμενῳ μεθ' ἡμῶν, κατηξιώθης Χριστῷ, λειτουργῆσαι, Φίλιππε θεοπέσιε.

Ῥητὸς δογμάτων ἀσεβῶν, ἡ σὺ μεταγωγία, ἀσεβῶν ἀφειλκύσθη. δι' ἀυτῆς γὰρ τὸν Υἱὸν, ἐπέγνωμεν ἀσεβῶς, ἰωώμεθα, ὕμνα τῆ Τριήτου.

Ψυχικὰ γέγωνας χρυσὶ, δαδηχῶν τοῖς αὐθρώποις, τὸ αἴδιον φέγγος, καὶ φωτίζων δι' αὐτοῦ, τὸν Οἰκουμένην σαφῶς, ἐπιγνώσει, Φίλιππε παμάκριστε.

Θεοτοκίον.

Ἐπὶ σοὶ Παῖαγε σεμνὴ, πεποιθὼς μὴ ἐκπέσω, τῆς εἰς σὲ προδοκίας. ἀλλ' ὡς Μήτηρ συμπαθὴς, τοῦ φιλανθρώπου Θεοῦ, τῆ παγίδων, τῶ ἐχθρῶμε λύτρωσαι.

Ὁ Εἱρμός.

Οὐκ ἔστιν Ἅγιος ὡς σύ, Κύριε ὁ Θεός. ὡς. ἦχ., ἢ. Τ' ὦ Σοφίαν καὶ Λόγον.

Ἐλαμπρ τῶν δαιμόνων ἀφανισθεὶς, ἐ φανὴρ τῆ ἐν σκότει ἀποφανθεὶς, ἐδέξας τὸν Ἥλιον, ἐκ Παρθένου ἐκλάμψαντα. ἐ μᾶς ἀθλῶν, σωτηρίας ὑμνήσας Ἐκκλησίας μάκαρ, ἐς δόξαν Θεῦ ἡμῶν. ἄθεμιτα πράξαντες, ἐ τῶν θείων σε μιμεῖσθαι, λαμπρῶς ἐπιτρέψομεν, ἐ συμφώνως βοῶμεν σοι· Ἀπόστολε Φίλιππε, πρέσβευε Χριστῷ τῷ Θεῷ, τῆ πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ, τὸν Ἅγιόν μνήμησου.

Δόξα. Ἕτερον. Ὅμοιον.

Ὁμβροθόρος Νεφέλη πνεματικὴ, ἀληθῶς ἐφάνης τοῖς ἐπὶ γῆς, ποτίζων ὡς ἄρδαν, μυστικῶς τὰς καρδίας ἡμῶν. διαῤῥαίνων γὰρ τῷ λόγῳ, πότισας τὰ τέρατα, ἐ ὑετὸς προχεὰς, τῶ ῥίζα τῆ λαρυακι. ὕδωρ διαπράσας, ταῖς ἀπίστοις

ΤΑΜΕΙΟ

ςοις καρδίαις, ὁσμὴν τὴν τῶ Πνεύματος, ἐμαυτοῖς ἐδηαύρισας, Λ'πόστολε Φίλιππε, πρέσβυς Χριςῶ τῷ Θεῷ, ἧ πεπασμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζυσι πόθῳ, τὴν ἁγίαν μνήμωσιν.

Κοντάκιον. Θεοτοκίον. Ὅμοιον.

Ψυχὴν μὲ Παρθενίας τὴν πεπερισὴν, ἀποβρέψασα μολυσμάτων ὁμαρὸς, ἐλύτρωσε ξ πράξεσιν, ἐμαυτὸν κατερρύπωσα, καὶ ὐκ ἔχω τί πράξω, ἢ πῶ καταφλέξασθαι. ἀλλ' ἐλπίδα, πλὴν σὴ Κόρη ἐπίσαμαι. φεῦσαι ὁ ἀχρεῖος, διὰ τῶτο ἱκέτης, πρὸς σὲ τὴν Παρθένον, γνῶσιν φέρω ξ δέομαι, ὁμολογῶσοι τὸ ἁμάρτημ. πρέσβευε τῷ σῷ Υἱῷ ξ Θεῷ, ἧ πταισμάτων ἄφεσιν δυθῆναί μοι. ὡς σὲ γὰρ πᾶσαν ἐλπίδα ἀνέθηκα.

Σταυροθεοτοκίον. Ὅμοιον.

Τὸν Θεὸν ξ Δεσπότην καὶ Λυτρωτὴν, ἡ Ἀμνὰς θεωρῆσα ἐν τῷ Σταυρῷ, ἀδίκως κρεμάμενον, θρηνῳδῆσα ἐβόασεν. ὁ μὲν κόσμος ἀθρεῖται, δεχόμεως τὴν λύτρωσιν, τὰ δὲ ασλάγχνα μὲ φλέγονται, ὁρῶσησον τὴν μήτρωσιν, ἣν περ ὑπομείνας, διὰ ασλάγχνα ἐλέυς, Θεὲ ὑπεραγαθε, ἀνέξικακε Κύριε. διὸ Σῶτερ κραυγάζωσοι· ἀνάγαγε ἐκ τῆς μήτρως, ξ λύτρωσαι τὴν ποίμνισσα, ἐκ πάσης περιστάσεως.

Ἀναβαθμοὶ, δ'. Χρισὸς μὲ δυνάμις.

Ἥλιε σκιώμενε, Χριςῷ τῷ ὄντως φωτὸς, ξ Νοὸς ἀνεδείχθης χωρητικὸς, τότε τῆς λαμπρότητος, ξ Οὐρανὸς δόξαν Θεῦ, τοῖς ἀνθρώποις δηγήσατο.

Φθαρέσαν πάθεσι, τὴν ἀνθρωπότητα, ἐμβλήθεὶς θεῖον ἅλας παρὰ Χριςῷ, ταύτης ἀνέφηνας, τὴν ὑκπεδόσαν τὴν δαμὼν, Θεοφάτωρ ἀξιάγασε.

Ἔχυ Φίλιππε, Χριςοῦ ῥωμαίμενος, ἧ δαιμόνων τὸ σίφος ξ δυσσεβῶν, ὤφθης δυνατώτερος, τοῖς ἐπὶ γῆς ἀνακρούων, ζωῆς θεῖας ἀγγελία.

Θεοτοκίον.

Ἡμέρα εὔδιον, Χριςὸς ἀνέδειξε, τοῖς ἐμπίσει ξ πόθῳ σε ἀληθῶς, Δέσποινα μὲ Παρθένε, ἐκ διανοίας καθαρᾶς, Θεοτόκον κατηγγέλκυσιν.

Ἀναβαθμοὶ, ε'. Τῷ Θεῷ φέγγεσι ἀγαθέ.

Τὸν ψυχολέθρον τοῦ ἐχθροῦ, ταῖς ἀλεξικάκοις σε, Θεόρημον παλάμαις ξήκρασας, τοὺς θαρσαλέους κεκρατημένους θυμῷ, χαλεπῆς ἀλγηδόνος, ἀφαρύομενος.

Τυρίμνους ἅλος ἀφάδεκτος, ἧ τοῦ Παρακλήτου ἐπιδημία, καὶ χάρις Φίλιππε, τοὺς ἀποφυγόντας, ἀμαθείας κρυμῷ, ἧ πίσεως θέρμῃ, ἐζωοποίησας.

Πλησίον γέγονας τῷ Χριςῷ, τοὺς διδυμαίους σοι λαμπαδόρας, ἀμέσως δεχόμενος, καὶ διαβιβάζων πρὸς σοὺς προφρέχοντας, φωτίζων καὶ προσάγων, τούτους τῷ Κτίσῃ σε. Θεοτοκίον.

Ὁ λόγφ πάντας δημιργῶν, καὶ σοφῇ προμοίᾳ κυβερνῶν, μόνος ὡς βέλεται Κύριος, ὑπὲρ ἀνθρώπων, δημιργέται ἐκ σοῦ, καὶ σαρξ ἀφθόρως, Πάναγνε γίνεται.

Ὠδὴ, ς'. Σωθείχθη, ἀλλ' ὁ κατεχέθη.

Ἡσυχάσας, καὶ λυμαινομένου, βλέπων τὴν πλανῶν τῷ ἐχθρῷ, τὸ ἴδιον ἀνθρώπων γένος, τὰ σὰ βέλη τὰ ἐκσφενδόμενα, τοὺς Ἀπόστολους, πάρας ἐξαπέφηλας, ξ διώξεις θώρακος πτύξιν, Χριςὲ τῷ δράκοντος, ἅπαντας τῆς ἀπάτης, λύσας ξ φθορᾶς Σῶτερ κόσμου.

Ὑπερτέρως, φέγγα καταλάμπων, ὥφθης καθαπερ ἀφράτοις, ἧ Οἰκουμένῃ φαίνων, ξ ὡς ὄρος γλυκασμὸν γαλάζων, ὡς Θεῦ δρόσος ἀναθόν τι πνέσα, ὡς Ἀπόστολος ἐκλελεγμένος, τὴν δωδεκάφυλον, φαλαγγα συμπληρῶν, τῶν τῶν Μαθητῶν Χριςῷ παρίλβιε.

Μυηθείς σε, τὸ τῆς μυήσεως, βάθος ὁ Θεῖος Μαθητὴς, ὡς ποταμὸν εἰρήνης, ἐπικλύζοντα πᾶσι χειμάρρους, ὡς ἐπικλύζων, κῦμα δόξης ἔμεσι, σε ἐκήρυξε μεγαλοφώνως, ἐν τῷ μῷ ἀρδόξου, καρδίαν ἀγαθὲ, τῶν ὑπὲρ ἡμῶν ἀνηγγελίσατο.

Θεο-

Θεοτοκίον.

Νεκρημένος, ἢ λυμαινομένος, πάντας θαμάτῳ τοὺς βροτοὺς, σὺ τὸν Χριστὸν τεκοῦσα, τὴν ἀκήρατον ἀθανασίαν, ἀνεκαλέσω, πρὸς ζωὴν αἰώνιον, ἢ ἐφώτισας ἐσκοτισμένος, ἢ ἠλευθέρωσας, λύσασα τὰ δεσμὰ, τῆς ἀπαγωγῆς ἡμῶν Παρύμνητε.

Ὁ Εἱρμός.

Συνεχέθη, ἀλλ' οὐ κατεχέθη, στέρνοις.

Κοντακιον, ἦχος, πλ.

Ὡς ἀπαρχὰς τῆς φύσεως.

Ὁ Μαθητὴς ἢ φίλος σου, καὶ μιμητὴς τοῦ πάθους σου, τῇ Οἰκουμένῃ Θεόν σε ἐκήρυξεν, ὁ Θεηγόρος Φίλιππος. ταῖς αὐτοῦ ἱκεσίαις, ὀξ ἐχθρῶν παραμόμων, τὴν Ἐκκλησίαν σου, ἢ πᾶσαν πόλιν σου, διὰ τῆς Θεοτόκου συντήρησον Πολυέλεε.

Ὁ Οἶκος.

Ῥεῖθρα λόγου παράσχομαι Κύριε, ὁ ὑδάτων τὴν φύσιν δειμάμενος. τὴν καρδίαν μου στήριξον Δέσποτα, ὁ τὴν γῆν στερεώσας τῷ λόγῳ σου. ἢ φωτισόν μου τὴν διάνοιαν, ὁ τὸ φῶς ὡς χιτῶνα ἀναβαλλόμενος. ἵνα λέγω ἢ ψάλλω τὰ πρέποντα, ἢ ἀξίως ὑμνήσω τὸν σὸν Μαθητὴν Πολυέλεε.

Τῷ αὐτῷ Μηνὶ, ΙΔ'. Μνήμη τοῦ Ἁγίου ἐνδόξου καὶ παναυφήμου Ἀποστόλου Φιλίππου, ἑνὸς τῆς πρώτης χορείας τῶν Δώδεκα.

Δ. Ἀρθεὶς Φίλιππος ἐκ ποδῶν ἐπὶ ξύλου,

Τὰ τῶν ποδῶν σοι νίπτρα Σῶτερ ἐκτείνει.

Ἤρθης κἀκ κεφαλῆς δεκάτῃ Φίλιππε τετάρτῃ.

Οὗτος ἦν ἀπὸ Βηθσαϊδᾶ τῆς Πόλεως, συμπολίτης Ἀνδρέου καὶ Πέτρου. Πολὺς δὲ ὢν ταῖς βίβλοις τῶν Προφητῶν προκείμενος, παρθένος διὰ βίου παντὸς ἐγνωρίζετο. Τοῦτον εὑρὼν ὁ Χριστὸς μετὰ τὸ Βάπτισμα ἐν τῇ Γαλιλαίᾳ, προετρέπετο ἀκολουθεῖν. Ὁ δὲ μετὰ τοῦτο συντυχὼν τῷ Ναθαναὴλ, ἔφη· εὑρήκαμεν Ἰησοῦν τὸν Υἱὸν Ἰωσὴφ, τὸν ἀπὸ Ναζαρέτ. ἢ ἄλλα πολλὰ ἕτερα, ἅ ἐστιν ἐν τῇ θεοπνεύστῳ Γραφῇ κείμενα περὶ αὐτοῦ. Οὗτος τὴν Ἀσιάτιδα γῆν κληρωθεὶς, τὸν Βαρθολομαῖον εἶχε συνεπόμενον, ἢ συναπτόμενον τοῦ κηρύγματος. Σαρκικὴ δὲ αὐτοῦ ἀδελφὴ οὖσα ἡ Μαριάμνη, τούτοις ἀκολουθοῦσα διηκόνει. Ἐπεὶ δὲ τὰς τῆς Μυσίας ἢ Λυδίας διέβησαν Πόλεις εὐαγγελιζόμενοι, καὶ πολλοὺς ὑπὸ τῶν ἀπίστων πειρασμοὺς ἢ θλίψεις ὑπέμειναν, μαστιγούμενοι, ῥαβδιζόμενοι, ἐγκλειόμενοι, λιθαζόμενοι, κατέλαβον τὸν ἠγαπημένον Μαθητὴν ἢ Θεολόγον Ἰωάννην, κατὰ τὴν Ἀσίαν κηρύττοντα τὸν Χριστόν. ὅτε ἢ ἡ τοῦ Ἀνθυπάτου γυνὴ Νικάνορος ἐπίστευσε, καὶ ἡ τοῦ Στάχυος οἰκία ὑπὸ τοῦ Ἀνθυπάτου ἢ δήμου κατεκαύθη. Ὁ δὲ Φίλιππος ἐπὶ τῆς πλατείας συρεὶς, εἶτα τοὺς ἀστραγάλους τρυπηθεὶς, ἐπὶ τοῦ ξύλου ἀνηρτήθη. καὶ οὕτως εὐξάμενος, τῷ Θεῷ τῷ Πνεῦμα παρέθετο. Αὐτίκα δὲ ἡ γῆ τρόμῳ ληφθεῖσα, ἢ ἦχον ἐκπέμψασα ἐσχίσθη, καὶ πολλοὺς τῶν ἀπίστων κατέπιεν. Οἱ δὲ λοιποὶ φοβηθέντες, τῷ Βαρθολομαίῳ ἢ τῇ Μαριάμνῃ προσέπεσον ἔτι κρεμαμένου αὐτοῦ. Καὶ λύσαντες αὐτοὺς, προσῆλθον τῇ ἀληθινῇ πίστει. Εἶθ' οὕτω συνέστειλαν τὸ λείψανον τοῦ Ἀποστόλου. ἢ τὸν Στάχυν Ἐπίσκοπον ἐν τῷ Βυζαντίῳ καταστησάμενοι, αὐτοὶ ἐν Λυκαονίᾳ ὀξέδραμον.

Ἐκ τῶν Θαυμάτων τοῦ Ἀποστόλου.

Οὗτος ὁ φαεινότατος ἀστὴρ καὶ μέγας τοῦ Κυρίου Ἀπόστολος, ὡς ἐπ' αὐτὴν ἤει τὴν Γαλιλαίαν κηρύσσων. ἔτι τῷ βίῳ περιὼν, γυναῖον αὐτῷ προσυπαντᾷ, ἐκκομίζον Παιδίον τεθνηκὸς, ἢ οἷα Μήτηρ, ἀμέτρως ἐκόπτετο. Ταύτην ὁ κηρύσσων κατοικτείρας, ἢ τὴν δεξιὰν τῷ τεθνηκότι προτείνας, Ἔγειραι, κελεύει σοι ὁ ὑπ' ἐμοῦ κηρυττόμενος ἔφησεν, Ἰησοῦς ὁ Χριστός. ἢ ὁ λόγος ζωτικὴν αὐτῷ ἔδωκεν ἀνέγερσιν, καὶ τῇ πανθούσῃ βακτηρίαν τὸν ἀναστάντα γενέσθαι πρὸς τὴν οἰκίαν παρεσκεύασεν. Ἡ δὲ τῶν ἰχνῶν τοῦ Θαυματουργοῦ δραξαμένη, ὃν ἀνέστησας ἔλεγε, δι' ὕδατος

δατος ἀναγεννήσον σὺν ἐμοί. Καὶ τυχοῦσα τῆς χάριτος, Ἀπόστολος ἐγεγόνει, πᾶσιν εὐαγγελιζομένη τοῦ Υἱοῦ αὐτῆς τὴν ἀνάστασιν.

Ἦ γε δὲ τοῦτον καὶ ἐπ' Ἀθήνησιν, ἔνθα τὸ ἁπλοῦν τοῦ λόγου κἂν εὐτελίζειν οἱ Ἀθηναῖοι ἐβούλοντο, ἡ πρᾶξις τῶν παραδόξων τούτοις ἀντεπισχεῖν ἔπειθε. Καὶ λοιπὸν τί δεῖ πράττειν ὀφείλομεν, ἔλεγον, ἡμεῖς οἱ περὶ λόγους ἐσσουδακότες, τούτου τοῖς λόγοις ἡττώμενοι; καὶ γὰρ ὡς ὁρᾶτε ἄγροικος οὗτος καὶ ἄπολις, ἐν δὲ τοῖς ἔργοις ἡμῶν ἐγκρατὴς καὶ περιφανὴς ἀναδείκνυται. Τοιγαροῦν δι' ἐπιστολῆς σημανοῦμεν τῷ Ἀρχιγραμματεῖ τῶν Ἰουδαίων ἐν Ἱερουσαλήμ. Καὶ τὸ δόξαν οὗτοι κρατύναντες, ἱκανὸν πρὸς τὸ λέγειν ἐξαποστέλλουσιν. Ὁ γοῦν ἀποσταλεὶς, ἔσω τῆς Ἱερουσαλὴμ γεγονὼς, μετὰ τὴν ἐπίδοσιν τῆς γραφῆς, διὰ λόγων τοῖς Ἄρχουσιν ἐπετράνωσε τὰ τῆς γραφῆς λέγων. Τοὔνομα Φίλιππος ἐκ τῶν ὧδέ τις λέγων εἶναι, ἀφίκετο πρὸς ἡμᾶς. ὃς ἄγροικον μὲν ἐπιφέρεται λόγον, οὐ μικρὸν δὲ τὴν ἡμῶν ἐπισείων καρδίαν καὶ πατρίδα, καινὸν διαγγέλλων ὄνομα Ἰησοῦν. ᾧ καὶ χρώμενος ἐπὶ γλώττης, ἀποτρόπαιον ἔχει δαιμόνων καὶ νοσημάτων παντοδαπῶν. Ἀλλάγε σὺν τούτοις, καὶ τὸ κατ' ἔκπληξιν ἔπραξεν, ἀπολιπόντα τινὰ τὸν βίον, καὶ πρὸς τὸν χῶρον τῶν τεθνεώτων μεταχωρήσαντα, τῇ τοῦ Ἰησοῦ προσηγορίᾳ ἀνέστησε. Λείπεται τοιγαροῦν οἴχεσθαι τὰ ἡμῶν, καὶ τὰ τούτου αὐξάνεσθαι, εἰ μὴ τάχιόν τις πρὸς ἡμᾶς ἐξ ὑμῶν παραγένοιτο. Καὶ δὴ ἐξαυτῆς μετὰ σοβαρᾶς καὶ ἀλαζονικῆς φαντασίας τὴν Ἑλλάδα ὁ Ἀρχιγραμματεὺς καταλαμβάνει, κατὰ Φιλίππου σφόδρα χαλεπαίνων. Καὶ μήτε ἄρτου γευσάμενος, μητέ τινος ἄλλου τῶν σώματι χαριζομένων, ὑψηλὸν αὐτῷ γενέσθαι βῆμα παρηγγυᾶτο. Καὶ τὴν ἔξαλλον τῆς Ἀρχιερατικῆς χλαμύδα περιβαλὼν, εἰς τὸν δικαστικὸν πεφυσιωμένος ἄνεισι θρόνον, πάντων τῶν ἐλλογίμων τῆς Πατρίδος, καὶ τῶν σὺν αὐτῷ παραγενομένων, μετὰ δέους παρεστηκότων. Ὅμως προσκληθεὶς ὁ Ἀπόστολος μέσον, τῷ Ἀρχιερεῖ ἀπολογησόμενος ἵστατο. Καὶ πρὸς τὸν Ἀπόστολον ὁ Ἀρχιερεὺς οὕτω προσήρετο. Οὐχ ἱκανῶς ἔχειν ἔδοξε, τὸ μοχθηρῶς ὑπεισελθεῖν σε ἀθλιώτατε πάντων ἀνθρώπων, τῇ Ἰουδαίᾳ, καὶ Γαλιλαίᾳ, καὶ Σαμαρείᾳ, καὶ τοὺς ἐπ' αὐταῖς ἀφελεστέρους ἀποπλανῆσαι, ἀλλὰ καὶ τοὺς σοφοὺς τῶν Ἀθηνῶν ὑπενοήσω μεμελετηκὼς τὴν ἀπάτην, πεπυκνωμένους ἄνδρας οἰόμενος ἀπατᾶν; καὶ ὡς ἠπατημένου καὶ αὐτὸς καταφρονῶ σου τὸ παρόν. ἐπὶ δὲ τοὺς σοφοὺς διδάσκων τὰ κατὰ σὲ, τὸν λόγον ποιήσομαι. Ὁ τούτου Διδάσκαλος ὦ ἄνδρες, ἐπὶ παρατροπῇ τοῦ Μωσαϊκοῦ νόμου γενόμενος, ὑφ' ἡμῶν Σταυρῷ τεθνάναι εὐλόγῳ νόμῳ κατεκρίθη. Καὶ γυμνὸς τῷ ξύλῳ ἀπηωρημένος καταλειφθεὶς, διὰ τὸ τῆς ἡμέρας ἐπίσημον, τοῦ Πιλάτου, Ἰωσήφ τινος πλουσίου ἱκετηρίᾳ ἐπικαμφθέντος, ταφῇ συγκεχώρηται. Καὶ νόμῳ φιλίας οἱ τούτου κρατούμενοι Μαθηταὶ, λαθραίως ἀωρὶ τοῦτον ἀποσυλοῦσιν, εἰς πολλῶν ἀπάτην ἐπιτεχνευσάμενοι τοῦτο, καὶ πανταχοῦ ἐπισπείραντες ἐκ νεκρῶν ἐγηγέρθαι, τὸν ἑαυτῶν ἐπιφημίζουσι Διδάσκαλον. Ἐξ αὐτῶν εἷς ἐστὶ καὶ ὁ Φίλιππος οὗτος, οὗ περικρατὴς ὁ βασιλεὺς ἐπιθυμεῖ γενέσθαι Ἀρχέλαος, εἰς πολλῶν ἐκδίκησιν ἀπολέσων αὐτόν. Ὅν περ εἰ βούλησθε, πρὸς αὐτὸν τὸ τάχος δέσμιον εἰς Ἱερουσαλὴμ ἀπαγάγετε.

Καὶ δὴ τοῦ Ἀρχιερέως παύσαντος τὸν λόγον, οἱ παρεστῶτες ἐνητένιζον τῷ Φιλίππῳ, τί πρὸς αὐτὸν ἀντερεῖ. Ἡρέμα δέπως τοῖς χείλεσιν ὑπανοίξας ὁ Φίλιππος, τῷ Ἀρχιερεῖ ἔφησεν οὕτωσι. Υἱὲ ἀνθρώπου, ἵνα τί ἀγαπᾷς ματαιότητα, καὶ λαλεῖς ψεῦδος; ἵνα τί ἐπὶ ματαίῳ τὴν καρδίαν σου βαρύνεις; οὐ χρυσοῦ σὺ τῶν φυλάκων τὰς χεῖρας ἔπλησας, εἰς τὸ πλάσασθαι τῆς ἐγέρσεως συκοφαντίαν; οὐκ οἶδας ἃς ἐναπέθου σφραγίδας τῷ μνήματι; αὗταί σου ἐν ἡμέρᾳ ὀργῆς στηλιτεύσουσι τὸ ἀνόμημα. Ταῦτα τὸν Ἀρχιερέα μεγάλως

ἐτά-

ἐτάραξαν. θυμικῶς δὲ διορμήσας διαχειρίσασθαι τὸν Ἀπόστολον, οὐκ ἠδυνήθη. παρευθὺς γὰρ αἱ κόραι τῶν ὀφθαλμῶν αὐτοῦ ἀπημαυρώθησαν, καὶ τὸ περίλοιπον σῶμα ἄχρηστον ἐγεγόνει. Τότε τοῖς παρατυχοῦσι τὸ γεγονὸς γοητεία προσεδοκᾶτο. Ὅμως κατὰ τοῦ Ἀποστόλου ὁρμήσαντες, καὶ αὐτοὶ τῆς αὐτῆς πηρώσεως πεῖραν ἔλαβον. Ἀλλ' ἐπεὶ οὐκ ἠγνοεῖτο τῷ Ἀποστόλῳ ἡ ἀπιστία καὶ ἡ ἄνοια, ὅτι ἐπικράτεια τῶν δαιμόνων ἐνέστι τούτοις, ἐπὶ τούτῳ οἰμώξας μέγα, δυσωπήθητι ὑπὸ τῆς σῆς ἀγαθότητος, Κύριε, ἔλεγε, καὶ ἀμφοτέρων ἴασαι τὰ συντρίμματα, καὶ πρὸς τὴν σὴν ἐπίγνωσιν αὐτοὺς μεταποίησον. Κάτωθεν οὖν τοῦ Ἀποστόλου τὴν εὐχὴν ποιοῦντος, οὐρανόθεν ἡ ῥῶσις τοῖς πληγεῖσιν ἐχαρίζετο. καὶ τοῖς αἰσθητοῖς ὀφθαλμοῖς ἀναβλέψαντες, τὴν νοητὴν τῆς ψυχῆς ἐπεζήτουν ὑγείωσιν. Ἀλλ' ἐπεὶ πολλάκις τῶν ἀστηρίκτων εὐμετάβολον τὴν γνώμην οἶδεν ὁ Ἀπόστολος εἶναι, τὸ φώτισμα τούτοις οὐκ ἐπεμεύσεν. Ἐκτενέστερον δὲ τοῦ Ἀποστόλου προσευξαμένου, θεία δύναμις ἐκ τοῦ Οὐρανοῦ κατιοῦσα, τὰ ἀφιδρύματα τούτων πάντα κατέῤῥαξε, καὶ τοὺς ἐμφωλεύοντας ἄρδην ἀπώλεσε δαίμονας, καὶ κλόνος βίαιος τότε τὴν γῆν κατεῖχε, καὶ πάντες καταφυγὴν τὸν Ἀπόστολον ἐτίθουν, μεγάλῃ κράζοντες τῇ φωνῇ· ἰσχυρὸς Θεός ἐστιν ὁ ὑπὸ σοῦ κηρυττόμενος, καὶ τούτῳ ἀδιστάκτως πιστεύομεν, καὶ χαίροντες τὸ λουτρὸν κομιούμεθα. Καὶ ἀρξάμενος πάντας ἐβάπτισε. μόνος δὲ ὁ Ἀρχιερεὺς ἀποσπασθέντας ὡς εἶδε τοὺς ὑπ' αὐτὸν, τῇ τοῦ δολίου ὑποβολῇ κατὰ τοῦ πλάστου δύσφημα ἐβλασφήμει ῥήματα. Καὶ τούτου μὴ φέρουσα τὴν παράνοιαν ἡ γῆ, πάντων ὁρώντων, ὡς ἐπὶ Δαθὰν καὶ Ἀβειρὼν, βιαίως τοῦτον ἔνδον αὐτῆς καταχεθῆναι ζῶντα συνώθησε. Τότε τοὺς φωτισθέντας ὑποστηρίξας, καὶ Νάρκισσόν τινα τούτοις Ἐπίσκοπον καταστήσας, οὗ ἐν τῇ πρὸς Ῥωμαίους ὁ Ἀπόστολος Παῦλος μέμνηται, αὐτὸς πρὸς Πάρθους ἀφίκετο.

Καὶ κλίνας γόνυ, ἐπίσκεψιν οὐρανόθεν ἐζήτει. Καὶ αὐτίκα σχῆμα τούτῳ ἐδείκνυτο Ἀετοῦ, ὑπὸ χρυσᾶς πτέρυγας, τὸν Χριστὸν εἰκονιζούσας ἐσταυρωμένον. Ὁθεν ἀναῤῥωσθεὶς, πάλιν εἴχετο τοῦ κηρύγματος. καὶ τὰς τῶν Καμδάκων Πόλεις διαδραμὼν, ἐπ' Ἄζωτον ἔπλει νηὸς ἐπιβάς. Καὶ σφοδρᾶς καταιγίδος κλυδωνιζούσης τὴν ναῦν, φωτοφανὴς αὐτίκα Σταυροῦ τύπος ἐπ' αὐτῆς τῆς ὁλκάδος, τῆς νυκτὸς τὸ ζοφῶδες ἐπέλαμψε. Καὶ ἀποβάντες τοῦ πλοίου, ὑπὸ Ἀζωτίδος τινὸς ἐν μεσογαίῳ οἰκήματι καταχθεὶς ὁ Ἀπόστολος, τῆς ἡμέρας ἤδη πρὸς ἑσπέραν διαληγούσης, τὴν εὐχὴν παρέτεινε. Τὸ γοῦν θυγάτριον τοῦ ξενοδόχου ἐν χρῷ τῆς συνέγγυς θυρίδος καθιστάμενον, ὠδυνᾶτο τὸν ὀφθαλμόν. οὕτω δὲ τοῖς λόγοις τοῦ Ἀποστόλου ἡδύνετο, ὡς καὶ τῆς ὀδύνης ἐπιλαθέσθαι. Εἶτα προσελθοῦσα τῷ οἰκείῳ Πατρὶ, τοῦ ὀφθαλμοῦ τὴν αἰσχύνην σὺν τῇ ὀδύνῃ ὡς ἀμεληθεῖσα προσενεκάλει. Ὁ δὲ πρὸς αὐτήν· ὑπὲρ σοῦ τάχα τέκνον, ἔφη, προθύμως ἂν καὶ τὴν ψυχὴν προϊέμην, εἰ τοῦ σοῦ ὀφθαλμοῦ τὸ δυσειδὲς ἠδυνατό τις διορθώσασθαι. Καὶ ἡ παῖς χαριεντιζομένη, ἔστι Πάτερ, εἰ βούλει, ὁ τῆς ὀδύνης καὶ πάθους θεραπευτής. Καὶ ποῦ τέκνον, ἔφη; ἐν τῷ μεσογαίῳ οἰκήματι, ἡ παῖς ἀντεπάγει, ὃν ἐκ τοῦ πλοίου τῇ χθὲς ὀψιαθέντα καθυπεδέξω. Καὶ παρευθὺς τὸν Ἀπόστολον προσκληθῆναι κελεύει. Καὶ τούτοις τὸν ἡδὺν τῆς ἀληθείας ὁ προσκληθεὶς ἐνειράμενος λόγον, παροικὶ καταθέλξας ἐβάπτισε. Τῇ δὲ Κόρῃ τοῦ ὀφθαλμοῦ ἐπιζητοῦντος τὴν ἴασιν τοῦ Πατρὸς αὐτῆς, ἔφη ὁ Ἀπόστολος· σοὶ τὴν ἐπιστήμην τοῦ ὑγείας χαρίσομαι, καὶ πᾶσι τοῖς προσδεξαμένοις τὸ χάρισμα τοῦ Βαπτίσματος. Πρωΐας ἀναστᾶσα ὦ Κόρη, τῷ πάσχοντι ὀφθαλμῷ τὸν Χριστὸν ὀνομάσασα, τὴν χεῖρα ἐπίθες, καὶ ἄρτιος ὁ βεβλαμμένος ὀφθαλμὸς γενήσεται. Οὕτως ἡ Μαθήτρια ποιήσασα, ὡς ὁ Διδάσκαλος ὑπέθετο, τὸ οἰκεῖον ἐθεράπευσε πάθος. Καὶ

ἐκ-

ἔκτοτε ἡ σοφὴ Χαριτίνα, συνεργείᾳ τοῦ Πατρὸς αὐτῆς Νικοκλείδους, ὁπαδὸς τοῦ Ἀποστόλου ἐγένετο, δοξάζουσα σὺν αὐτῷ καὶ εὐλογοῦσα τὸν Θεόν.

Τὴν δὲ Ἱεράπολιν καταλαβὼν ὁ Ἀπόστολος Φίλιππος, ἐδίδασκε τοῖς συνεπομένοις αὐτῷ, μὴ ἐκκακεῖν τοῖς πειρασμοῖς. Καὶ ἐπὶ τούτῳ οἱ ἐγχώριοι δολοφονῆσαι τοῦτον ἐβούλοντο ὡς ἀπατεῶνα, προφάσει μὴ καὶ τὰς αὐτῶν γυναῖκας ἀπατηθῆναι, ὥσπερ καὶ ἄλλων πολλῶν. Ἥρως δέ τις, τῶν πολιτῶν τὴν τύχην αἰδεσιμώτερος, ἐξάραι θέλων τοῦ λιθασμοῦ τὸν Ἀπόστολον, πρὸς τοὺς σὺν αὐτῷ πιθανολογούμενος, οὕτω πως ἔφη· Ἄνδρες πολῖται, τὸ ὑπ' ἐμοῦ βουλευόμενον μάθετε. μηδὲν ἡμῖν ἄδικον καὶ τῷ ξένῳ ἀνδρὶ, ἀλλ' εἰ δοκεῖ, τὴν αὐτοῦ Διδασκαλίαν δοκιμάσωμεν, εἴγε εἰς ψυχικὴν περιποίησιν ἔσται. καὶ ὡς ἐπισήμῳ τῷ Ἥρωϊ ἀντειπεῖν οὐκ ἐτόλμησαν. Καὶ αὐτὸς πρῶτος τῶν ποδῶν τοῦ Ἀποστόλου δραξάμενος, ἐδυσώπει τὸν Ἅγιον εἰς τὴν οἰκίαν αὐτοῦ καταλύσαι. Καὶ ἀμφοτέρων ἀφικομένων, Μάρκελλα ἡ τοῦ Ἥρωος γαμετὴ, ἐδυσφόρει κατὰ τοῦ συνεύνου, λύσιν τοῦ συνοικεσίου ζητοῦσα, καὶ τὴν ἀντιστροφὴν τῆς προικὸς, εἰμὴ τῆς οἰκίας ἔξω βάλῃ τὸν Φίλιππον. Ἐπεὶ δὲ ἐναγώνιον ὁ Ἀπόστολος τὸν Ἥρωα ἑωράκει, αὐτὸν παρεθάρρυνεν ἐπιμένειν τῇ πίστει. Αὐτὸς δὲ γόνυ κλίνας καὶ προσευξάμενος, τὴν πρὸ μικροῦ χαλεπαίνουσαν, οἰκέτιν τοῦ ταύτης ἀνδρὸς παρεσκεύασεν, ὦ ἄνερ γλυκύτατε, λέγουσαν, πόθεν ὁ θαυμαστὸς οὗτος ἐγένετο ἄνθρωπος; ὡς ἡδὺς ὁ τούτου λόγος, καὶ ἡ τῶν ἠθῶν κατάστασις. Μεγάλου Θεοῦ, ὁ Ἥρως ἔφησε, καταγγελεὺς οὗτος, ὦ γυναὶ, καὶ αἰωνίου Βασιλείας προξενητής. καὶ εἰ δοκεῖ, ἀνενδοιάστως προσέλθωμεν τῷ τούτου Θεῷ. Καὶ ἄμφω προσπεσόντες τῷ Ἀποστόλῳ, πανοικὶ λαμβάνουσι τὴν ἐξ ὕδατος καὶ Πνεύματος ἀναγέννησιν. Ἐκ δὲ τούτου πολλοὶ τοῦς περιοικίδος, πρὸς Κύριον μετετάξαντο.

Ἀλλ' ὁ τῆς κακίας ἐφευρετὴς, ὡς ἑαυτὸν ἡττώμενον εἶδε, καὶ τοὺς ἑαυτοῦ ὑπὸ τοῦ Ἀποστόλου ἐζωγρημένους, πυρπολῆσαι τὴν οἰκίαν τοῦ Ἥρωος ἤγειρε. Καὶ γνοὺς τῷ Πνεύματι ὁ Ἀπόστολος, ἀτρόμως ἔξεισι πρὸς αὐτούς. Ὃν ἀνημέρως ἐπικρατήσαντες, εἰς τὸ δικαστικὸν βουλευτήριον ἤγαγον. Ἐμβριθῶς δὲ τῷ Ἀποστόλῳ Ἀρίστάρχος ὁ Ἔξαρχος τοῦ βουλευτηρίου προσχὼν, οἴδασε ταῖς μαγείαις ἐναμβρυνόμενον, ἔλεγεν. ἀλλ' εἰμὴ ἀποθέμενος ταύτας ἔσῃ, λιθασμῷ πικρῷσε ἀπολέσω. τὰ γὰρ περὶ τοῦ σταυρωθέντος Θεοῦσου, εὐκαίρως ἐπιζητήσωμεν λόγῳ. Καὶ τῆς Ἀποστολικῆς δραξάμενος κόμης, ὠθῶν αὐτὸν προσεπηλακίζεν. Ἀριστάρχου δὲ τὸ ἄτακτον ἐπιτεχνευσάμενος σωφρονίσαι ὁ μακάριος Φίλιππος, ἴσως καὶ διὰ τοὺς παρατυγχάνοντας, ἵνα γνῶσιν ὅτι δυνατοῦ Θεοῦ ἐστιν ὑπηρέτης, εἰς ἐπήκοον πάντων οὕτω πως ἐξεφώνησεν. Ὁ τὰς καρδίας ἡμῶν πλάσας καταμόνας, καὶ τὰς κινήσεις αὐτῶν πρὸς ὅποι συνιὼν τρεπομένας, τὸν ἐκ τῆς ἐμῆς καρδίας ὡς ὀργῆς ἀμέτοχον ἀναγόμενον λόγον, ἔργῳ πλήρωσον Κύριε, καὶ γενέσθω πᾶσι σωφρονισμός· ἡ προταθεῖσα χεὶρ ἐπὶ τὴν κόμην, ἧς ἡγίασας κεφαλῆς, παρεθήτω. Ἐπηκολούθει δὲ τῷ λόγῳ ἡ τοῦ ἀτάκτου διαστροφὴ τῶν μελῶν. Παρευθὺς γὰρ ἡ τούτου ἀπεξηράνθη χεὶρ, καὶ ὁ πρὸς αὐτὴν ὀφθαλμὸς ἀποτετύφλωτο, καὶ κατ' ἄμφω κεκώφωτο τοῖς ὠσί. Τοῦτο τοὺς συνειλεγμένους ἐξέστησε, καὶ μετὰ δέους ἱκέτευον δοῦναι συγγνώμην τῷ πλημμελήσαντι. Καὶ ὁ Ἀπόστολος πρὸς αὐτούς· αἱ τῶν μελῶν διαστροφαὶ ἀνθρωπίνης βοηθείας ἐπαποροῦσιν. ὁ γὰρ τούτων διορθρωτὴς εἷς ἐστιν, ὁ ἐκ χοὸς καταρχὰς διαρθεώσας τὸν ἄνθρωπον, ᾧ εἰμὴ προσέλθητε, καὶ αὐτὸς ὁ παθὼν, οὐ τεύξεται τῆς ἰάσεως.

Καὶ πρὸς τούτῳ, τεθνεώς τις ἐξεκομίζετο πρὸς ταφήν. καὶ κατασχόντες τὴν κλίνην οἱ συμπαρόντες Ἀριστάρχῳ, χλευάζοντες ἔλεγον τῷ Ἀποστόλῳ. εἰ τοῦτον ἐγερεῖς, πάντες σὺν Ἀριστάρχῳ προσκυνήσωμεν τῷ Θεῷσου. Ὁ δὲ Ἅγιος πρὸς

Οὐ-

Οὐρανὸς τὰς ὀφθαλμὰς ἀτενίσας, προσηύξατο ἐπὶ ἱκανὸν, καὶ πρὸς τὸν βεβλημένον τῇ κλίνῃ, πρεσβείᾳ τῇ φωνῇ λέγει· Θεόφιλε. καὶ ἀὐτὸς ἀνεκάθισε, καὶ τὰς ὀφθαλμὰς ὑπανέῳξε. Καὶ προσθεὶς ὁ Ἀπόστολος, εἶπεν· ὁ Χριστός σοι κελεύει, ἀναστηθι, καὶ ἀκωλύτως προσομίλει. Ὁ δὲ ἀποβὰς τῆς κλίνης, τῷ Ἀποστόλῳ προσέπεσε λέγων· Εὐχαριστῶ σοι Ἅγιε τοῦ Θεοῦ, ὅτι ἐκ πολλῶν κακῶν ἐρρύσω με τῇ ὥρᾳ ταύτῃ. Τί πρὸ δύο γὰρ ἡμερῶν ἐξοφθαλμήσας καὶ δυσειδῶν καὶ ἀσχημονῶν ἐξελκόμενος βιαίως, ἔτι μικρὸν, εἰ μὴ ἔφθασας, ἀπερρίφην αὖ εἰς τάρταρον δυσειδῆ καὶ ὀλέθριον. Τότε τὸ παράδοξον τοῦτο ἐξέκρουσε πάντας λέγοντας· Πῶς οὖν οὐδέποτε εἴδομεν, ἐξ ὁμοματος φωνήσας αὐτὸν ἔστησας; ἐπ' ἀληθείας, οὗ ἰσχυρῶς καὶ λέγει καὶ κηρύττει, καὶ Θεὸν καταγγέλλει, δυνατὸς καὶ ἀληθὴς ἐστι, καὶ ἡμεῖς ἀδιστάκτως προσδεχόμεθα, καὶ πιστεύομεν.

Καὶ τῇ χειρὶ ὁ Ἀπόστολος κατασγήσας τὸν θόρυβον, διακελεύεται τῷ Ἥρωϊ. ἐπὶ Ἀρχισαρχῳ τῇ χειρίσας Σταυρὸν τύπον ἐπιχαράξας, τῷ τῆς ἁγίας Τριάδος ὀνόματι, τῇ μελλούσῃ τὰ βλαβέντα ἐκ τῆς αὐτῶν ἀφελείας αὐτοῖς ἀνορθώσειν. Καὶ τοῦτο ποιήσας ὁ Ἥρως, τὸν Ἀρχισαρχον ἐπετέλεσεν ἄρτιον. Ἐπὶ τούτῳ πάντες τῷ Ἀποστόλῳ προσεπίπτησιν, ἐν οἷς ὁ Πρεσβύτερος, ὁ τὸν ἐκ νεκρῶν αὐτὸν γενέσης, τὰ πρῶτα ἐπὶ πᾶσι φέρων τοῖς συμελεγμένοις, σὺν τῇ γαμετῇ προσῆλθε τῷ Ἀποστόλῳ. Καὶ τῆς κατηχήσεως ἀμαρτῶς τὸν λόγον δεξάμενος, εἰς βεβαίαν τῆς ἑαυτοῦ πίστεως ἔνδειξιν, τὸν ὑπ' αὐτὸν σεβομένους δώδεκα χρυσέους θεοὺς, τῇ ἐμβεῶν εἰς διαφυλὴν τῷ Ἀποστόλῳ γενέσθαι προτίθησιν. Οὐ μὴν δὲ, ἀλλὰ καὶ τὰ περιλειφθέντα καλῶς οἰκονομήσας, τῆς ὀρθῆς ἀδιστάκτως εἴχετο πίστεως. Καταρτίσας δὲ ὁ Ἀπόστολος τὸν ἐκεῖσε πάντας πρὸς τὴν Ὀρθόδοξον Πίστιν, τὸν Ἥρωα τούτοις χειροτονήσας Ἐπίσκοπον, καὶ Πρεσβυτέρους καὶ Διακόνους ἐξ αὐτῶν, ἔτι δὲ καὶ Ναὸν προσάξας γενέσθαι, καὶ τούτους καθιδρύσας, καὶ πάντας κατηχήσας, καὶ ἐπαξάμενος, αὐτὸς εἰς Φρυγίαν προσέβαλεν, ἅμα τῇ Λυκαονίᾳ καὶ τῇ Ἀσίᾳ, κηρύττων καὶ εὐαγγελιζόμενος τὸν Χριστὸν, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

Ταῖς αὐτοῦ ἁγίαις πρεσβείαις, ὁ Θεός.

Ὠδὴ ζ'. Οἱ Παῖδες ἐν Βαβυλῶνι.

Ὡς φέγγος ἑξαπτέρυγος, βολίδος δίκην Ἀπόστολε, σελασφόροις βολαῖς, καταυγάζων, τοὺς ἐν πίστει κραυγάζοντας· Εὐλογητὸς εἶ Κύριε, ὁ Θεὸς τῶν Πατέρων ἡμῶν.

Λαμπαῖς φωτοχυσίαις, τῶν θείων μάκαρ κηρύγματος, διαλάμπων φαιδρῶς, τοὺς ἐν σκότει μελῳδεῖν κατεφώτισας. Εὐλογητὸς εἶ Κύριε, ὁ Θεὸς τῶν Πατέρων ἡμῶν.

Πάντορων ἀδολεσχίαν, καὶ λόγων πᾶσαν δεισιδαιμονίαν, τῷ σωτηρίῳ λόγῳ, ἐκμηκήσας τῆς πίστεως ἔφηλλες· Εὐλογητὸς εἶ Κύριε, ὁ Θεὸς τῶν Πατέρων ἡμῶν.

Θεοτοκίον.

Οὐσίαις ὑπερκοσμίοις, Παρθενικαῖς δῶρα γεγαμηκας, λιτομερείαις Ἁγνὴ, ἀσυγχύτως τὸν Χριστὸν, ᾧ κραυγάζομεν· Εὐλογητὸς εἶ Κύριε, ὁ Θεὸς τῶν Πατέρων ἡμῶν.

Ὠδὴ η'. Νόμων πατρῴων.

Φῶς σε τῷ κόσμῳ ἀπετέλεσε, τὸ παγγενικὸν φῶς, Λόγος ὁ ἐμψυχώτατος, ἐκλεξάμενος Ἀπόστολον, ἐκ τοῦ Κόσμου τρισμάκαρ. καθοπλίσας, θείᾳ δυναμεῖ τῇ αὐτοῦ, ἐπαφῆκεν ἀήττητον, ὡς ὁπλίτην βοῶντα. τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα, καὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Ῥώμην τῇ θείᾳ δυναμούμενος, τὰς ἀντιπάλους τάξεις ὑπερνίκησας, τῷ ἀντιθέσει τὴν παράταξιν, τῷ αὐτῷ καταλύσας. τῷ γὰρ εἰρωνίᾳ, κλῆρον ἀφαιρετὸν λαβὼν, εἰρωνείαν κατέσεισεν, ἐφυτεύσας τῷ Κόσμῳ, τὸν Κύριον ὑμνεῖτε κραυγάζων, καὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Ὅλῳ τῷ πόθῳ προσεπέλασας, τῷ σαρκωθέντι Λόγῳ Θεοῦ Ἀπόστολε, Μα-

θητὴς τούτου γενόμενος, καὶ θεῖος ὑπηρέτης, καὶ μυστολέκτης. ὅθεν ὑπ' αὐτοῦ ἀποσταλεὶς, εἰς τὰ ἔθνη ἐκήρυξας, αὐτοῦ τὴν παρουσίαν, τὸν Κύριον ὑμνεῖτε κραυγάζων, καὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Θεοτοκίον.

Ὅλος ἡνώθη ὑπὲρ ἔννοιαν, ἀναλλοιώτως ὅλῃ τῇ ἀνθρωπότητι, ὁ ὑπέρθεος ἐν μήτρᾳ σου, Παναγία Παρθένε. ὅθεν ἐν δύω φύσεσι, γνωρίζεται Χριστὸς, εἷς ὑπάρχων ἀμφότερα, ὃν ὑμνοῦντες βοῶμεν· τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα, καὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Ὁ Εἱρμός. Νόμων πατρῴων οἱ μακαριστοί.

Ὠδὴ, θ'. Ἀπορεῖ πᾶσα γλῶσσα.

Νῦν ἀπορρήτου δόξης, καὶ φωτὸς ἀνεσπέρου, ἠξιωμένος ἔνθα ἡ ἀνέκφραστος, ὑπάρχει εὐφροσύνη, ἔνθα ἡ χαρὰ ἡ ἄληκτος ἐν Ἐκκλησίᾳ, τῶν πρωτοτόκων ἔνθα, δικαίων αἱ σκηναὶ, πάντων Χριστιανῶν ὑπερεύχου, Φίλιππε πάνσοφε.

Ὡραϊσμένος κάλλει, νοητῆς εὐπρεπείας, καὶ βασιλείας στέφος περικείμενος, θεόφρον καὶ πλουσίαις, Φίλιππε περιχεόμενος φωτοδοσίαις, ταῖς τοῦ ὑπερουσίου, φωτὸς μαρμαρυγαῖς, χαίρων τῷ τοῦ Δεσπότου σου θρόνῳ, μάκαρ παρίστασαι.

Σὺν Ἀποστόλοις πᾶσι, σεπτοῖς τε καὶ Προφήταις, καὶ σὺν Ἀθλοφόροις Φίλιππε Ὁσίοις, Ἱεράρχαις Δικαίοις, σὺν τῇ Θεοτόκῳ πρέσβευε, λύσιν πταισμάτων, πολλῶν ἀμπλακημάτων, δοθῆναι ἱλασμὸν, πίστει τοῖς τὴν φωσφόρον καὶ θείαν, μνήμην τελοῦσι σου. Θεοτοκίον.

Σεσαρκωμένον Λόγον, τὸν πρὶν ἄσαρκον ὄντα, ὑπερφυῶς Παρθενομήτωρ τέτοκας. ἐντεῦθέν σε κυρίως, πάντες εὐσεβῶς κηρύττομεν, ἀληθεστάτην, σοὶ τὴν προσηγορίαν, ἁρμόζοντες Ἁγνή. σὺ γὰρ τῆς τῶν πιστῶν σωτηρίας, ῥίζα καθέστηκας.

Ὁ Εἱρμός. Ἀπορεῖ πᾶσα γλῶσσα.

Ἕξαπος. Ἐν Πνεύματι τῷ Ἱερῷ.

Δρόμον ὡραίων σου ποδῶν, Φίλιππε ἀναστρέψας, πορείαν τὴν οὐράνιον, ἀνελήλυθας χαίρων. καὶ τῇ Τριάδι παρεστὼς, ἐν Πατρὶ τεθέασαι, Υἱὸν καὶ Πνεῦμα τὸ Θεῖον. διὰ τοῦτό σου πόθῳ, τὴν πανίερον καὶ θείαν, ἑορτάζομεν μνήμην.

Ἕτερον. Ὁ Οὐρανὸν τοῖς ἄστροις.

Πνεύματος Θείου ἀκτῖνα, θεσπέσιε δεδεγμένος, καὶ Κόσμον καταφωτίσας, τῷ φθόγγῳ τῶν σῶν ῥημάτων, ὑπὲρ ἡμῶν νῦν δυσώπει, Κυρίῳ πάντας σωθῆναι.

Θεοτοκίον. Ὅμοιον.

Ὑπεραγία Παρθένε, δέησιν νῦν τῷ Υἱῷ σου, ὑπὲρ ἡμῶν σὺν Φιλίππῳ, τῷ θείῳ καὶ θεηγόρῳ, προσφερομένη παντοίων, κακῶν περίσωζε πάντας.

Σταυροθεοτοκίον. Ὅμοιον.

Πὸ πάθος καταμοῦσα, τὸ σταυρικὸν τοῦ Υἱοῦ σου, εὐλογημένη Παρθένε, οἴμοι ἐβόας Θεέ μου, ὑπὲρ βροτῶν καταδίκων, πῶς φέρεις ταῦτα βουλήσει;

Εἰς τοὺς Αἴνους, ἅ. προσόμοια, ἦχ, α'.

Τῶν οὐρανίων Ταγμάτων.

Πῶν οὐρανίων σου φθόγγων τὰ ἀπηχήματα, ἐπὶ τῆς γῆς παμμάκαρ, διεχύθη καὶ ταύτην, ἐπλήρωσε δογμάτων. δι' ὧν τὸν Υἱὸν, τῷ Πατρὶ καὶ τῷ Πνεύματι, θεολογοῦντες Ἀπόστολε μυστικῶν, ὁμοούσιον δοξάζομεν.

Ὡς ἑωσφόρον σε πάντες τῶν Ἀποστόλων Χριστοῦ, καὶ φαεινὸν λαμπτῆρα, τῆς σεπτῆς Ἐκκλησίας, Φίλιππε τρισμάκαρ, ἔχοντες νῦν, τὰς ψυχὰς φωτιζόμεθα, καὶ ἐκ κινδύνων λυτρούμεθα δυσχερῶν, ταῖς πρεσβείαις σου Πανεύφημε.

Διὰ Σταυροῦ τὸν ἀγῶνα τὸν τῆς ἀθλήσεως, διηνυκὼς τῆς νίκης, ἀνεδήσω στεφάνους, Φίλιππε ἀξίως. μεθ' ὧν εἰσελθὼν, εἰς τὰ ἄνω Βασίλεια, συμπαρεδρεύεις Ἀπόστολε τῷ Χριστῷ, καὶ πρεσβεύεις τοῦ σωθῆναι ἡμᾶς.

Δευτεροῦντες τὸ α'. Δόξα. ἦχ. β'.

Φιάλαι τῶν ἀρωμάτων ἐν Κόσμῳ, αἱ σιαγόνες σου σοφὲ, ὤφθησαν Ἀπόστολε Φίλιππε, περικιρνῶσαι τοῖς πιστοῖς, πόματο ζωοποιόν. πρᾶξιν γὰρ εἰς θεωρίας ἐπίβασιν ἐσχηκὼς, Χριστοῦ ὁπαδὸς καὶ προσή-

γο

γορος ἐλθημάτισας. τὴν σὴν ἄρραν ἐκ ἄτεκνον ἐθνῶν Ἐκκλησίαν, ἀτεκνωθεῖσαν ἐν αὐτῷ, κατεποίκιλας διδαχαῖς. ἵν' ἐκ μὴν δυσωπηθῶμεν λυπεῖσθαι, δεινῶν ἐκ ἀναγκῶν. δώσασα γὰρ ἐν θεῷ, πολλὰ ἐγγίζομεν αὐτῷ.

Καὶ μήν. Θεοτοκίον. Ὅτε, ἐκ τῆς ξύλου σε.

Πᾶσα, τῆς ζωῆς ἡμῶν ἰσχύς, σὺ ὑπάρχεις Ἀληθῶς Μήτηρ, ἐκ καταφύγιον. παύτων τῶν ὑμνημάτων σε, σὺ εἶ αἰτίη. μὴ ἔν ματίοις λογίζωνται, τὴν σὴν προσασίαν, οἱ κατακαυχώμενοι κατὰ τῶν δούλων σου. σὺ γὰρ, πρὸς Θεὸν προσασία, δέδοσαι. διὸ μὴ παρίδῃς, διασῶσαι δέονται τοὺς δούλους σε.

Σταυροθεοτοκίον. Ὅμοιον.

Ὅτε, σὲ ὁ ἄνομος λαὸς, Σῶτερ τὴν ζωὴν τῶν ἁπάντων, ξύλῳ ἀνήρτησε, τότε ἡ Παναμωμος Ἁγνὴ ἐκ Μήτηρ σε, παρεστῶσα ἐκραύγαζεν, ὀλοφυρομένη. Τέκνον μου γλυκύτατον, φῶς τῶν ἐμῶν ὀφθαλμῶν, οἴμοι, πῶς κακούργων ἐν μέσῳ, ξύλῳ προσαγῶαι ἠνέσχου, ὁ τὴν γῆν κρεμάσας ἐν τοῖς ὕδασιν;

Εἰς τὸν ᾱ. π. τῆς Ὀκτωήχου.

Εἶτα ᾱ. Εἰς πᾶσαν τὴν γῆν. ἦχος, β'.

Θεοφόρος ἀνεδείχθης κρατὴρ τῆς σοφίας. Πνεύματος γὰρ ὤφθης, καταγώγιον τερπνὸν, ἐκ ὑπέφηνας ἀρετῶν ἐπάλξεις, τοὺς βροτοὺς ἁλιεύσας, τῷ μοκτῷ ἀγκίστρῳ τῆς σοφίας Θεοῦ. διὸ δυσωπούμενός σε Ἀπόστολε Φίλιππε, πρέσβευε ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Δόξα. ἦχος, γ'. Γερμανοῦ.

Τὸν τῶν ἰχθύων ἄγραν, εἰς ἀνθρώπων ἁλιείαν μεταβαλὼν, τοὺς ἐν βυθῷ ἀπάτης, τῇ σαγήνῃ ἀνέλκων τῇ μυστικῇ, Φίλιππε Ἀπόστολε, ὅλον τὸν Κόσμον ἐζώγρησας, καὶ τῷ Διδασκάλῳ σου Χριστῷ προσήγαγες. διὸ δυσωπούμενός σε, πρέσβευε αὐτῷ ἀπαύστως, σωθῆναι τὰς ψυχὰς ἡμῶν, τῶν πιστῶς προστρεχόντων τῇ σκέπῃ σου. Καὶ μήν. Θεοτοκίον.

Μεγάλη τοῦ Σταυροῦ σου.

Μεγάλης διὰ σὲ ἀνέργεσίας Ἀνέχεσθε, τυχόντες σὺν Ἀγγέλοις, γεραίρομεν τὸν τόκον σε, τὸν καὶ καταξιώσαντα ἐκ μήτρας σου τεχθῆναι, δι' ἄκραν εὐσπλαγχνίαν, καὶ ἀπλάσαντα, τὸν ἀνθρώπων τὸ γένος.

Ἡ Σταυροθεοτοκίον. Ὅμοιον.

Δακρύων προχοὰς κενοῦσα ἡ Παναμωμος, ἐστέναζεν ἐθρήνει, βοῶσα ἐκ βαθέων. φῶς γλυκύτατον, πῶς ἔδυς Τέκνου Γλυκύ; πῶς ἔδυς Τέκνου Γλυκύ; ὁ κτίσας λόγῳ πάντα, πῶς νεκρὸς ἄφωνος, ἐν Σταυρῷ μου ὁρᾶσαι;

Ἡ λοιπὴ Ἀκολουθία τοῦ Ὀρθρου, καὶ Ἀπόλυσις.

ΠΕΡΙ ΤΗΣ ΑΡΧΗΣ ΤΗΣ ΤΕΣΣΑΡΑΚΟΣΤΗΣ ΤΩΝ ΧΡΙΣΤΟΥΓΕΝΝΩΝ.

Γρέον, ὅτι εἰ τύχῃ ἡ Ἀρχὴ τῆς Τεσσαρακοστῆς ταύτης ἐν Σαββάτῳ, ἢ Κυριακῇ, ἐν ταῖς δυσὶ ταύταις ἡμέραις ὀφείλει ψάλλεσθαι τὸ Ἀπολυτίκιον τῆς Ἁγίων Ὁμολογητῶν, ὡσαύτως καὶ τὸ Κοντάκιον, καὶ τὰ Ἰδιόμελα π. εἰδὲ ἐν μιᾷ τῶν λοιπῶν ἡμερῶν τῆς Ἑβδομάδος, ψάλλομεν τὸ, Ἀλληλούια, καὶ τὰ Τριαδικὰ τῷ ἤχῳ, διὰ τὸ ἀιδέσιμον τῆς Ἀρχῆς τῆς Τεσσαρακοστῆς, ὅπερ ἀναγκαῖόν ἐστι φυλάττεσθαι.

Ἔτι περὶ τῆς Ἀρχῆς τῆς Τεσσαρακοστῆς τῶν Χριστοῦ Γεννῶν.

Χρὴ εἰδέναι, ὅτι εἰ τύχῃ ἡ Ἀρχὴ τῆς Τεσσαρακοστῆς τῶν Χριστοῦ Γεννῶν ἐν μιᾷ τῶν ἡμερῶν τῆς Ἑβδομάδος, πλὴν τοῦ Σαββάτου καὶ τῆς Κυριακῆς, Ἑσπέρας μετὰ τὸ ᾱλό. εἰς τὸ, Κύριε ἐκέκραξα, τὰ τῆς Ἁγίων π. εἰς ἔξ. Δόξα, τῆς Ἁγίων. καὶ νῦν, τῆς ἡμέρας. Προκείμενον τῆς ἡμέρας. εἰς τὸ, Καταξίωσον, μετανοίας, γ'. εἰς τὸν π. π. τῆς Ὀκτωήχου. Δόξα, καὶ νῦν. Θεοτ. τῆς ἡμέρας. εἰς τὸ Τριαγίον, μετανοίας, γ'. Θεοτόκε Παρθένε. μετάνοιαν, ά. Δόξα. Βαπτιστὰ τοῦ Χριστοῦ, μετάνοιαν, ά. Καὶ νῦν. Ἱκετεύσατε ὑπὲρ ἡμῶν, μετάνοιαν, ά. Τροπάριον τῶν σῶν Εὐ-

σπλαγχνίαν. αἴρει μεταμοίας. τὸ, Κύριε ἐλέησον, μ'. καὶ μεγάλας μεταμοίας, γ'. καὶ Ἀπόλυσις.

Περὶ τῶν Ἀποδείπνων.

Εἰς τὰ Ἀπόδειπνα, ἐν τῷ δευτέρῳ Τρισαγίῳ Τροπάριον. Φώτισον τοὺς ὀφθαλμούς μου Χριστὲ ὁ Θεός. καὶ τὰ λοιπὰ, αἴρει μέλους. Εἰς δὲ τὸ τρίτον Τρισάγιον, τὸ, Ἐλέησον ἡμᾶς. καὶ τὰ ἕτερα. Ἐν δὲ τῷ ὑστέρῳ Τρισαγίῳ, μεταμοίας, γ'. Τροπάριον. Κύριε τῶν δυνάμεων, μετὰ τῶν ἅ. αὐτοῦ ὡς συνήθες, αἴρει μέλους. τὸ, Κύριε ἐλέησον, μ'. Ὁ ἐν παντὶ καιρῷ. τὸ, Κύριε ἐλέησον, γ'. Δόξα, καὶ νῦν. Τὴν τιμιωτέραν. καὶ μεταμοίας μεγάλας, γ'. καὶ μικρὰς, ιβ'. τὸ, Κύριε ἐλέησον ιβ'. καὶ ἡ εὐχὴ, τὸ, Ἄσπιλε ἀμόλυντε. καὶ τὸ, Καὶ δὸς ἡμῖν Δέσποτα. καὶ Ἀπόλυσις.

Περὶ τῆς πρώτης ἡμέρας.

Δεῖ εἰδέναι, ὅτι εἰς τὴν πρώτην ἡμέραν, ἀπ' ἀρχῆς τοῦ Ἑσπερινοῦ τῆς τοιαύτης Νηστείας, οὔτε Τρισάγιον λέγομεν, οὔτε μεταμοίας ποιοῦμεν, οὔτε Ἀλληλούϊα λέγομεν, ἀλλὰ τὸ Προκείμενον τῆς ἡμέρας. Ἀπὸ δὲ τοῦ, Καταξίωσον, ποιοῦμεν μεταμοίας, καθὼς προδεδήλωται. Ὡσαύτως καὶ ἐν τοῖς Ἀποδείπνοις, οὐ ποιοῦμεν μεταμοίας ἀπ' ἀρχῆς, εἰ μὴ μετὰ τὸ, Δόξα ἐν ὑψίστοις Θεῷ. εἰς τὸ Τρισάγιον, γ'. καὶ ἐν τῷ τέλει, τρεῖς μεγάλας, καὶ ιβ'. μικρὰς, καὶ εἰς τὸ Τρισάγιον τρεῖς.

Περὶ τοῦ Μεσονυκτικοῦ.

Εἰς τὸ Μεσονυκτικὸν, μετὰ τὴν ἅλο. Τρισάγιον, καὶ μεταμοίας, γ'. εἰς τὸ, Δεῦτε προσκυνήσωμεν, μεταμοίας, γ'. ὁ Πεντηκοστὸς, καὶ ὁ Ἄμωμος. κατὰ στάσιν δὲ τούτου, μεταμοίας, γ'. Τρισάγιον, καὶ μεταμοίας, γ'. Τροπάριον, Ἰδοὺ ὁ νυμφίος. καὶ τὰ λοιπά. τὸ, Κύριε ἐλέησον, μ'. καὶ ἡ Εὐχή. Ὁ ἐν παντὶ καιρῷ. καὶ μεγάλας μεταμοίας, γ'. καὶ μικρὰς, ιβ'. καὶ ἡ Εὐχὴ, Δέσποτα Θεὲ Πάτερ παντοκράτορ. ἡ ἑτέρα Εὐχὴ, Κύριε παντοκράτορ. καὶ τὸ, Σὲ εὐλογοῦμεν. Δεῦτε προσκυνήσωμεν, γ'. καὶ οἱ Ψαλμοί. Ἦρα τοὺς ὀφθαλμούς μου. Ἰδοὺ δὴ εὐλογεῖτε τὸν Κύριον. Τρισάγιον, καὶ μεταμοίας, γ'. Τροπάριον. Μνήσθητι Κύριε ὡς ἀγαθός. καὶ τὰ λοιπά. τὸ Κύριε ἐλέησον, ιβ'. καὶ ἡ Εὐχή. Μνήσθητι Κύριε τῶν ἐπ' ἐλπίδι. καὶ Ἀπόλυσις.

Περὶ τοῦ Ὄρθρου.

Εἰς τὸν Ὄρθρον, μετὰ τὸν Εὐλογητὸν, Τρισάγιον, αἴρει μεταμοιῶν. τὸ, Κύριε ἐλέησον, ιβ'. Δεῦτε προσκυνήσωμεν, αἴρει μεταμοιῶν. οἱ Ψαλμοί. Ἐπακούσαι σου Κύριος. καὶ, Κύριε ἐν τῇ δυνάμει σου. Τρισάγιον, αἴρει μεταμοιῶν. Τροπάριον. Σῶσον Κύριε τὸν λαόν σου, καὶ τὰ λοιπά. ἡ Ἑκτενὴς, καὶ ὁ Ἑξάψαλμος. Ἀλληλούϊα εἰς τὸν ἦχον, καὶ τὰ Τριαδικὰ αὐτοῦ. Εἰς τὰ κα. τοῦ Ψαλτηρίου, καθ' ἕκαστον Δόξα, μεταμοίας, γ'. καὶ εἰς ἐν ἕκαστον αὐτῶν, κα. τῆς Ὀκτωήχου δύω. Δόξα, καὶ νῦν, θτ. τῆς ἡμέρας. Οἱ Καμόνες τῆς Ὀκτωήχου. ὁ πρῶτος σὺν τῷ εἱρμῷ, εἰς ς'. ὁ δεύτερος, εἰς δ'. καὶ τῶν Ἁγίων, εἰς δ'. Ἀπὸ τρίτης ᾠδῆς, κα. τῶν Ἁγίων. Δόξα, καὶ νῦν, θτ. τῆς ἡμέρας. τὸ Φωταγωγικὸν τοῦ ἤχου. Εἰς τὸ, Δόξα ἐν ὑψίστοις Θεῷ, μεταμοίας, γ'. Εἰς τὸν ἅ. ἅ. τῆς Ὀκτωήχου. Δόξα, καὶ νῦν, θτ. τῆς ἡμέρας. Εἰς τὸ Τρισάγιον, μεταμοίας, γ'. τὸ, Κύριε ἐλέησον, μ'. ἐνταῦθα Τροπάριον οὐ λέγομεν, καὶ αἱ μεγάλαι, γ'. μεταμοίαι, καὶ αἱ μικραὶ ιβ'. τὸ, Δεῦτε προσκυνήσωμεν, γ'. Ἡ α'. Ὥρα, ὡς ψάλλεται ἐν τῇ μεγάλῃ Τεσσαρακοστῇ, μετὰ μεταμοιῶν, αἴρει τοῦ καθίσματος τοῦ Ψαλτηρίου, ὡσαύτως καὶ αἱ λοιπαί. Ἐν ταύτῃ γὰρ τῇ Νηστείᾳ, ἐν ταῖς Ὥραις, καὶ τοῖς Ἀποδείπνοις, οὔτε στιχολογοῦμεν, οὔτε Τροπάριον ψάλλομεν μετὰ μέλους, ἀλλὰ πάντα τὰ Τροπάρια, καὶ τὰ Θεοτοκία, καὶ τὸ Μεθ' ἡμῶν ὁ Θεὸς, χύμα, καὶ αἴρει μέλους λέγομεν.

Περὶ τῆς Τεσσαρακοστῆς τῶν Χριστοῦ Γεννῶν, εἰ τύχῃ Ἀλληλούϊα ἐν β'. ἢ δ'. ἢ ς'.

Χρὴ εἰδέναι, ὅτι μετὰ τὴν α'. ἡμέραν, εἰ τύχῃ Ἀλληλούϊα, ἐν β'. ἢ δ'. ἢ Παρασκευῇ, ἐν μὲν τῇ β'. καθὼς ἐδηλώθη εἰς

τὴν

τῶν ἁ. ἡμέραν, γινέσθω ἡ Ἀκολουθία καὶ ἐν αὐτῇ. ἐν δὲ τῇ δ. καὶ ς. γενέσθω ὅπω. Τῇ γ. καὶ τῇ ε. Ἑωθεραὶ, μετὰ τὸν Εὐλογητὸν, Τρισάγιον, καὶ μετανοίας, γ. τὸ, Κύριε ἐλέησον, ιε. Δεῦτε προσκυνήσωμεν γ. καὶ μετανοίας, γ. καὶ ὁ Προσομοιακὸς Ψαλμός. Εἰς τὸ, Ἀλληλούϊα, μετανοίας γ. καὶ σωκήθης ἅλλο. καὶ ἐν αὐτῇ κατὰ στάσιν, μετανοίας, γ. Εἰς τὸ, Κύριε ἐκέκραξα, ἦχος, τῶ Ἁγίου. εἰδὲ εἰσὶ δύο Ἅγιοι, τὰ ἴδ. αὐτῷ εἰς ς. Δόξα, καὶ νῦν. Θτ. τῆς ἡμέρας. αὐτὶ τῶ Προκειμένου, Ἀλληλούϊα, ἦχος, πλ. β. Καὶ προσκυνοῦντες τῷ ὑποποδίῳ. ἴδ. Καὶ εἰς τὰς αἰτήσεις τῶν αἰτήσεων. Ὁ Ἱερεὺς, ἢ ὁ Διάκονος, ὕστερον τὸ, Ἀλληλούϊα, ἅπαξ. τὸ, Καταξίωσον Κύριε, καὶ μετανοίας, γ. Τροπάριον, Θεοτόκε Παρθένε. καὶ μετανοίαν, ά. Δόξα. Βαπτιστὰ τῆς Χριστοῦ. καὶ μετανοίαν, ά. Καὶ νῦν. Γενεθλίων. μετανοίαν, ά. Τὸ τῶν σὺν ἀσωτίαν. εἶτα μετανοίας. τὸ, Κύριε ἐλέησον, μ. αἱ γ. μεγάλαι μετανοίαι, καὶ αἱ μικραὶ ιβ. ἓξ Ἀπόλυσις.

Περὶ τῆς Ἀποδείπνου.

Μετὰ τὸν Εὐλογητὸν, τὸ Τρισάγιον, καὶ μετανοίας, γ. Δεῦτε προσκυνήσωμεν, γ. καὶ οἱ Ψαλμοί. Ἐν τῷ ἐπικαλεῖσθαί με. Κύριε μὴ τῷ θυμῷσου ἐλέγξῃς με. Ἕως πότε Κύριε ἐπιλήσῃ μου εἰς τέλος; Δόξα, καὶ νῦν. Ἀλληλούϊα, καὶ τοὺς λοιποὺς Ψαλμούς. Εἰς τὸ, Ἀλληλούϊα, μετανοίας, γ. Τὸ, Μεθ' ἡμῶν ὁ Θεός. Τρισάγιον, Τροπάριον. Φώτισον τοὺς ὀφθαλμούς μου Χριστὲ ὁ Θεός. καὶ τὰ λοιπά. τὸ, Κύριε ἐλέησον, μ. καὶ ἡ Εὐχή. Κύριε Κύριε ὁ ῥυσάμενος ἡμᾶς. Δεῦτε προσκυνήσωμεν, γ. μετανοίας, γ. καὶ οἱ Ψαλμοί. Ἐλέησόν με ὁ Θεὸς κατὰ τὸ μέγα. Κύριε εἰσάκουσον τῆς προσευχῆς μου. καὶ ἡ Εὐχή. Κύριε Παντοκράτωρ ὁ Θεός. Τὸ Τρισάγιον, μετανοίας, γ. Τροπάριον. Ἐλέησον, ἡμᾶς. καὶ τὰ λοιπά. τὸ, Κύριε ἐλέησον, μ. καὶ ἡ Εὐχή. Δέσποτα Θεὲ Πάτερ Παντοκράτωρ. Δεῦτε προσκυνήσωμεν, γ. μετανοίας, γ. Οἱ Ψαλμοί. Ὁ Θεὸς εἰς τὴν βοήθειάν μου πρόσχες. Κύριε εἰσάκουσον τῆς προσευχῆς μου. Δόξα ἐν ὑψίστοις Θεῷ. Ὁ Κοιμῶν τῆς Θεοτόκου. Τρισάγιον, καὶ μετανοίας, γ. Κύριε τῇ δυνάμεώσου, μετὰ τῆς σχὼν αὐτῆς, καὶ τῆς προπαρόντων αὐτῆς ὡς σωκήθες. Τὸ, Κύριε ἐλέησον, μ. Ὁ ἐν παντὶ καιρῷ. αἱ μεγάλαι, γ. μετανοίαι, καὶ αἱ μικραὶ, ιβ. Τρισάγιον, καὶ μετανοίας, γ. τὸ, Κύριε ἐλέησον, ιβ. καὶ ἡ Εὐχή. Ἄσωτε, ἀπόλωτε. καὶ τὸ, Καὶ δὸς ἡμῖν Δέσποτα. καὶ Ἀπόλυσις. Οὕτω τελεσθήτω ἡ Ἀκολουθία ἐν τῷ Μεσονυκτικῷ καὶ τῷ Ὀρθρῳ, καθὼς ἐδηλώθη ἐν τῇ ἁ. ἡμέρᾳ. Αὕτη ἡ τάξις καὶ ἡ Ἀκολουθία γίνεται ἀπαραλλάκτως καὶ ἐν τῇ Νηστείᾳ τῆς Ἁγίων Ἀποστόλων.

Δεῖ εἰδέναι, ὅτι ὅταν ἁγιασθῇ τὸ κατὰ Λουκᾶν, τοῦ Εὐαγγελίου, κατ' αὐτὴν τὴν Κυριακὴν, ἁγιάζομεν τὸν Λόγον τοῦ Μεγάλου Βασιλείου, εἰς τὸ, Καθελὼν μου τὰς ἀποθήκας. Ζήτει αὐτὸν εἰς τὰ Ἴδια αὐτοῦ.

Τῷ αὐτῷ Μηνὶ, ΙΕ.

Τῶν Ἁγίων Μαρτύρων καὶ Ὁμολογητῶν, Γρηγορίου, Σαμωνᾶ, καὶ Ἀβίβου. Ἑωθεραὶ εἰς τὸ Κύριε ἐκέκραξα, ἰσῶμεν ἴδ. ς. καὶ ψάλλομεν ἅ. προσόμοια. ἦχος, δ.

Ἐδωκας σημείωσιν.

Ἀβίβος ὁ παμσοφος, καὶ Σαμωνᾶς ὁ θαυμάσιος, καὶ Γρηγορίας ὁ ἔνδοξος, κοινῷ συγκαμόντες, τοῖς πιστοῖς χορείαν, ἐν ἀγαλλιάσει, μοῦ συγχορεύσουσιν ἡμῖν, οἱ Ἀθλοφόροι καὶ σωθρονίζονται. ψυχαῖς ταῖς τῶν Μαρτύρων δέδοται, τὰ ἐπουράνια γινόμενα, μερικῶς ἐμπορεύεσθαι.

Πόνους ὑπομείναντες, τῶν ἀφορήτων κολάσεων, καὶ γενναίως ἀθλήσαντες, Τριάδος ἰσάριθμοι, Σαμωνᾶ Γρηγόριε, Ἀβίβε θεόφρον, τῆς αἰωνίου καὶ τερπνῆς, καταξιωθέντες μοῦ ἀπολαύσεως, καμάτων τὴν ἀντίδοσιν, ἀντιμισθίους ἡμῖν Χριστῷ,

στοῦ, ὃν θερμῶς ἱκετεύσατε, τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Μονάδα τρισάριθμον, ὁμολογήσαντες Ἅγιοι, τῶν Ἑλλήνων ἐλύσατε, πολύθεον φρόνημα, καὶ μωρὰν σοφίαν, τῇ νομιζομένῃ, μωρία εἶναι παρ' αὐτοῖς, Σταυροῦ δυνάμει μακαριώτατοι. ὑφ' οὗ ἐνδυναμούμενοι, καὶ τὰς πικρὰς τῶν κολάσεων, ὑπεμείνατε μάστιγας, θαρσαλαίῳ φρονήματι.

Ὅρμον πρὸς ἀκύμαντον, καὶ πρὸς ζωὴν ἀστασίαστον, καὶ λιμένα τὸν εὔδιον, ἀθλοφόροι Μάρτυρες, προσκεχωρηκότες, τὸ διαιωνίζον, τῆς ἀπαθοῦς διαμονῆς, καὶ διαρκοῦσαν νῦν ἀντηλλάξασθε, τῶν πόνων τὴν ἀντίδοσιν, καὶ τῶν καμάτων τὰ ἔπαθλα, ἐκ Θεοῦ κομισάμενοι, ἐπαξίως μακάριοι.

Δοξα. ἦχος, β'. Ἱκασίας Μοναχῆς.

Ἤδεσα εὐφραίνεται, ὅτι ἐν τῇ σορῷ τῶν Ἁγίων ἐπλουτίσθη, Γουρία Σαμωνᾶ καὶ Ἀβίβου. καὶ τὸ φιλόχριστον ποίμνιον, συγκαλουμένη βοᾷ. δεῦτε φιλομάρτυρες λαμπρύνθητε, ἐν τῇ μνήμῃ τῇ φαιδρᾷ. δεῦτε οὖν φιλέορτοι φωτίσθητε. δεῦτε ἴδετε φωστῆρας οὐρανίους, ἐν γῇ περιπολεύοντας. δεῦτε καὶ ἀκούσατε, οἷον θάνατον πικρὸν, οἱ γενναῖοι ἀδάμαντες ὑπέστησαν, διὰ τὴν ἀτελεύτητον ζωήν. διὸ καὶ ἐγγυηταὶ ὄντες τῆς ἀληθείας, Κόρην διέσωσαν ἐν μνήματι ζῶσαν βεβλημένην. καὶ τὸν τούτους ἀθετήσαντα παμμίαρον, τῷ ὀλέθρῳ παρέδωκαν ὡς φονέα καὶ ἀνελεήμονα. καὶ ἐκτενῶς δυσωποῦσι, τὴν παναγίαν Τριάδα, τοῦ ῥυσθῆναι ἐκ φθορᾶς καὶ πειρασμῶν, καὶ παντοίων κινδύνων, τοὺς ἐν πίστει ἐκτελοῦντας, αὐτῶν τὰ μνημόσυνα.

Καὶ νῦν. θτ'. Ὅτε, ἐκ τοῦ ξύλουσε.

Μί σοι, ὁ ταλαίπωρος ἐγὼ, Δέσποινα τοῦ Κόσμου προσοίσω, εἰ μὴ δακρύων πηγὰς, καὶ ἐξομολόγησιν, τῶν πεπραγμένων μοι; ἀλλ' ἱλέῳ σου ὄμματι, ἐπίβλεψον Κόρη, ἐπὶ τὴν ἀσθένειαν, τῆς ταπεινῆς μου ψυχῆς, λῦσον τῶν παθῶν μου τὰ νέφη, καὶ τῆς κατεχούσης ἀχλύος, δέομαι ἀπάλλαξον τὸν δουλόν σου.

Σταυροθεοτοκίον. Ὅμοιον.

Ζύλῳ, τοῦ Σταυροῦ σου Ἰησοῦ, προσαναρτηθέντα ὁρῶσα, ἡ Ἀπειρόγαμος, ἔκλαιε καὶ ἔλεγε· Τέκνον γλυκύτατον, ἵνα τί ἐγκατέλιπες, ἐμὲ τὴν τεκοῦσαν, μόνην φῶς ἀπρόσιτον, τοῦ προανάρχου Πατρός; σπεῦσον, καὶ δοξάσθητι ὅπως, δόξης ἐπιτύχωσι θείας, οἱ τὰ θεῖα Πάθη σου δοξάζοντες.

Εἰς τὸν σι. ει. τῆς Ὀκτωήχου.

Εἰ δὲ βούλει, εἰπὲ τὰ παρόντα. ἦχος, α'.

Τῶν οὐρανίων Ταγμάτων.

Θαῦμα θαυμάτων ἀξίως, θαυμασιώτερον, τῷ κόσμῳ ἀνεδείχθη, τὸ ὑμέτερον θαῦμα, Μάρτυρες Κυρίου ἀπὸ δυσμῶν, τῶν ἐθνῶν γὰρ τὴν Κόρην ποτὲ, ταφῇ δοθεῖσαν ἀδίκως ταῖς μητρικαῖς, διεσώσατε ἀγκάλαις ὑμεῖς.

ει. Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις.

Μαρτυρικῶς ἐναθλοῦντες, θεομακάριστοι, τὰς τῶν ἐχθρῶν αἰκίας, ὥσπερ χάριν πλουσίαν, ἐδέξασθε προθύμως τῶν ὀρεκτῶν, τὴν ἀπόλαυσιν ἔρωτι, ἠλογηκότες τῶν θείων τῇ ἐκλογῇ, ταῖς ποιναῖς οὐ κατεκάμφθητε.

ει. Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ.

Γουρίαν πάντες τὸν μέγαν, καὶ γενναιότατον, σὺν Σαμωνᾷ τῷ θείῳ, καὶ Ἀβίβῳ τῷ πάνυ, ὡς ὄντι ἐν Λευίταις, ὕμνοις πιστῶς, εὐφημήσωμεν σήμερον. ὅτι θερμότατοι πάντων ὑπασπισταὶ, ἐν ταῖς θλίψεσιν ὑπάρχουσι.

Δοξα, ἦχος, β'.

Δεῦτε φιλομάρτυρες πάντες, τοὺς τοῦ Χριστοῦ ἀριστέας, ὕμνοις τιμήσωμεν, Γουρίαν Ἄβιβον καὶ Σαμωνᾶν. ὅτι παραδόξως ἐνεργοῦσι τοῖς θαύμασιν. ὅρκῳ γὰρ οὐ παρεῖδον, μεταναστεῦσαι Κόρην. ἀλλ' ἐκπληροῦντες τὸ αἴτημα, τὴν Παῖδα διεσώσαντο, παραμόμῳ Γότθῳ, ἄμυναν ποιήσαντες. δι' ὧν Χριστὲ ὁ Θεὸς, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος, σῷσον τὰς ψυχὰς ἡμῶν.

Καὶ

Καὶ νῦν. θτ. Ὅτε, ἐκ τοῦ ξύλουσε.

Μόνη, τὸν ἀχώρητον Θεὸν, ἀστενοχωρήτως ἐν μήτρᾳ, ἐκυοφόρησας, ἄνθρωπον γενόμενον, δι' ἀγαθότητα, Παναγία Θεόνυμφε. διὸ δυσωπῶσε, τῶν στενοχωρούντων με, παθῶν ἀπάλλαξον. ὅπως, τὴν στενὴν καὶ εὐθεῖαν, τρίβον διοδεύσας προφθάσω, τὴν ἐπὶ ζωὴν Παρθένε φέρουσαν.

Σταυροθεοτοκίον. Ὅμοιον.

Ὕβρεις, ὑπομείναντα πολλὰς, καὶ ἐπὶ Σταυροῦ ὑψωθέντα, τὸν τοῦ παντὸς Ποιητὴν, βλέψασα παράχραντε, ἔστενες λέγουσα· ὑπερύμνητε Κύριε, Υἱὲ καὶ Θεέ μου, πῶς τιμῆσαι θέλων σου, τὸ πλάσμα Δέσποτα, φέρεις, ἐν σαρκὶ ἀτιμίαν; δόξα τῇ πολλῇ εὐσπλαγχνίᾳ, καὶ συγκαταβάσει σου φιλάνθρωπε.

Ἀπολυτίκιον. ἦχος, πλ. α.

Μὰ θαύματα τῶν Ἁγίων σου Μαρτύρων, τεῖχος ἀκαταμάχητον, ἡμῖν δωρησάμενος Χριστὲ ὁ Θεὸς, ταῖς αὐτῶν ἱκεσίαις, βουλὰς ἐθνῶν διασκέδασον, τῆς βασιλείας τὰ σκῆπτρα κραταίωσον, ὡς μόνος ἀγαθὸς καὶ φιλάνθρωπος.

Εἰς τὸν Ὄρθρον, ἡ συνήθης ἐλλό. Οἱ Κανόνες τῆς Ὀκτωήχου, καὶ τῶν Ἁγίων.

Οὗ ἡ ἀκροστιχίς.

Τοὺς τρεῖς ὁμοῦ λέγοντας αἰνῶ προφρόνως.

Θεοφάνους. Ὠδὴ, α. ἦχος, δ.

Θαλάσσης τὸ ἐρυθραῖον πέλαγος.

Τριάδος τὴν Μοναρχίαν Ἅγιοι, θεολογοῦντες σεπτῶς, πολυαρχίας ἄστατον ἀχλὺν, εὐμαρῶς διελύσατε, ἀνατολῆς πολύφωτοι, ὥς περ ἀστέρες ἀνατείλαντες.

Οἱ τρεῖς Ὁμολογηταὶ τῇ χάριτι, καταλαμπόμενοι, τῆς ἀρχικῆς Τριάδος ἐμφανῶς, τὸ τῆς πλάνης πολύθεον, καρτερικὴν τὴν ἔνστασιν, ἐπιδεικνύντες ὀξηφάνειαν.

Ὑμᾶς μὲν ὑοθετήσας ἔνδοξοι, θέσει ὁ φύσει Υἱὸς, τῆς νῦν αὐτῷ δοθείσης ἐκ Πατρὸς, κληρουχίας ὡς εὔσπλαγχνος, συγκληρονόμους ἔδειξε, καὶ βασιλείας συμμετέχοντας.

Θεοτοκίον.

Σοφίας τῆς ὑπερσόφου γέγονας, σκηνὴ Πανάμωμε. τὸν ἑαυτῆς γὰρ οἶκον ἐκ τῶν σῶν, παναχράντων αἱμάτων σεμνὴ, οἰκοδομεῖν εὐδόκησε, πρὸς σωτηρίαν τῶν ψυχῶν ἡμῶν.

Ὠδὴ, γ. Εὐφραίνεται ἐπὶ σοί.

Τὸ σῶμα τοῖς αἰκισμοῖς, ἐθελουσίως καὶ δειναῖς μάστιξιν, οἱ τοῦ Χριστοῦ παρέδωκαν, Ὁμολογηταὶ καὶ θεράποντες.

Ῥυσθῆναι τῶν χαλεπῶν, τῆς ἁμαρτίας λογισμῶν Ἅγιοι, τοὺς τὴν ὑμῶν ἄθλησιν, πίστει ἐκτελοῦντας πρεσβεύσατε.

Ἐν ξύλῳ καρτερικῶς, ἀναρτηθέντες οἱ σεπτοὶ Μάρτυρες, πανευσεβῶς ἄτρωτον, τὴν ὁμολογίαν διέσωσαν.

Θεοτοκίον.

Τάσεώνσε πηγὴ, ὁ τὴν σὴν μήτραν ὑποδὺς ἔδειξε, Μήτηρ Θεοῦ πάναγνε, τὴν ἐμὴν ψυχὴν οὖν θεράπευσον.

Ὁ Εἱρμός.

Εὐφραίνεται ἐπὶ σοὶ, ἡ Ἐκκλησία σου.

Κα. ἦχος, α. Τὸν τάφον σου Σωτήρ.

Τριάδος τῆς σεπτῆς, καταγγέλλοντες πίστιν, πολύθεον σοφοὶ, τῶν εἰδώλων ἀπάτην, ἀνδρείως καθείλετε, ὡς τῆς πίστεως πρόμαχοι. Κόρην ζῶσαν δὲ, κατακλεισθεῖσαν ἐν τάφῳ, διεσώσατε, θανατηφόρου κινδύνου, ὑμᾶς μακαρίζουσαν.

Δόξα. ἦχος, πλ. Τὴν Σοφίαν.

Τῷ Σταυρῷ ὁπλισθέντες τῷ τοῦ Χριστοῦ, ἐν αὐτῷ τῶν Τυράννων πᾶσαν ἰσχὺν, ἀνδρείως καθείλετε, ὡς τῆς πίστεως πρόμαχοι, τὴν ἀθείαν πᾶσαν, εἰδώλων ἐλέγξαντες, καὶ τὴν Τριάδα Ἅγιοι, προθύμως κηρύξαντες. ὅθεν ἐπαξίως, παρ' αὐτῆς τοὺς στεφάνους, τῆς νίκης ἐλάβετε, ὡς νομίμως ἀθλήσαντες, Ἀθλοφόροι Πανεύφημοι. πρεσβεύσατε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ, τὴν ἁγίαν μνήμην ὑμῶν.

Καὶ νῦν. Θεοτοκίον. Ὅμοιον.

Τὴν σοφίαν καὶ Λόγον ἐν σῇ γαστρὶ, συλλαβοῦσα ἀφλέκτως Μήτηρ Θεοῦ, τῷ Κόσμῳ ἐκύησας, τὸν τὸν Κόσμον κατέχον-

τα, καὶ ἐν ἀγκάλαις ἔσχες, τὸν πάντα συνέχοντα, τὸν τροφοδότην πάντων, καὶ πλάστην καὶ Κύριον. ὅθεν δυσωπῶ σε, Παναγία Παρθένε, καὶ πίστει κραυγάζω σοι, τοῦ ῥυσθῆναι πταισμάτων μου, ὅταν μέλλω παρίστασθαι, πρὸ προσώπου τοῦ Κτίστου μου. Δέσποινα Θεοτόκε ἁγνὴ, τὴν σὴν βοήθειαν τότε μοι δώρησαι. καὶ γὰρ δύνασαι, ὅσα θέλεις Πανάμωμε.

Σταυροθεοτοκίον. Ὅμοιον.

Ἑκουσίως ὁρῶσα ἐν τῷ Σταυρῷ, ὑπομένοντα πάθη ἤλγει Χριστὲ, καρδίαν ἡ πάναγνος, Θεοτόκος καὶ Μήτηρ σου, καὶ δακρυῤῥόους Λόγε, φωνάς σοι ἐφθέγγετο. οἴμοι θεῖον Τέκνον, καὶ φῶς τῶν ὀμμάτων μου, πῶς λαὸς ἀνόμων, θανάτῳ κατέκρινεν; ὅμως εἰς τὸ σῶσαι, τῶν ἀνθρώπων τὴν φύσιν, ταῦτα νῦν ὑφίστασαι, τὴν πεσοῦσαν τὸ πρότερον. ἀνυμνῶ σου τὸ εὔσπλαγχνον, καὶ τὴν ἄῤῥητον δύναμιν, ὦ Θεὲ ὑπεράγαθε, εὐδιάλλακτε Κύριε, ὁ θέλων τὸ σωτήριον τοῦ λαοῦ σου, εἰς οἶκτον ἐκ σπλάγχνων σου καμπτόμενος.

Ὠδὴ, δ'. Ἐπαρθέντα σε ἰδοῦσα.

Σταθηρὰν τῆς καρτερίας οἱ Ἀθλοφόροι, ἀνηλεῶς στρεβλούμενοι, ποικίλαις βασάνοις, πᾶσιν ἐπεδείξαντο, συμφώνως κραυγάζοντες· δόξα τῇ δυνάμει σου Κύριε.

Οἱ τῆς Τριάδος ἰσάριθμοι στεφανῖται, τρισοφεγγεῖ λαμπάδι, τοὺς νῦν ἐκτελοῦντας, μνήμην τὴν πανίερον, αὐτῶν καταυγάζουσι, πᾶσι τὰς ἰάσεις βραβεύοντες.

Μετ' εὐλαβείας προσδράμωμεν τῇ φοσφόρῳ, καὶ φωταυγεῖ θεόφρονες, θήκῃ τῶν Μαρτύρων. βρύει γὰρ ἰάματα, τοῖς πίστει κραυγάζουσι· δόξα τῇ δυνάμει σου Κύριε.

Ὁμολογοῦντες τῆς θείας οἰκονομίας, τὸ ὑπὲρ νοῦν μυστήριον, γλώσσαις θεολόγοις, πᾶσαν ἀθεότητα, οἱ θεῖοι καὶ πάνσοφοι, ὁμολογηταὶ κατηδάφισαν. θ'.

Ὑπὲρ ἔννοιαν ἐκύησας ὦ Παρθένε, καὶ μετὰ τόκον ὤφθης, παρθενεύουσα πάλιν. μέγα τὸ μυστήριον, τῆς κυοφορίας σου, Μῆτερ Ἀειπάρθενε Ἄχραντε.

Ὠδὴ, ε'. Σὺ Κύριέ μου φῶς.

Λαμπρότηοι σαφῶς, τῶν ἀγώνων ἐκλάμποντες, ἐφαύλισαν τῶν Τυράννων, τὸ ἀνίσχυρον θράσος, τῆς πίστεως οἱ πρόβολοι.

Εἰς πάντα προφανῶς, Οἰκουμένης τὰ πέρατα, τὰ θαύματα τῶν Μαρτύρων, διεδόθη καὶ πάντας, τῇ πίστει ἐβεβαίωσαν.

Τῇ ὥσπερ ἀγαθὴ, τὰ τῆς χάριτος σπέρματα, δεξάμενοι ἐν τῇ πίστει, φιλοπόνως πλουσίως, οἱ θεῖοι ἐγεώργησαν.

Θεοτοκίον.

Ὁ μόνος ἀγαθὸς, καὶ πελάγει χρηστότητος, τὰ σύμπαντα Θεομήτωρ, συγκρατῶν σαῖς ἀγκάλαις, κρατεῖσθαι κατηξίωσεν.

Ὠδὴ, ϛ'. Θύσω σοι, μετὰ φωνῆς.

Νομίμως, ὡς καλοὶ στρατιῶται θεόφρονες, ἐγκρατευσάμενοι πάντα, καὶ τραπῶς τὴν πίστιν τετηρηκότες, τὸν τῆς θείας, δικαιοσύνης ἤρατε στέφανον.

Πρὸ πρὶν μὲν, ὁ Ἀββακοὺμ μετάρσιος αἴρεται, τῇ τοῦ Δεσπότου προστάξει. δι' ὑμῶν δὲ Κόρη τυραννουμένη, Θεηγόροι, τῇ θρεψαμένῃ ἀποκαθίσταται.

Ἀστράπτει, ἡ σορὸς τῶν Μαρτύρων τοῖς θαύμασι, καὶ ποταμοὺς ἀναβλύζει, ἰαμάτων πᾶσι τοῖς προσιοῦσι, καὶ τοῖς πίστει, τὴν αὐτῶν καρτερίαν θαυμάζουσιν.

Θεοτοκίον.

Σὲ μόνην, τῶν ἀκανθῶν ἐν μέσῳ εὑράμενος, ὡς καθαρώτατον κρίνον, καὶ κοιλάδων ἄνθος ὦ Θεομῆτορ, ὁ Νυμφίος, ὁ νοητὸς ἐν σοὶ κατεσκηνώσεν.

Ὁ Εἱρμός.

Θύσω σοι, μετὰ φωνῆς αἰνέσεως.

Κοντακ. ἦχος, β'. Τὰ ἄνω ζητῶν.

Ἐξ ὕψους σοφοὶ, τὴν χάριν κομισάμενοι, τοῖς ἐν πειρασμοῖς προΐστασθε πανεύφημοι. διὸ Κόρην Ἅγιοι, ἐκ θανάτου πικροῦ ἐλυτρώσατε. ὑμεῖς γὰρ ὄντως ὑπάρχετε, Ἐδέσης ἡ δόξα, καὶ τοῦ Κόσμου χαρά.

Ὁ Οἶκος.

Τῆς τοῦ ἐχθροῦ δουλείας με ῥῦσαι, Ἰησοῦ ζωοδότα, ταῖς τῶν σῶν ἀθλητῶν ἐντεύ-

τεύξεσι δυσωπούμενος. ὅπως ἀδούλωτον κεκτημένος τὴν ψυχὴν, καὶ τὸ σῶμα τῶν παθημάτων, ἀνεύφημῶ τὴν αὐτῶν ὀξυτάτην βοήθειαν. προφθάσαντες γὰρ ἐκ τάφου, τοῦ θανάτου ἐρρύσαντο κράζουσαν τὴν Κόρην, ἣν περ παρέθετο, ἐκβοῶσα ἡ Μήτηρ τοῖς Μάρτυσιν. Ὑμεῖς ὄντως ὑπάρχετε, Ἐδέσης ἡ δόξα, καὶ τοῦ Κόσμου χαρά.

Τῷ αὐτῷ Μηνὶ, ΙΕ. Μνήμη τῶν Ἁγίων Μαρτύρων καὶ Ὁμολογητῶν, Γουρία, Σαμωνᾶ, καὶ Ἀβίβου.

ἅ. Ξίφος τελειοῖ, Σαμωνᾶν καὶ Γουρίαν.

Καὶ φλὸξ Ἄβιβον. οἷς χαρὰ πῦρ καὶ ξίφος.

Πῦρ πέμπτῃ δεκάτῃ Ἄβιβον πέφνε, χαλκὸς ἑτάρους.

Μούτων, ὁ μὲν Σαμωνᾶς καὶ Γουρίας, ἤθλησαν ἐπὶ Διοκλητιανοῦ βασιλέως, καὶ Ἀντωνίνου Δουκός. Γουρίας μὲν ὁρμώμενος ἀπὸ Σαργωκητίας κώμης. Σαμωνᾶς δὲ, ἀπὸ Γαράδος. Διεβλήθησαν δὲ, ὡς ἀναπείθοντες τοὺς ἀνθρώπους μὴ θύειν εἰδώλοις. Καὶ εὐθὺς ἀναρτῶνται ἀπὸ μιᾶς χειρὸς ἑκάτερος, τῶν ποδῶν αὐτῶν κάτωθεν λίθῳ βαρυνομένων. Καὶ ἔμειναν ἀπὸ ὥρας τρίτης ἕως ὥρας ἕκτης κρεμάμενοι. Εἶτα κατενεχθέντες, ἐν σκοτεινῷ τόπῳ τῆς φυλακῆς ἐναπορρίπτονται, καὶ τῷ ξύλῳ τοὺς πόδας περισφιγχθέντες, ἔμειναν ἐκεῖ λιμῷ καὶ δίψει, καὶ δεσμοῖς πιεζόμενοι, τετραμηνιαῖον χρόνον. Μετὰ δὲ ταῦτα ἐξαγαγόντες αὐτοὺς πάλιν οἱ διῶκται, τὸν μὲν Ἅγιον Σαμωνᾶν ἀναρτῶσι τοῦ ἑνὸς ποδός. καὶ τὸ γόνυ ἐξαρθρωθεὶς, κατὰ κεφαλῆς ἀπὸ ὥρας δευτέρας ἕως πέμπτης κρεμᾶται. Τὸν δὲ Ἅγιον Γουρίαν ἐῶσιν ὡς ἡμίθνητον ὑπάρχοντα, καὶ νεκροῦ οὐδὲν ἄμεινον ἐοικότα. καὶ τῇ ἕωθεν ἐξαγαγόντες, τὴν διὰ ξίφους τιμωρίαν οἱ διῶκται ἐπιφέρουσιν. Ἄβιβος δὲ Διάκονος ὢν τὴν τάξιν, ἐπὶ Λικινίου τοῦ Βασιλέως διαβληθεὶς, ὡς διδάσκων τὰς Χώρας καὶ Κώμας τὸν λόγον τοῦ Κυρίου, κρεμασθεὶς τύπτεται. καὶ ἀφεθεὶς πάλιν ἐρωτᾶται, καὶ μὴ εἴξας τῷ θελήματι τοῦ Τυράννου, τῷ πυρὶ παραδίδοται, ἱμάντα ἔχων ἐπὶ τοῦ στόματος δίκην φονέως. Καὶ οὕτως ἐτέλεσεν αὐτοῦ τὴν μαρτυρίαν.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ Ὁσίου Πατρὸς ἡμῶν Κυντιριανοῦ Ἐπισκόπου Σελευκείας. Καὶ μνήμη τῶν εὐσεβῶν Βασιλέων, Ἰουστίνου καὶ Θεοδώρας. καὶ τοῦ Ἁγίου Θωμᾶ, Πατριάρχου Κωνσταντινουπόλεως τοῦ Νέου.

ἅ. Ζωὴν ὁ Θωμᾶς ἐκλιπὼν μετρουμένην, Ζωὴν πρεπόντως εὗρεν οὐ μετρουμένην.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τῶν Ἁγίων Μαρτύρων, Ἐλπιδίου, Μαρκέλλου, Εὐστοχίου, καὶ τῶν σὺν αὐτοῖς.

ἅ. Πῦρ Ἐλπίδιε σὺν δυσὶ στέγειν φίλοις. Ἡ τῶν ἐπάθλων ἐλπὶς ἠρέθιζέσε.

Ὁ Μακάριος Ἐλπίδιος εἷς τῆς Συγκλήτου Βουλῆς ὑπάρχων, καὶ τὰ μυστικὰ πιστευόμενος πράγματα, καὶ νόμους γράφων, Χριστιανὸς ἐγνωρίζετο. Παραστὰς οὖν τῷ ἀποστάτῃ Ἰουλιανῷ, τρίχινον ἱμάτιον περιβάλλεται, σιδηροῦς τριβόλους ἐμπεπαρμένους ἔχων, ᾧ πίσσης καχλαζούσης ἄνωθεν ἐπαλειφομένης, οἱ σιδηροῖ τρίβολοι ἡδραιοῦντο. Εἶτα τύπτεται κατὰ πᾶν μέρος τοῦ ἱματίου, καὶ ταῖς τῶν τριβόλων ἀκίσι τὰς σάρκας καταπείρεται. Καὶ βόθρῳ βληθεὶς, καχλάζοντι ὕδατι ἐπιχέεται, καὶ τὰς σάρκας κατακαίεται. Καὶ ἐκ πίσσης καὶ στέατος, καὶ ἑτέρων τοιούτων κολλητικῶν ἅμα καὶ καυστικῶν φαρμάκων κράμα ἐνσκευασάμενος ὁ παράνομος, καὶ σφόδρα ἐκκαύσας, ἐπαντλεῖσθαι τὰς κατατακείσας αὐτοῦ σάρκας προστάττει, καὶ δριμεῖς ἑτέρους χυμοὺς μετὰ καὶ θείου ἀπύρου καὶ ἀσφάλτου συγκεκραμένους ἐγχέεσθαι κατὰ τοῦ στόματος. Ἔπειτα ἵπποις ἀγρίοις καὶ ταύροις σὺν ἅμα Εὐστοχίῳ, καὶ Μαρκέλλῳ δεσμεῖται πρὸς τὸ διασπασθῆναι. τὰ δὲ ἀκίνητα ἔμειναν. Καὶ ῥοπάλοις ἀγρίοις τὰ μέλη συντρίβονται. καὶ πυρὶ ἐναπορρίφθέντες, ἀφῆκαν τὰς ψυχὰς αὐτῶν εἰς χεῖρας Θεοῦ. Λέγεται δὲ μετὰ ταῦτα, ἐν τῷ Καρμηλίῳ μὲν ὄρει τεθάφθαι αὐτῶν τὰ σώματα. βρόντων δὲ καὶ ἀστραπῶν εὐθὺς

γενο-

γενομένων, τὸν Χριστὸν μετὰ δυνάμεως Ἀγγελικῆς παραγενέσθαι, καὶ τοὺς Μάρτυρας ἀσπάσασθαι. Καὶ Εὐστόχιον μὲν, καὶ Μάρκελλον μεταθῆναι εἰς ὃν ἐδόκησε τόπον. τὸν δὲ θαυμαστὸν Ἐλπίδιον, ζωῶσαί τε αὖθις καὶ παραθαρρῆναι, καὶ πρὸς ἀγῶνας δευτέρους παραπέμψαι. καὶ Ἰουλιανὸν θεασάμενον αὐτὸν ἐκπλαγῆναι, καὶ ἐκ τεσσάρων μὲν ἁπλωθῆναι προστάξαντα, ἀνενδότως δὲ μαστίζεσθαι, ὀξαλμῇ τε καταντλεῖσθαι, καὶ τριχίνοις ὑφάσμασι τοὺς μώλωπας ἀνατρίβεσθαι, καὶ ἐπ' ἀνθρακιᾶς ζεούσης ἁπλωθῆναι, καὶ ἄνθρακας ἅπτοντας ἐπὶ τῇ κεφαλῇ αὐτοῦ τεθῆναι, καὶ ἐπὶ τοῦ βασανιστηρίου ξύλου ἀναρτηθῆναι, καὶ θυρεῷ σιδηρῷ, ἔχοντι κατὰ τὸ μεσαίτατον ὁπλὴν, τοῖς ὤμοις αὐτοῦ τεθῆναι, καὶ κούρακι σιδηρῷ κατὰ κεφαλῆς τύπτεσθαι, καὶ σώρευμα πυρὸς ἐπιτεθῆναι ὡς τὰ αἰσθητήρια καυθῆναι. Καὶ τούτου γενομένου, πιστεῦσαι πολλοὺς ἐπὶ τὸν Χριστὸν, καὶ τὰ εἴδωλα συντρίψαι. καὶ μετὰ ταῦτα καὶ εἰς κάμινον πυρὸς βληθῆναι. ἐν ᾗ τελευταῖον, ἀφῆκε τῷ Κυρίῳ τὸ πνεῦμα.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ Ἁγίου Ἱερομάρτυρος Ὑπατίου Ἐπισκόπου Γαγγρῶν.

ἡ. Κτείνει γυνὴ βαλοῦσα καιρίαν λίθῳ.

Τὸν Ὑπάτιον. φεῦ γυναικὸς ἀθλίας.

Ὁ ἐν Ἁγίοις Πατὴρ ἡμῶν Ὑπάτιος, ὑπῆρχεν ἐπὶ Κωνσταντίνου τοῦ μεγάλου Βασιλέως, εἷς τῶν Ἁγίων τριακοσίων δέκα καὶ ὀκτὼ Πατέρων τῶν συνελθόντων ἐν Νικαίᾳ. Ὃς διὰ τὴν ἐνάρετον καὶ ἔνθεον πολιτείαν, μεγάλα κατειργάσατο θαύματα, πολλά τε πλήθη προσαγαγὼν τῷ Χριστῷ, καὶ οἶκον κατασκευάσας, ἐκ τοῦ γένους ὑπεδέχετο. Ἀλλὰ καὶ Ἀσπλαγκὰς τὴν χώραν κυκλοῦντας λόγῳ ἠφάνισε, καὶ νύκτωρ διερχόμενος, ὡς ὑπὸ λαμπροῦ φωτὸς κατηυγάζετο. καὶ ἁλμυρὸν ὕδωρ εἰς γλυκὺ μετεποίησεν. Ἐπὶ δὲ Κωνσταντίου τοῦ υἱοῦ Κωνσταντίνου τοῦ μεγάλου Βασιλέως, θηρίον Δράκων μέγας ποθὲν, τῷ θησαυρῷ τῶν χρημάτων ἑρπίσας ὑπεισῆλθε, καὶ ὡς λόγος, τοσαύτην ἐποίει κατάπληξιν, ὡς μηδένα κατατολμᾶν ἐκεῖσε προσελθεῖν. εἰδέτις καὶ τολμήσας προσῆλθεν, εὐθέως ἐθανατοῦτο, καὶ ἦν ἐν ἀπορίᾳ ὁ Βασιλεύς. Ἀκούσας δὲ περὶ τοῦ Ἁγίου, διεπρεσβεύσατο πρὸς αὐτόν. Καὶ ἐλθὼν ὁ Ἅγιος, καὶ πρὸς τὸ ταμεῖον πλησιάσας μόνος, ἀνοίγει τὴν θύραν, ῥάβδον κατέχων ἄνωθεν ἔχουσαν Σταυρόν. καὶ ταύτῃ πατάξας τὸν δράκοντα, ἐξήγαγε σύρων αὐτὸν ὥσπερ κῆτος, τῇ ῥάβδῳ περιαλώμενον. Καὶ κελεύσας πυρκαϊὰν γενέσθαι μεγάλην ἐν τῷ φόρῳ, ἐκεῖ τοῦτον ἀκοντίσας κατέκαυσεν. Ὁ δὲ Βασιλεὺς ἐκπλαγεὶς, πρὸς τὸ μὴ τοιοῦτον παθεῖν ἄλλοτε, τῷ αὐτοῦ ταμείῳ τὴν τοῦ Ἁγίου εἰκόνα τῇ ἀνόδῳ αὐτοῦ ἀνεστήλωσεν. Οὗτος φθονούμενος παρὰ τῶν ἀθέων Ναυατιανῶν, τῶν καθ' ἑκάστην αὐτῷ ἐπιτρεχόντων, καὶ μάλιστα τῶν κατὰ τὴν Λαζικὴν οἰκούντων κακοπίστων, ἐνεδρευσάντων αὐτῷ ἐν κενῷ καὶ ἐπικρήμνῳ τόπῳ, ἡνίκα παρελθεῖν ἔδει τὸν Ἀβραμιαῖον ἐκεῖνον γέροντα, ἄφνω ἄνδρες ὁμοῦ καὶ γυναῖκες, λίθοις αὐτὸν ἔβαλον. Ἡμιθανοῦς δὲ αὐτοῦ πεσόντος, γυνὴ τὶς ἐναγὴς καὶ ἀκάθαρτος, ὅλην τῆς αἱρέσεως πιοῦσα τὴν κύλικα, λίθον μέγαν λαβοῦσα, τῷ κροτάφῳ ἐπιφέρει, καὶ τὸ λοιπὸν τῆς ζωῆς ἀφαιρεῖται. καὶ οὕτως ἐπληρώθη αὐτοῦ ἡ μαρτυρία.

Τῇ αὐτῇ ἡμέρᾳ, Τοῦ Ἁγίου Μάρτυρος Δημητρίου.

ἡ. Ὁ Δημήτριος, χειρὶ τμηθεὶς δημίου,

Δήμοις ἀθλητῶν συγχορεύει Κυρίου.

Οὗτος, καταχεθεὶς ἐπὶ Μαξιμιανοῦ καὶ Μαξιμίνου τῶν βασιλέων, καὶ Πουπλίου Ἄρχοντος, πολλὰς βασάνους διὰ Χριστὸν ὑπέμεινε, καὶ τελευταῖον, ξίφει τὴν κεφαλὴν ἀποτέμνεται.

Ταῖς αὐτῶν ἁγίαις πρεσβείαις ὁ Θεός.

Ὠδὴ, ζ. Ἐν τῇ καμίνῳ.

Ἀβραμιαίους, ἐν τῇ καμίνῳ ὁ ῥυσάμενος, οὗτος καὶ τὴν ξένην Κόρην τῆς χαλεπῆς, περιστάσεως διέσωσε, τῇ μεσιτείᾳ νῦν, τῶν αὐτοῦ θεραπόντων ὡς εὔσπλαγχνος.

Ἰ τα-

Ἰταμωτάτης, ἀπανθρωπίας δίκην ἔδωκε, πάντων τῶν κακῶν ἀθρόως ἀπαιτηθεὶς, ὁ ἀλάστωρ καὶ δυσώνυμος, κρίσει δικαίᾳ σου, Λόγε Θεοῦ σοφία καὶ Δύναμις.

Νενευρωμένη, τῇ πρὸς ὑμᾶς ἐλπίδι ἔνδοξοι, Κόρη καθειργμένη τάφῳ μετὰ νεκρῶν, προσδοκίας οὐ διήμαρτεν, εὐλογημένος εἶ, ὁ Θεός μου βοῶσα καὶ Κύριος.

Θεοτοκίον.

Ὡς νεόσμικτον, καὶ φωταυγίας πέμπον ἔσοπτρον, αἴγλην θεϊκῆς Παρθένε μαρμαρυγῆς, προσβαλοῦσάν σοι ἐχώρησας. εὐλογημένη σὺ ἐν γυναιξὶ, Παράμωμε Δέσποινα.

Ὠδὴ, η. Χεῖρας ἐκπετάσας Δανιήλ.

Παγκόσμιος σήμερον ἡμῖν, λαμπρὰ πανήγυρις, ἡ τῶν Μαρτύρων Χριστοῦ, περιαυγάζουσα χάριτι, τῶν θαυμάτων τοὺς προστρέχοντας, καὶ χαρμονῇ πνευματικῇ, πίστει κραυγάζοντας· εὐλογεῖτε, πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

Ῥαδίως οἱ ὁμολογηταὶ, τῆς σῆς Θεότητος, πᾶσαν κατήργησαν, τὴν ἀθεότητα Δέσποτα, τῶν Τυράννων μὴ πτοούμενοι, τὰς ἀπειλὰς τῶν δυσμενῶν, πίστει ῥωννύμενοι, ἀνεβόων· πάντα τὰ ἔργα ὑμνεῖτε τὸν Κύριον.

Οἱ πάνσοφοι ὁμολογηταὶ, οἱ προϊστάμενοι, τοῦ θείου δόγματος, ἐχθρῶν τὰς φάλαγγας τρέποντες, διὰ ξίφος ἀναιρούμενοι, νίκην παράδοξον σαφῶς, καὶ διαλάμπουσαν, δεδειχότες. πίπτοντες τοὺς ἐναντίους γὰρ ἥττησαν.

Θεοτοκίον.

Φύσεσιν ὁρώμενον διτταῖς, Χριστὸν ἐγέννησας, τὸν μίαν φέροντα, σαφῶς ὑπόστασιν συνθετον, ἀνθρωπότητι Θεότητος, συνεισδραμούσης φυσικὴν, ὄντως καθ' ἕνωσιν. ὅθεν πάντες, σὲ εὐλογοῦμεν Μαρία Θεόνυμφε.

Ὁ Εἱρμός.

Χαῖρε ἐκπετάσας Δανιήλ.

Ὠδὴ, θ. Λίθος ἀχειρότμητος.

Ῥήσεσιν ἑπόμενοι θείαις, καὶ θεοπνεύστοις τοῦ Σωτῆρος, ὁμολογηταὶ θεοφεγγεῖς, Σταυρὸν ἐπ' ὤμων χαίροντες ἤρασθε, τοῖς ζωηφόροις ἴχνεσιν, ἀκολουθοῦντες ἀξιάγαστοι.

Ὅλῳ τῷ φωτὶ τῆς Τριάδος, μετ' εὐφροσύνης οἱ γενναῖοι, ὁμολογηταὶ προσχωροῦντες, τὰ τῶν ἀγώνων γέρα κομίζονται, ταῖς Ἀσωμάτοις τάξεσιν, ἀξιωθέντες συναυλίζονται.

Νῦν οὐκ ἐν ἐσόπτρῳ ὁρᾶτε, τῶν μακαρίων τὰς ἐλπίδας, ὁμολογηταὶ τοῦ Σωτῆρος, τῆς ἀληθείας μᾶλλον δὲ πάνσοφοι, τὸ κάλλος ἐνοπτρίζεσθε, στεφανηφόροι πανσεβάσμιοι.

Ὡς τῆς ὑπερθέου Τριάδος, σαφῶς ἰσάριθμοι φανέντες, ὁμολογηταὶ θεηγόροι, τῇ ταύτης αἴγλῃ καταλαμπρύνεσθε, ὡς δι' αὐτὴν ἀθλήσαντες, ζωῆς ἀφθάρτου ἀξιούμενοι.

Θεοτοκίον.

Σαρκὶ ἐπιδημῆσαι θελήσας, ὁ διακοσμήσας πάντα Λόγος, ἐν σοὶ κατεσκήνωσε μόνην, ἁγιωτέραν πάντων εὑράμενος, καὶ Θεοτόκον ἔδειξεν, ἐπ' ἀληθείας Μητροπάρθενε.

Ὁ Εἱρμός.

Λίθος ἀχειρότμητος ὄρους.

Ἐξαποστειλ. Γυναῖκες ἀκουτίσθητε.

Ὡς πάλαι διεσώσατε, πικροῦ θανάτου Ἅγιοι, Κόρην ἐν τάφῳ βληθεῖσαν, τὸν δὲ παράνομον Γότθον, θανάτῳ παρεδώκατε, κἀμὲ τῶν ἀκαθέκτων μου, παθῶν νῦν ἐκλυτρώσασθε, ὅπως ὑμῶν τὴν φωσφόρον, μνήμην φαιδρῶς ἑορτάσω.

Θεοτοκίον. Ὁμοίον.

Ὁ πάντα τῇ θεότητι, πληρῶν ὡς ἀπερίγραπτος, ἐκ σοῦ Θεὸς ἀπορρήτως, ἐσωματώθη Παρθένε, δι' οἶκτον ἀνορθούμενος, τὸ τοῦ Ἀδὰμ παράπτωμα, νέος Ἀδὰμ γενόμενος. ὃν ὡς Υἱόν σου δυσώπει, ὑπὲρ ἡμῶν Θεοτόκε.

Εἰς τὸν εἰ. μ. τῆς Ὀκτωήχου.

Εἰς τὴν Λειτουργίαν τὰ Τυπικὰ, καὶ ἐκ τοῦ Κανόνος, ᾠδὴ γ. καὶ ς. Καὶ ἡ λοιπὴ Ἀκολουθία, Ζήτει εἰς Μάρτυρας, εἴγε ψάλλομεν τὸ, Θεὸς Κύριος.

Τῷ αὐτῷ Μηνὶ, Ιϛ.

Τοῦ Ἁγίου Ἀποϛόλου καὶ Εὐαγγελιϛοῦ Ματθαίου. Ἑσπέρας εἰς τὸ, Κύριε ἐκέκραξα, ἱϛῶμεν ϛι. ϛ. καὶ ψάλλομεν ϛι. προσόμοια, ἦχος, δ.

Ὁ ἐξ ὑψίϛου κληθείς.

Ὁ ἐμβατεύων καρδίας τῶν ἀνθρώπων, ὅτε σου τὴν ἔνθεον, γνώμην Ἀπόϛολε, θείᾳ προγνώσει ἑώρακεν, ἐξ ἀδικίας, καὶ ἐκ τοῦ Κόσμου σὲ ἐλυτρώσατο. τότε σε παγκόσμιον, φῶς ἀπειργάσατο, τῆς οἰκουμένης τὰ πέρατα, καταφωτίζειν, καὶ διαλάμπειν ἐγκελευσάμενος. οὗ καὶ τὸ θεῖον Εὐαγγέλιον, ἠξιώθης σαφῶς ἀναγράψασθαι. ὃν ἱκέτευε σῶσαι, καὶ φωτίσαι τὰς ψυχὰς ἡμῶν.

Ὁ ἐκ Τελώνου κληθεὶς εἰς μαθητείαν, ὅτε σε ὁ Ἄναρχος, Λόγος ἐφώνησεν, ἀκολουθεῖν προτρεπόμενος, καὶ κοινωνίαν, τῆς Βασιλείας ἐπαγγειλάμενος. τότε Παμμακάριϛε, πάντων ἀφέμενος, καὶ ταραχώδους συγχύσεως, ἀναχωρήσας, αὐτῷ συντόνως ἐπηκολούθησας, καὶ νῦν θεόπτα ἐμφορούμενος, τῆς ἀφράϛου αὐτοῦ θεωρίας τρανῶς, καθικέτευε σῶσαι, καὶ φωτίσαι τὰς ψυχὰς ἡμῶν.

Προφητικήτις σαφῶς ὀξυδερκία, πάλαι μέν σε Ἅγιον, λίθον τεθέαται, ἐπὶ τῆς γῆς κυλιόμενον, καὶ τῆς ἀπάτης, τὰς ἑλεπόλεις καταλεαίνοντα. ὁ Λόγος δὲ πάνσοφε, ὁ ἐνυπόϛατος, φῶς σε τοῦ Κόσμου καὶ κήρυκα, δικαιοσύνης, καὶ ἀληθείας ἀποτετέλεκε, λελαμπρυσμένον ταῖς ἀκτῖσι, τοῦ τρισηλίου φωτὸς πανσεβάσμιε. ὃν ἱκέτευε σῶσαι, καὶ φωτίσαι τὰς ψυχὰς ἡμῶν.

Δοξα. ἦχος, δ.

Καλοῦντι Χριϛῷ, πρὸς μαθητείαν οὐράνιον, προθύμως ἠκολούθησας θεόληπτε, πᾶσαν σχολὴν φροντίδος γηΐνης, ὑφ' ἓν παρωσάμενος. ἐπαξίαν γὰρ τῆς ἄνω Βασιλείας, γνώμην εὐπειθῶς ἀναλαβόμενος, τῆς χαμαιζήλου πολιτείας, καὶ δόξης κενῆς ἀπέϛης, Εὐαγγελιϛὴς ἀπὸ Τελώνου γενόμενος, φῶς τε τῶν ἐν σκότει χρηματίσας, καὶ πεπλανημένων ὁδηγὸς πρὸς σωτηρίαν. νῦν δὲ πρεσβευτὴς, παντὸς τοῦ Κόσμου θερμότατος, καὶ τῶν σὲ γεραιρόντων Ματθαῖε, φύλαξ σωτήριος.

Καὶ νῦν, Θεοτοκίον, ἦχος, ὁ αὐτός.

Ὁ ἐξ ὑψίϛου κληθείς.

Σωματωθέντα τὸν Κτίϛην τῶν ἁπάντων, ἔσχες ἐν τῇ μήτρᾳ σου, Θεομακάριϛε, ἀναμορφοῦντα τὸν ἄνθρωπον, τὸν πρὶν πεσόντα, τῇ παραβάσει διὰ τοῦ ὄφεως. Θεὸν γὰρ ἐγέννησας, τοῦτον ἀφράϛως Ἁγνὴ, καὶ τῆς φθορᾶς ἠλευθέρωσας, τὴν φύσιν πᾶσαν, παλαιωθεῖσαν διὰ τοῦ τόκου σου. διὸ ὑμνοῦμεν, καὶ δοξάζομεν, σοῦ τὴν χάριν Παρθένε ἀνύμφευτε, δι' ἧς σκέπε καὶ σῶζε, τοὺς ἐν πίϛει σὲ δοξάζοντας.

Σταυροθεοτοκίον. Ὅμοιον.

Μὴ ἐποδύρου μου Μῆτερ καθορῶσα, ὃν ἀρρήτως ἔτεκες, ξύλῳ κρεμάμενον, τὸν ἐφ' ὑδάτων κρεμάσαντα, τὴν γῆν ἀσχέτως, καὶ πόλου πλάτος, λόγῳ ταινύσαντα. καὶ γὰρ ἀναϛήσομαι, καὶ δοξασθήσομαι, καὶ τὰ τοῦ ᾅδου Βασίλεια, συντρίψω σθένει, καὶ ἀφανίσω τούτου τὴν δυνάμιν, καὶ τῆς δουλείας ἐκλυτρώσομαι, τῆς αὐτοῦ τοὺς βροτοὺς ὡς φιλεύσπλαγχνος, καὶ Πατρὶ τῷ ἰδίῳ, προσαγάγω ὡς φιλάνθρωπος.

Εἰς τὸν ϛι. ϛι. τῆς Ὀκτωήχου.

ἢ ταῦτα. ἦχος, δ.

Ὡς γενναῖον ἐν Μάρτυσιν.

Τῇ τῶν λόγων σου σάλπιγγι, τοὺς ἀνθρώπους συνήθροισας, εἰς Θεοῦ ἐπίγνωσιν Παναοίδιμε, καὶ τὰ τῆς πλάνης ἀθροίσματα, ἐκ γῆς ἀπεσόβησας, καὶ εἰς μίαν τοὺς πιϛοὺς, τὴν ὁμόνοιαν ἴθυνας, καὶ πρεσβεύεις νῦν, ἐκ φθορᾶς καὶ κινδύνων λυτρωθῆναι, τοὺς ἐν πίϛει ἐκτελοῦντας, τὴν ἀεισέβαϛον μνήμην σου.

ϛι. Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν.

Ὁ ἐν γλώσσῃ πυρίνῃ σε, καθοπλίσας τοῦ Πνεύματος, κραταιὸν ἀνέδειξε πολεμήτορα, κατὰ τῆς πλάνης Ἀπόϛολε,

Χρι-

Χριϛὸς ὁ Θεὸς ἡμῶν. δι' οὗ ἔλαβες λαμπρὰ, τὰ βραβεῖα τῆς χάριτος. ὃν ἱκέτευε, ἐκ φθορᾶς καὶ κινδύνων λυτρωθῆναι, τοὺς ἐν πίϛει ἐκτελοῦντας, τὴν ἀεισέβαϛον μνήμην σου.

ἦ. Οἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ.

Εἰς τὰ βάθη τοῦ Πνεύματος, διακύψας Ἀπόϛολε, πλοῦτον τὸν ἀκένωτον κατενόησας. καὶ οὐξ αὐτοῦ ἀρυσάμενος, τὴν χάριν τὴν ἄφθονον, ἡμῖν εὐαγγελικῶς, πᾶσι ταύτην διένειμας. καὶ πρεσβεύεις νῦν, ἐκ φθορᾶς καὶ κινδύνων λυτρωθῆναι, τοὺς ἐν πίϛει ἐκτελοῦντας, τὴν ἀεισέβαϛον μνήμην σου.

Δόξα, ἦχος, πλ. β'.

Ἐκ πυθμένος κακίας ἐσχάτης, πρὸς ἀκρότατον ὕψος ἀρετῆς, ὡς ἀετὸς ὑψιπέτης, παραδόξως ἀνέδραμες, Ματθαῖε πανεύφημε. τοῦ γὰρ καλύψαντος οὐρανοὺς ἀρετῇ, καὶ τῆς συνέσεως αὐτοῦ, πᾶσαν τὴν γῆν πληρώσαντος, Χριϛοῦ ἀκολουθήσας τοῖς ἴχνεσι, μιμητὴς διάπυρος ἐν πᾶσιν αὐτοῦ πεφανέρωσαι, εὐαγγελιζόμενος εἰρήνην, ζωὴν καὶ σωτηρίαν, τοῖς πειθαρχοῦσιν εὐσεβῶς, τοῖς θείοις προϛάγμασιν. ἐν οἷς ἡμᾶς καθοδήγησον, εὐαρεϛοῦντας τῷ Κτίϛῃ, καὶ σὲ μακαρίζοντας.

Καὶ νῦν. Θεοτοκίον. Ὁ αὐτός.

Μονογενὲς ὁμοούσιε, τῷ Πατρίσου καὶ τῷ Πνεύματι, ὁ ἐκ Παρθένου σαρκωθεὶς, ἀσυγχύτως ὡς οἶδας αὐτὸς, ἐν ἁγνείᾳ φύλαττε τὴν ποίμνην σου, ἐν εἰρήνῃ καὶ ὁμονοίᾳ περιέπων αὐτήν.

Σταυροθεοτοκίον. Ὁ αὐτός.

Τριήμερος ἀνέϛης Χριϛέ.

Ἀαὸν τὸν ἀνομώτατον, ἀδίκως καθηλοῦντάσε, ἐπὶ ξύλου, ἡ Παρθένος καὶ ἁγνὴ, καὶ Μήτηρ σου ὁρῶσα, ὡς Συμεὼν προέφη, τὰ σπλάγχνα Σῶτερ διετέτρωτο.

Τροπάριον, ἦχος, γ'.

Ἀπόϛολε Ἅγιε, καὶ Εὐαγγελιϛὰ Ματθαῖε, πρέσβευε τῷ ἐλεήμονι Θεῷ, ἵνα πταισμάτων ἄφεσιν, παράσχῃ ταῖς ψυχαῖς ἡμῶν.

Εἰς τὸν Ὄρθον, ἡ συνήθης ἦλο.

Οἱ Κανόνες τῆς Ὀκτωήχου, εἰς ἡ. καὶ τοῦ Ἀποϛ. εἰς ϛ'. Ὁ Κανὼν, Θεοφάνους.

Ὠδὴ, α'. ἦχος, δ'. Ἀνοίξω τὸ ϛόμα μου.

Πλουσίως μετάδος μοι, τῆς ἐνοικούσης σοι χάριτος, Ματθαῖε πανεύδοξε, καὶ ὑπηρέτα Χριϛοῦ, καὶ βοήσομαι, λαμπρῶς ἀνακηρύττων, καὶ μέλψω γηθόμενος, τασὰ θαυμάσια.

Μελείως κατέλιπες, τῶν ἐπιγείων τὴν σύγχυσιν, τοῦ Λόγου ὡς ἤκουσας, τοῦ σαρκωθέντος φωνῆς, καὶ τῆς χάριτος, ἐδείχθης οἰκονόμος, καὶ κήρυξ θεόληπτος, Θεομακάριϛε.

Αὐτόπτης γενόμενος, καὶ ὑπηρέτης διέπρεψας, τοῦ Λόγου Ἀπόϛολε, τοῦ πρὸ αἰώνων Πατρός. καὶ διέδραμες, αὐτοῦ τὴν παρουσίαν, εὐαγγελιζόμενος, πᾶσι τοῖς Ἔθνεσι.

Θεοτοκίον.

Θανάτου καθαίρεσιν, καὶ τῆς φθορᾶς τὴν κατάλυσιν, ζωῆς τε φανέρωσιν, εὐηγγελίσω σοφὲ τῆς Παρθένου γὰρ, ἐν μήτρᾳ ἐνοικήσας, ὁ ἀπεριόριϛος, Κόσμον ἀνέπλασεν.

Ὠδὴ, γ'. Τοὺς σοὺς ὑμνολόγους.

Μοὺς σοὺς Ἀποϛόλους Θεοῦ Λόγε, φωϛῆρας ἀνέδειξας ζωῆς, τὸν ζόφον ἀπελαύνοντας, τῆς ἀθείας Δέσποτα, καὶ ἐν τῇ θείᾳ δόξῃ σου, τὸν Κόσμον ὅλον φωτίζοντας.

Μῇ σῇ καθοπλίσας παντευχίᾳ, Ματθαῖον τὸν ἄριϛον Σωτὴρ, Τυράννων δυνατώτερον, τοῦτον εἰργάσω Δέσποτα, καὶ καθαιρέτην ἔδειξας, εἰδώλων πλάνης φιλάνθρωπε.

Τλώσσης τῆς πυρίνης σου ὁ φθόγγος, δαιμόνων ἐνέπρησε βωμοὺς, Ματθαῖε τὸ θεότευκτον, τοῦ Παρακλήτου ὄργανον, δι' οὗ Χριϛὸς κηρύττεται. ζωὴ ἡ ἐνυπόϛατος.

Θεοτοκίον.

Σάλπιγξ θεολόγος φθεγγομένη, συντόνως ἐφώτισε λαοὺς, Ματθαίου τοῦ Θεόφρονος, τὴν τῆς Τριάδος ἔλλαμψιν, τὴν ὑπὲρ νοῦν τε σάρκωσιν, τοῦ Λόγου ἐκ σοῦ Πανάχραντε.

Ὁ

Ο Ἑρμός. Τοὺς σοὺς ὑμνολόγους Θεοτόκε.

κα. ἦχος, α'. Τὸν τάφον σου Σωτήρ.

Ὁ πρῶτος τὸ Χριστοῦ, Εὐαγγέλιον γράψας, καὶ πᾶσαν δᾳδουχῶν, τὴν ὑφήλιον κτίσιν, Ματθαῖος ὁ σοφώτατος, καὶ Χριστοῦ Μύστης ἄριστος, νῦν τιμώμενος, ταῖς ἱεραῖς μελῳδίαις, πᾶσιν ἄφεσιν, ἁμαρτιῶν ἐξαιτεῖται, τοῖς πόθῳ τιμῶσιν αὐτόν.

Ἕτερον. ἦχος, πλ. δ'.

Τὴν σοφίαν καὶ Λόγον.

Τὸν χρυσὸν καταλείψας ὡς ἀληθῶς, τὸν Χριστὸν δὲ ποθήσας φιλευσεβῶς, Ματθαῖε Ἀπόστολε, τῶν περάτων ἐδείχθης φωστήρ. καὶ ἐκ Τελώνου ὤφθης, Ἀπόστολος ἔνδοξος, Μαθητὴς γενόμενος, καὶ κήρυξ τῆς πίστεως. Ὅθεν συνελθόντες, καταχρέως τιμῶμεν, τὴν πάνσεπτον μνήμην σου, καὶ πιστῶς ἑορτάζομεν, μελῳδοῦντες καὶ λέγοντες· πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων, ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ, τὴν ἁγίαν μνήμην σου.

Θεοτοκίον. Ὅμοιον.

Τὴν οὐράνιον πύλην καὶ Κιβωτὸν, τὸ παράγιον ὄρος τὴν φωταυγῆ, νεφέλην ὑμνήσωμεν, τὴν οὐράνιον κλίμακα, τὸν λογικὸν Παράδεισον, τῆς Εὔας τὴν λύτρωσιν, τῆς οἰκουμένης πάσης, τὸ μέγα κειμήλιον. ὅτι σωτηρία, ἐν αὐτῇ διεπράχθη, τῷ Κόσμῳ καὶ ἄφεσις, τῶν πολλῶν ἐγκλημάτων. διὰ τοῦτο βοῶμεν αὐτῇ· πρέσβευε τῷ σῷ Υἱῷ καὶ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς προσκυνοῦσιν ἐν πίστει, τὸν ἄχραντον τόκον σου.

Σταυροθεοτοκίον. Ὅμοιον.

Τὸν Θεόν σου Παρθένε καὶ ποιητὴν, ἐν ἀγκάλαις συνέσχες ὥσπερ βροτόν· καὶ βρέφος ἐθήλαζες, τὸν τροφέα τοῦ σύμπαντος. καὶ χαρᾶς ἀρρήτου, ἐπλήσθης τῷ τόκῳ σου. ἀλλ' ἐν τῷ σταυροῦσθαι, ἡ ῥομφαία τῆς λύπης, τὰ σπλάγχνα διῆλθέ σου, καὶ δακρύουσα ἔλεγες· ὦ Υἱέ μου προάναρχε, μὴ ἐάσῃς με ἄτεκνον. ἀλλ' ἀνάστα παντοδύναμε, καὶ σῷσον οὓς δι' οἰκτόν σου, καὶ ἄμετρον ἔλεος, ὑπερηγάπησας δούλους σου, ὡς μόνος ὑπεράγαθος.

Ὠδὴ, δ'. Τὴν ἀνεξιχνίαστον.

Τῷ ἐνυποστάτῳ σου Λόγῳ Θεὲ, μεμαθητευμένος διέλυσε, Κόσμου σοφίαν, ὁ Θεόττης Μαθητὴς, μεγαλοφώνως κράζων σοι· δόξα τῇ δυνάμει σου Κύριε.

Τῷ μεμακαρισμένῳ ὑπὸ Χριστοῦ, ποίαν εὐφημίαν προσοίσωμεν, σοὶ Θεηγόρε; οὐκ ἰσχύει γὰρ βροτὸς, τὴν ἐπανθοῦσαν χάριν σοι, λόγῳ ἐξειπεῖν ἀξιάγαστε.

Τὸν ἀκηλίδωτόν σου καὶ ἀκραιφνῆ, νοῦν τεθεαμένος ὁ ὕψιστος, ὥσπερ λαμπάδα, εἰς λυχνίαν ὑψηλὴν, τοῖς ἐν τῷ σκότει φαίνουσαν, πᾶσι Θεοφάντορ προτέθεικεν.

Θεοτοκίον.

Τὴν τεθανατωμένην φύσιν βροτῶν, ἡ εὐλογημένη ἀνύψωσας, τὴν τοῦ Ὑψίστου, ὡς κυήσασα ἰσχὺν, ὑπερφυῶς πανάχραντε, Μήτηρ ὁ Ματθαῖος ἐδίδαξεν.

Ὠδὴ, ε'. Ἐξέστη τὰ σύμπαντα.

Τὴν χάριν δεξάμενος, τοῦ Παναγίου Πνεύματος, θεῖον ἐνδιαίτημα ἐδείχθης, θείως διδάξας Θεογνωσίας τὸ φῶς, πιστευθεὶς τὰ δόγματα Χριστοῦ, γράμμασιν ἐκτίσθεσθαι, ὡς αὐτόπτης θεόκριτος.

Ἠγλῶσσά σου κάλαμος, τοῦ Παρακλήτου γέγονεν, ὀξέως τοῦ λύτρωσιν διδόντος, τοῖς ἐπιγνοῦσι τὴν δεσποτείαν αὐτοῦ, καὶ ταῖς σφῶν ἐμπνέουσα ψυχαῖς, γνῶσιν ἐπουράνιον, ὦ Ματθαῖε πανέντιμε.

Ἀστράπτοντα θαύμασι, καὶ ἰαμάτων χάρισι, σὲ Χριστὸς ἐξέπεμψε τῷ Κόσμῳ, τὴν τῶν δαιμόνων καταπατοῦντα ἰσχὺν, καὶ ψυχὰς φωτίζοντα πιστῶν, πάντων τῶν ὑμνούτων σε, τῆς εἰρήνης τὸν κήρυκα.

Θεοτοκίον.

Παρθένος γεγένηκεν, Υἱὸν τὸν προαιώνιον, φύσιν ἐνδυσάμενον ἀνθρώπων, ὡς ἐκδιδάσκων, ὁ Θεηγόρος φησὶ, καὶ σώσαντα ταύτην ἐκ φθορᾶς, πάθει τῷ τοῦ σώματος, καὶ Παρθένος διέμεινεν.

Ὠδὴ, ϛ'. Ἦλθον εἰς τὰ βάθη.

Εὐαγγελιστὴς ἀπὸ Τελώνου, ὡς ἠκολουθησέ σοι, μετεσκεύασται ὁ Θεηγόρος, τῇ

παρα-

παναλκεῖ, παντουργὲ δυνάμει σου, ὁ Ματθαῖος ὁ παράριστος.

Ῥυθμίζεται τοῦ Εὐαγγελίου, τοῖς ψυχοτρόφοις λόγοις, τῶν ἐθνῶν πληθὺς ἀνυψουμένη, πρὸς ἀρετῶν ὑψηλὴν ἀκρότητα, ὦ Ματθαῖε παμμακάριστε.

Ματθαίου ζωγρεῖται θεοπλόκοις, τοῦ Μαθητοῦ δικτύοις, τὰ συστήματα τῶν πιστευόντων, διὰ παντὸς, πρὸς τὴν σὴν ἐπίγνωσιν, εὐεργέτα ποδηγούμενα.

Θεοτοκίον.

Παρθένον τεκοῦσαν ἀναγράφων, εὐαγγελίζεταί σε, τὸν τὰ σύμπαντα πεποιηκότα, ἄνευ σπορᾶς, καὶ φθορᾶς Πανάμωμε, ὁ Ματθαῖος ὁ παράριστος.

Ὁ Εἱρμός.

Ἦλθον εἰς τὰ βάθη τῆς θαλάσσης.

Κοντάκιον. ἦχος, δ'.

Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Τοῦ Τελωνίου τὸν ζυγὸν ἀπορρίψας, δικαιοσύνης τῷ ζυγῷ προσηρμόσθης. καὶ ἀνεδείχθης ἔμπορος παράριστος, πλοῦτον κομισάμενος, τὴν ἐξ ὕψους σοφίαν. ὅθεν ἀνεκήρυξας, ἀληθείας τὸν λόγον, καὶ τῶν ῥᾳθύμων ἤγειρας ψυχὰς, καθυπογράψας τὴν ὥραν τῆς κρίσεως.

Ὁ Οἶκος.

Ἡ τοῦ ἐχθροῦ με τυραννὶς βιάζεται ἀπλήστως, καὶ τῆς ψυχῆς μου ὅλον τὸν σπόρον καθαρπάζει, Ματθαῖε φίλε τοῦ Χριστοῦ. ἀλλ' αὐτὸς τὸν σπόρον τῶν εὐχῶν σου δεδωκὼς, πρὸς σὴν δουλείαν κάρπωσον, καὶ δεῖξον ὑμνῳδόν σου σμικρότατον, καὶ ὑφηγητήν με τῶν πολλῶν σου, καὶ μεγάλων κατορθωμάτων, καὶ τῆς πρὸς Χριστόν σου σχέσεως. πῶς πάντα παρευθὺς ἐγκαταλείψας, ἠκολούθησας θερμῶς τῷ κεκληκότι, πρῶτος γεγονὼς Εὐαγγελιστὴς ἐν τῷ Κόσμῳ, Καθυπογράψας τὴν ὥραν τῆς κρίσεως.

Τῷ αὐτῷ Μηνὶ, Ιϛ'. Μνήμη τοῦ Ἁγίου Ἀποστόλου, καὶ Εὐαγγελιστοῦ Ματθαίου.

δ'. Σώζεις Ἰησοῦ καὶ Τελώνας, σοὶ χάρις.

Οὕτω βοᾷ Ματθαῖος ἐκ πυρὸς μέσου.

Ἀκάματον Ματθαῖον πῦρ δεκάτῃ κτάνεν ἕκτῃ.

Ὁς ἐπὶ τὸ Τελώνιον καθήμενος, τοῦ Κυρίου ἀκούσας πρὸς αὐτὸν εἰπόντος, Ἀκολούθει μοι, αὐτῇ τῇ ὥρᾳ ἀναστὰς, ἠκολούθει αὐτῷ. Καὶ ποιήσας αὐτῷ δοχὴν μεγάλην, καθώς φησι τὸ Εὐαγγέλιον, τοῖς Ἀποστόλοις συναριθμεῖται. Οὗτος τὴν τοῦ Ἁγίου Πνεύματος δύναμιν δεξάμενος, καὶ σοφισθεὶς τὰ θεῖα, τὸ κατ' αὐτὸν Εὐαγγέλιον συνεγράψατο, καὶ τοῖς Ἰουδαίοις ἀπέστειλε. Πάρθους τε καὶ Μήδους διδάξας, καὶ Ἐκκλησίαν συστησάμενος, καὶ πολλὰ ἐργασάμενος θαύματα, ὕστερον ὑπὸ τῶν ἀπίστων διὰ πυρὸς τελειοῦται.

Οὗτος, ὡς τὴν λαχοῦσαν ἕκαστος τῶν Μαθητῶν διατρέχων εὐηγγελίζετο γῆν, ἐπὶ τὸ ὄρος ὁ Ματθαῖος ἀνέδραμε, καὶ ἐν αὐτῷ μονοχίτων διεκαρτέρει καὶ αἴθριος. Μετὰ δέ τινος χρόνου διάστημα, ὁ ἐκ χοὸς διαρθρώσας τὸν ἄνθρωπον, ὡς παιδίον ἐν τῷ ὄρει τῷ Ματθαίῳ ὀπτάνεται. καὶ τούτῳ προτείνας τὴν δεξιὰν, βακτηρίαν αὐτῷ ἐπιδίδωσιν, εἰρηκώς· Δέξαι ταύτην, καὶ τοῦ λόφου κατάβηθι, καὶ παραβαλὼν τῇ Μυρμήνῃ, πρὸς τὴν φλιὰν τοῦ ἐκεῖσε ἁγιάσματος αὐτὴν καταφύτευσον. Καὶ τῇ δεξιᾷ τῇ ἐμῇ ῥιζωθεῖσα καὶ ἀνυψωθεῖσα, δένδρον πολύκαρπον γενήσεται, καὶ γλυκασμὸς ἀπ' ἄκρων αὐτοῦ καταβήσεται μέλιτος, καὶ πηγὴ ἐκ τῆς ῥίζης αὐτοῦ ἀναδοθήσεται. ἐξ ἧς ἀπολουσάμενοι οἱ τῆς Πόλεως ἄνδρες θηριόγνωμοι, καὶ τοῦ γλυκασμοῦ μεταλαβόντες, τὴν αἴσθησιν ἠδυνθήσονται, τὸ παρανομεῖν ἐν βρώσει καταλιπόντες. Τότε ὁ Ματθαῖος τὸ δοθὲν εὐλαβῶς ἐκ χειρὸς Κυρίου δεξάμενος, τὴν λοφιὰν ἀφεὶς, πρὸς τὸ προκείμενον ἤγετο. Ἡ τοῦ Βασιλέως οὖν ὁμόζογος Φουλβάνα, τῷ Ἀποστόλῳ συναντήσασα σὺν τῷ Υἱῷ καὶ τῇ Νύμφῃ πονηροῖς δαμαζομένοις πνεύμασι, φωναῖς τε τραχείαις καὶ συστροφαῖς τὸν Ἀπόστολον δονοῦντες προὔλεγον· τίς σε καὶ τοῖς ἡμετέροις προσβαλεῖν κατηνάγκασεν; ἢ τίς σοι καὶ τὴν ῥάβδον

εἰς

εἰς ἡμέτερον δέδωκεν ὄλεθρον; Ὁ δὲ, πραείᾳ τῇ φωνῇ τοῖς ἀκαθάρτοις πνεύμασιν ἐπιτιμήσας, τοὺς ἀτακτοῦντας ἰάσατο, καὶ σωφρόνως ἐπακολουθεῖν πρὸς ἑαυτὸν ἐπεσπάσατο. Τὴν τοῦ Ἀποστόλου δὲ παρουσίαν μαθὼν ὁ τότε Πλάτων Ἐπίσκοπος, ἀξιῶν σὺν τῷ Κλήρῳ προσυπαντᾷ, καὶ ἄμφω ἐν τῇ Πόλει γενόμενοι, ἐπ' ὄψει πάντων, ὡς ὁ ἐντειλάμενος ὑπέθετο, πρὸς γῆν ὑπερείσας τὴν βακτηρίαν, τὸν ὡς παιδίον ἐπιφανέντα εὐλόγησε. Τότε ῥίζωθεν τὸ ξηρὸν, αὐτίκα κλάδους καὶ καρποὺς περκάζοντας ἔφερε, τοῦ μέλιτος τὴν πιότητα ἀποστάζοντας, καὶ πρὸς τῇ ῥίζῃ πηγὴν ἀπορρέουσαν, ὡς ἐκπλαγῆναι τοὺς παρατυχόντας ἐπὶ τῷ ξένῳ θεάματι. Ἐπεὶ δὲ καὶ τῶν πολιτῶν πρὸς τὸ παράδοξον τὸ πλῆθος συνεδεδραμήκει, τῆς ἐκ τοῦ δένδρου μεταλαμβάνον ἡδύτητος, τὴν προτέραν ἑτοίμως ἀπέπτυον ἀγριότητα.

Ὡς δὲ καταφανὲς ἦν καὶ τῷ Βασιλεῖ τὸ γινόμενον, ὡς ἐκ τούτου πλέον καὶ τὸ τῆς συνεύνου ὑγιὲς ἐτεκμήρατο, καὶ πρὸς μικρὸν τὴν ψυχὴν ἀγαθύνας, ὑπὸ σκαιοῦ πάλιν ἀνεφλέγετο Δαίμονος, ποιῆσαι πυρὸς παραφάλωμα τὸν Ἀπόστολον, διὰ τὸ μηδὲ τὴν ὁμόζυγον διαιρεῖσθαι ὅλως τοῦ εὐεργέτου. Ἀλλὰ πάλιν ὁ Σωτὴρ νυκτὸς ὀπτάνεται τῷ Ἀποστόλῳ, εἰρηκώς· κἂν πονηρὰ κατὰ σοῦ τῷ Βασιλεῖ μεμελέτηται, αὐτὸς, Ματθαῖε, μὴ δέδοιθι ἔχων με μετὰ σοῦ. Ταύτην οὖν τὴν ὀπτασίαν ὁ τοῦ Θεοῦ Μύστης τῷ Ἐπισκόπῳ κοινωσάμενος, εὐχαριστῶν διετέλει. Καὶ δὴ εἰς τὸ συλλαβεῖν αὐτὸν τέσσαρες ἀπεστάλησαν, κελεύσει τοῦ κρατοῦντος. Καὶ ἀχλύϊ περιχυθέντες κατ' ὀφθαλμῶν, τὸ γεγονὸς τῷ ἀποστείλαντι ἀνακάμψαντες λέγουσι. τούτου τῆς φωνῆς, προσθέμενοι, ὁμιλοῦντος ἐπακροώμενοι, ἰδεῖν, ἢ συλλαβεῖν αὐτὸν οὐ δυνάμεθα. Ἐπὶ τούτοις ὁ βασιλεὺς περιμανὴς γενόμενος, ἑτέρους δέκα προσαποστέλλει, οὕτως εἰπών· Εἰ καὶ κωλύσων ὑμᾶς τις παραγένηται, ξίφει τοῦτον διαχειρίσασθε. Ὡς οὖν ἐγγίζειν λοιπὸν ἔμελλον οἱ ἀποσταλέντες, καὶ Ἰησοῦς ὁ Θεὸς παρῆν, ὡς παιδίον ὡραῖον τότε φανείς. Οὗ τὴν βολὴν τοῦ φέγγους μὴ φέροντες ὁρᾷν, τῶν ὅπλων ἀφ' ἑαυτῶν τὴν περιβολὴν ἐκτινάξαντες, στραφέντες ἀπήγγειλαν τῷ Βασιλεῖ τὸ συμβάν. Τότε ὑπὸ τοῦ τῆς κακίας ἐφευρετοῦ ἀναβρασθεὶς ὁ κρατῶν, αὐτόχειρ τὸν Ἀπόστολον διαχειρίσασθαι παραγίνεται. Ὡς δὲ πλησίον ἐγένετο, περιήει χειραγωγοῦ προσδεόμενος, καὶ ἐκλιπαρῶν τὸν Ἀπόστολον οὐκ ἐπαύσατο· Σύγγνωθί μοι, λέγων, τῇ ἀβουλίᾳ, καὶ τῶν ὀφθαλμῶν τὴν σκοτόμαιναν ἀπέλασον. Δυσωπηθεὶς οὖν ὁ τοῦ Κυρίου Ἀπόστολος, τὸ σημεῖον τοῦ Σταυροῦ τοῖς ὀφθαλμοῖς διατυπώσας, τρανῶς αὐτὸν ὁρᾷν παρεσκεύασε. Καὶ τῆς χειρὸς ὁ Βασιλεὺς τοῦ Ἀποστόλου λαβόμενος, ὡς δῆθεν αὐτὸν πρὸς τὰ Βασίλεια εἷλκεν. Ἀλλὰ πονηρὰς ἀναβάσεις ἐν τῇ καρδίᾳ θέμενος πρὸς τὸν Ἀπόστολον, οὐ διέλαθε. Τούτου δὲ στηλιτεύσας τὰ ἐγκάρδια, πρὸς φόνον διήγειρε τὸν ἀσύνετον. καὶ παρευθὺς τοῖς στρατιώταις συλλαβέσθαι διακελεύεται τὸν Ἀπόστολον, καὶ χεῖρας τούτου καὶ πόδας εἰς γῆν καταπεῖραι. Εἶθ' οὕτω, φορητὸν τούτῳ καταστεγάσαι, ἐκ δελφιναίου ὑγρανθέντα ἐλαίου, καὶ ἀσφάλτῳ, καὶ πίσσῃ, τὴν σορὸν ἄνωθεν ἐπιρραντίζεσθαι, πρὸς ἐπὶ τούτοις καὶ κληματίσι τὴν φλόγα ἐπερεθίσαι. Καὶ θᾶττον οἱ φονεῖς ἁρπάσαντες τὸν Ἀπόστολον, εἰς τὸν ἡτοιμασμένον ὡς ἱερεῖον βωμὸν ἤγαγον. Καὶ τῇ γῇ προσηλώσαντες, ἐπ' αὐτοῦ τὴν ὕλην ἀνάπτουσι. Τότε ἡ συρίζουσα δρόσον ἐδέξατο κάμινος, σῶμα τὸ ἱερὸν τὸ παράπαν μὴ φλέξασα. Τοῦτο τοὺς ὁρῶντας ἐξέπληξεν, ἀπίστους ὄντας, καὶ τὸν τοῦ Ἀποστόλου ἀνευφήμουν Θεὸν, ὡς ἐκ τῆς κραυγῆς καὶ τὸν Βασιλέα ταραχθῆναι, καὶ τὸ θρυλλούμενον διαπυνθάνεσθαι. Ὃς καὶ τὸ γεγονὸς ἀναμαθὼν, ἐναργέστερον ἔλεγε τοῦ ἀνδρὸς τὴν εὐσέβειαν ἀποδεῖξαι βούλομαι, εἴγε ἀληθὲς τὸ γινόμενον. Καὶ πολλὴν

λὴν ἀνθρακιὰν ἐκ βαλανίων συλλέξας, καὶ φρυγάνων καταδέσμους συναγαγὼν, καὶ τοὺς χρυσίνους αὐτοῦ θεοὺς ἄνωθεν τῆς καμίνου τῆς τὸν Ἀπόστολον ἐχούσης περιθεὶς, καὶ κύκλῳ τῆς καμίνου ἑτέρους ἀνδριάντας παραστήσας, καὶ τῇ ξηρᾷ ὕλῃ τὴν ἀνθρακιὰν ἐπιρράνας, εἰς βοήθειαν τούτους ἐπεκαλεῖτο. Τοῦ Ἀποστόλου δὲ κάτωθεν προσευχομένου, τέρας ἐξαίσιον δείκνυται. Τὸ γὰρ ἐπικυρτωθὲν πρὸς τοὺς ἔξωθεν ἀνδριάντας πῦρ, ὡς ξηρὰν ὕλην τούτους ἀποτεφρῶσαν, τὸν ἀλαζόνα φεύγοντα ἐδίωκεν. Ὁ δὲ ὑπονοστήσας πρὸς τὴν κάμινον δεδοικὼς μὴ καταληφθῇ, καὶ τὸν Ἀπόστολον εὑρὼν προσευχόμενον, τοῦ πυρὸς ἐζήτει διαδράναι τὸν κίνδυνον. Καὶ ὃς, ἐν αὐτῇ τῇ καμίνῳ πάλιν προσευξάμενος, καὶ τὴν φλόγα βροντοειδῶς ἑλκύσας πρὸς ἑαυτὸν, καὶ, Εἰς χεῖράς σου Κύριε, προσειπὼν, τὴν ψυχὴν παρατίθημι, τὸν Βασιλέα τοῦ κινδύνου ἐρρύσατο. Τότε κλίνην Βασιλικὴν προσαχθῆναι κελεύει, καὶ ἐν αὐτῇ τὸ ἐκ τοῦ πυρὸς ἄψαυστον ἀνακομισθὲν Λείψανον, ἀποτεθῆναι προστάττει, καὶ μεγιστάνων ὤμοις φερόμενον ἐπαγαγεῖν πρὸς τὰ Βασίλεια.

Ἀλλ' ἐπείπερ οὐκ ἄρτιον, ἀλλὰ χωλεύουσαν ἔτι τὴν πίστιν ἐκέκτητο, σιδηροῦν ὁ Βασιλεὺς προστάσσει γενέσθαι γλωσσόκομον. Καὶ τούτου γενομένου, τὸ ἱερὸν ἐν αὐτῷ τοῦ Ἀποστόλου ἀσφαλισάμενος λείψανον, οὕτω πως πρὸς τὴν Σύγκλητον ἔφη. ὁ ὑπὸ τούτου ἡμῖν Θεὸς ἀναγνωσθεὶς, εἰ ἐκ βυθοῦ Θαλάσσης, ὡς ἐκ πυρὸς τηρήσει πάλιν ἀμέτοχον, κραταιὸς τίς ἐστι, καὶ τῶν στοιχείων ἀνώτερος. ὅθεν τοὺς θεοὺς ἡμεῖς μὴ δυνηθέντας ἑαυτοὺς ἐκ τοῦ πυρὸς ῥύσασθαι καταλείψαντες, αὐτὸν σέβειν πάντες ἀδιστάκτως ὀφείλομεν. Τοῦτο εἰπὼν, πομπωθῆναι τὴν σιδηραῦλάρνακα προστάσσει. Ὡς δὲ πέρας εἶχε τὸ πραττόμενον, νυκτὸς ὁ Εὐαγγελιστὴς τῷ Ἐπισκόπῳ ὀπτάνεται, πρὸς Ἀνατολὴν, λέγων, τοῦ παλατίου γενόμενος, θείᾳ δυνάμει τὸ ἐμὸν Λείψανον, σὺν τῷ γλωσσοκόμῳ εὑρήσεις φερόμενον. Τότε σὺν τοῖς λογάσιν ὁ θυηπόλος τὸν δηλωθέντα αὐτῷ τόπον καταλαβὼν, τὴν σορὸν ὡς ἐν ἀκατίῳ φερομένην ἑωρακὼς, ἐπινικίοις φωναῖς τὸν ἐκ πυρὸς καὶ ὕδατος ῥυόμενον ἐπευφήμησε Κύριον. Τοίνυν καὶ ὁ Βασιλεὺς τὴν ἀπιστίαν ὅλην ἀπορρίψας, συγγνώμην ᾔτει, καὶ τὴν δι' ὕδατος κάθαρσιν. Τούτου δὲ τὸ διάπυρον ὁ Ἱερεὺς θεασάμενος, τὰ συνήθη πρότερον ἐπειπὼν, καὶ τοὺς κατὰ τοῦ ὀλετῆρος ὁρκισμοὺς, ἐπιβῆναι προστάσσει τοῦ ὕδατος. Ἐν τούτῳ τῆς κορυφῆς ἁψάμενος, ἄνωθεν ἐπιφερομένης ἀκούει φωνῆς· μὴ Φουλβιανὸν, ἀλλὰ Ματθαῖον τοῦτον ὀνόμασον. Τότε ὁ Βασιλεὺς εἰς τὸ τοῦ Ἀποστόλου ἀναγεννηθεὶς ὄνομα, μετὰ τὴν ἑπταήμερον κάθαρσιν, τὰ ὑπ' αὐτὸν πάντα ἀπὸ ψυχῆς συνέστριψεν εἴδωλα, καὶ τῆς σοροῦ καλῶς ἐπιμελησάμενος, τοὺς ὑπ' αὐτὸν πάντας ἔπεισε τῷ φωτισμῷ προσελθεῖν. Αὐτὸν δὲ τὸν Βασιλέα, καθ' ὕπαρ, Πρεσβύτερον χειροτονηθῆναι, ὁ Ἀπόστολος τῷ Ἐπισκόπῳ φανεὶς ἐπέσκηψε, καὶ τὸν Υἱὸν αὐτοῦ Διάκονον. καὶ μετὰ τριῶν ἐνιαυτῶν περαίωσιν, ἔσταισοι πρὸς Χριστὸν ἡ ἀνάλυσις, καὶ σοῦ διάδοχος ἔσται Ματθαῖος ὁ Βασιλεὺς, ὁ ἐπὶ τῷ ἐμῷ ὀνόματι ἀναγεννηθείς. καὶ προϊόντος τοῦ χρόνου, ὁ Πλάτων πρὸς Κύριον ἐξεδήμησε, καὶ τῷ Βασιλεῖ τὸν θρόνον ὡς Ἱερεῖ καταλέλοιπε, καὶ πάλιν αὐτὸς τῷ Υἱῷ, κατὰ τὴν τοῦ Ἀποστόλου διάταξιν.

Τῇ αὐτῇ ἡμέρᾳ, Ἄθλησις τοῦ Ἁγίου Μάρτυρος Βαρλαὰμ, οὗτινος τὴν Μνήμην ἐπιτελοῦμεν ἐν τῇ ιθ'. τοῦ παρόντος Μηνός.

ἡ. Φέρει Βαρλαὰμ τοῦ πυρὸς καῦσιν χαίρων,
Ἀποσκοπῶν τὴν δρόσον τὴν αἰωνίαν.

Οὗτος ὁ Ἅγιος εἷλκε τὸ γένος ἐξ Ἀντιοχείας τῆς μεγάλης, πρεσβύτης τὴν ἡλικίαν, ὃν καὶ ὁ τίμιος Χρυσόστομος ἐγκωμίοις ἐτίμησε· Διὰ δὲ τὴν εἰς Χριστὸν ὁμολογίαν, τῷ Ἄρχοντι προσαχθεὶς ἐκ τοῦ δεσμωτηρίου, τύπτεται βουνεύροις, καὶ τοὺς ὄνυχας ἀπορρίζοῦται. Εἶτα τῷ βωμῷ

προσαχθεὶς, ἁπλῶται τὴν χεῖρα, καὶ λιβανωτὸν δέχεται, δεδογμένον τοῦτο τῷ Ἄρχοντι, ὡς εἰ τοὺς ἄνθρακας μετὰ τοῦ λιβανωτοῦ ἐπιῤῥίψειε, νομισθῆναι αὐτὸν τοῖς εἰδώλοις θυσίαν προσενεγκεῖν. Ὁ δὲ ἀνένδοτος εἱστήκει καὶ ἀτρέμας, αὐτονωτέρας αὐτοῦ χαλκοῦ καὶ σιδήρου φανείσης τῆς δεξιᾶς, ἕως οὗ, τὴν ὑποκειμένην σάρκα τῆς χειρὸς τὸ πῦρ καταδαπανῆσαν καὶ καταφαγὸν, εἰς τὴν γῆν ἐξέπεσε. Τῶν νευρῶν οὖν διασπασθέντων, καὶ τῆς χειρὸς διατρηθείσης, αὐτὸς τὸ Πνεῦμα τῷ Θεῷ παρέδωκε.

Ταῖς αὐτῶν ἁγίαις πρεσβείαις.

Ὠδὴ, ζ'. Οὐκ ἐλάτρευσαν τῇ κτίσει.

Ἐχρημάτισας τοῦ πρώτου ἀπαυγάσματος, θεῖον ἐκτύπωμα, ὡς Μαθητὴς ταῖς αὐτοῦ, ἀκτῖσι πυρσούμενος, ᾧ ψάλλων ἔλεγες· ὑπερύμνητε, ὁ τῶν Πατέρων Κύριος, καὶ Θεὸς εὐλογητὸς εἶ.

Ὡς διάκονον τοῦ λόγου παμμακάριστε, θείοις σκηνώμασιν, ὅπου Χριστὸς κατοικεῖ, αὐτὸς κατεσκήνωσεν, ὡς σοὶ ὑπέσχετο, ὁ ὑπέρθεος, ὁ τῶν Πατέρων Κύριος, καὶ Θεὸς μόνος τῶν ὅλων,

Μὰ νοσήματα Ματθαῖε φυγαδεύονται, καὶ δραπετεύεται, ἡ τῶν Δαιμόνων πληθὺς, τοῖς ἐν σοὶ χαρίσμασι, τοῦ θείου Πνεύματος, ἐν οἷς ἔψαλλες, ὁ τῶν Πατέρων Κύριος, καὶ Θεὸς εὐλογητὸς εἶ.

Θεοτοκίον.

Τὴν πανύμνητον Παρθένον ἐξιστόρησας τοῖς θείοις λόγοις σου, τὸν Ποιητὴν τοῦ παντὸς, τεκοῦσαν Ἀπόστολε, ᾧ πάντες ψάλλομεν· ὑπερύμνητε, ὁ τῶν Πατέρων Κύριος, καὶ Θεὸς εὐλογητὸς εἶ.

Ὠδὴ, η'. Παῖδας εὐαγεῖς.

Νεύσεσι πρὸς σὲ ταῖς ἀνενδότοις, Ματθαῖος ὁ ἱερώτατος θεούμενος, θέσει χρηματίσας τε, φύσει ὅπερ πέφυκας, τὴν οἰκουμένην Δέσποτα, εἵλκυσε ψάλλειν σοι· τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα, καὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Ὥσπερ ἀστραπὴ τῇ οἰκουμένῃ, ὁ Λόγος τὸν Θεολόγον ἐξαπέστειλε, ζοφον μὲν διώκοντα, ἔθνη δὲ φωτίζοντα, θεολογίας δόγμασιν. ὅθεν καὶ ἔψαλλε· τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα, καὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Λόγῳ καθαρῷ καὶ διανοίᾳ, Θεῷ σοι προσομιλῆσαι ἐξεγένετο. ὕλην γὰρ ὡς ἔτεμες, τούτῳ προσεπέλασας, καὶ συνεκράθης ἔνδοξε. ὅθεν καὶ ἔψαλλες· τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα, καὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Θεοτοκίον.

Ἐπ' εὐεργεσίᾳ τῶν ἀνθρώπων, ὁ Λόγος σωματωθῆναι κατηξίωσε. πύλην Παρθενίας γὰρ, ὡδεύσεν ὁ Κύριος, καὶ Θεοτόκεν ἔδειξε. διὸ κραυγάζομεν· τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα, καὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Ὁ Εἱρμός. Παῖδας εὐαγεῖς ἐν τῇ καμίνῳ.

Ὠδὴ, θ'. Ἅπας γηγενής.

Κάλλους νοητοῦ, ἐδέξω διάδημα, θεῖον Ἀπόστολε, καὶ τῆς βασιλείας δὲ, εὐπρεπεστάτῳ στέφει κεκόσμησαι, δεξιᾷ παντοκράτορι. καὶ διαλάμπεις σοφὲ, σὺν Ἀγγέλοις, θρόνῳ παριστάμενος, τοῦ Δεσπότου Χριστοῦ παμμακάριστε.

Ζύλου τῆς ζωῆς, ἀξίως τετύχηκας, κήρυξ τοῦ ζῶντος Θεοῦ, εὐαγγελισάμενος, ζωῆς τῷ Κόσμῳ θείαν ἐπίσκεψιν. τῷ γὰρ φυτῷ τῆς γνώσεως, οὐ διεφθάρης τὸν νοῦν, διαμείνας, ἄσειστος ἀκράδαντος, Ἐκκλησίας κρηπὶς Παμμακάριστε.

Νύμφην τοῦ Χριστοῦ, ἐνθέως ἐκόσμησας, Εὐαγγελίῳ σου, ὥσπερ διαδήματι, τὴν Ἐκκλησίαν θεομακάριστε. καὶ νῦν τὴν θείαν μνήμην σου, πανηγυρίζει φαιδρῶς. ἣν ῥυσθῆναι, πάσης περιστάσεως, καὶ κινδύνων δεινῶν καθικέτευε.

Θεοτοκίον.

Κόλπων οὐκ ἐκστὰς, ἀνάρχου Γεννήτορος, Λόγος ὁ ἄναρχος, ὡς εὐαγγελίζεται, Ματθαῖος γράφων, Θεὸς σεσάρκωται, ἐκ σοῦ Ἁγνὴ πανύμνητε, τὴν τῶν ἀνθρώπων μορφὴν, ὁλοτρόπως, πᾶσαν ἐνδυσάμενος, καὶ τὰ ταύτης λαβὼν ἰδιώματα.

Ὁ Εἱρμός. Ἅπας γηγενὴς, σκιρτάτω.

Ἕξα.

Ἑξαπ. Ε' μ Πμάματι τῷ Γερῷ.

Μὲ Τελωμίᾳ τὸμ ζυγὸμ, ἀπορρίψας ἐμφρόμως, Χειρῷ κατηκολούθησας, ὦ Ματθαῖε θεόφρομ. τοῖς ἴχνεσι δὲ τοῖς ἀυτῦ, θαυμαζῶς ἑπόμεμος, ἐμ μετοχῇ ἐγεγόμεις, τῆς ἀυτῦ Βασιλείας, ἐ τῆς δόξης κοιμωρὸς, ἐ μύστης τῶ ἀπορρήτων.

Θεοτοκίομ. Ὅμοιομ.

Μὰς παμαγίας χεῖράσσου, Θεοτόκε Παρθεμέ, αἷς τὸμ κτίσῳ ἐβάσασας, ἔπαρομ εἰς πρεσβείαμ, ὑπὲρ ἡμῶμ πρὸς ἀυτόμσα, ὅπως ῥύσηται ἡμᾶς, πάσης πείρας Δαιμόμων, ἐ τάξαθαι Παμάμωμε, τῶ μελόμτων ἐκείμων, ἀγαθῶμ ἀξιώσῃ.

Σταυροθεοτοκίομ. Ὅμοιομ.

Σταυρῷ τὰμ σὰμ ὁρῶσα πηγὴμ, τόκομ αἰῶμιον, θριώοις σαυτῷ συμέκοπτες, παρειὰς σῷ θρέμματα, ἐκτίλωσα ἐ βοῶσα· τέκμομ ἐμῶμ ὠδίμωμ, προελθὼμ ἀπορρήτως, πῶς φέρεις ταῦτα Σῶτερ μου; σῶσαι ἅπαμ τὸ γεμος, ἀμθρώπωμ βολόμεμος.

Εἰς τὸς Αἴνους, ἰχῶμεμ ἤ. δ'. ἐ ψάλλομεμ, ἤ. προσόμοια, ἦχος, δ'.

Ε' δωκας σημείωσιμ.

Φλαμπὰς Λ'πόστολε, φωτοειδὴς ὥσπερ Ἥλιος, ταῖς ἀκτῖσι τῦ Πμάματος, ἐ πᾶσαμ κατηύγασας, οἰκομμέμω μάκαρ, τὴ Θεογμωσίᾳ, καὶ ἀπεδίωξας ἀχλὺς, πολυθείας Ματθαῖε παμσοφε. διό σου τὸμ ὑπέρφωτομ, καὶ ἁγίαγαστομ σήμερομ, ἐκτελῦμεμ παμήγυριμ, ὡς πηγὴμ ἁγιάσματος.

Δίς.

Φμ ὕψει καθήμεμος, Θεογμωσίας Λ'πόστολε, ὑπεδέξω τὰ Πμάματος, τὸμ ἄγγλίμ φαμέασάμσοι, τὰ πυρὸς ὡμ εἶδε, ἐ γλώσσῃ πυρίμῃ, πᾶσαμ κατέφλεξας σαφῶς, τῆς ἀσεβείας ὕλίμ πολύθεομ. διό σε ὡς Λ'πόστολομ, καὶ θεηγόρομ γεραίρομεμ, τὸμ ἁγίασα σήμερομ, ἐκτελῦμτες παμήγυριμ.

Φβρόμησας παμσοφε, τὴ Οἰκομμέμῃ διδάγματα, ἱερὰ ἐ σωτήρια, ἐ πᾶσαμ ἐκάθηρας, εἰδωλομαμίας, τὴμ κτίσιμ Ματθαῖε, ἐ κατεφώτισας λαὸς, Εὐαγγελίου ταῖς ἐπιλάμψεσιμ. εἰδώλωμ τὰ τεμέμη δὲ, καταφρεψάμεμος χάριτι, Ἐκκλησίας εἰς αἴρεσιμ, τῶ Θεῶ ᾠκοδόμησας.

Δόξα, ἦχ. β'. Βύζαμτος.

Ζυγὸμ λιπὼμ ἀδικίας, ἐ χρυσὸμ ἀπορρίψας πλεομεξίας, ζυγῷ δικαιοσύμης προσρέχεις, ἐ μὴ κεμόμεμομ πλοῦτομ ἁρπάζεις, ὡς ἐχέφρωμ ἔμπορος, αὐταλλαξάμεμος, τῶ προσκαίρωμ τὰ μόμιμα, ἐ τῶ ἀπολλυμέμωμ τὰ διαμέμοντα. τὸμ γὰ θεολαμπῆ, ἐ πολύτιμομ μαργαρίτῃ κτησάμεμος, τὰ Καίσαρος Καίσαρι, τῶ κάτω ευρομέμωμ, ἐμφρόμως ἀπέλιπες. καὶ τῷ Παμβασιλεῖ, ἀπεθῶς ἀκολούθησας Χριστῷ, πᾶσαμ τὴμ κτίσιμ ἐπλούτισας, ἀγγελικαῖς θεηγορίαις σοφέ. ἀλλ' αἴτησαι ἐ μῶ, Ματθαῖε παράσχες, τοῖς σὲ τιμῶσι σωτηρίαμ, ἐ μέγα ἔλεος.

Καὶ μῦ. Στ. Ὅτε, ἐκ τῦ ξύλου σε.

Ὅλίου, τὴμ ζωὴμ μὲ μακοῖς, καταδαπαμήσας ὁ τάλας; μῦ κατελείφθημ Ἀγγὴ, πάσης ὅλος ἔρημος, ἀγαθῆς πράξεως. προσεγγίζομτα βλέπωμ δὲ, τὸμ θαμάτομ οἴμοι, τρέμω τὸ κεμτήριομ, τῦ σῦ Υἱῦ ἐ Θεῦ· ὑπερ, ἐλεῆμε Παρθεμέ, ἐ πρὸ τῆς αἰάγκης ἐκείμης, Δέσποιμα ἐπίστρεψομ ἐ σῶσόμ με.

Σταυροθεοτοκίομ. Ὅμοιομ.

Τόκευμ, ἡ τεκῦσα τῆς ζωῆς, ἄμπελος ἡ θεία ὡς εἶδε, τῶτομ ἡρμέμομ Σταυρῷ, ταῦτα αἰωρθέγγετο, καθικετάδουσα· ἡ γλυκύτης ἡ ἄῤῥητος, ἡ ἄφατος δρόσος, Γίκα σωτήριομ, τῆς σῆς ἐγέρσεως, γλεῦκος ἐμαπόσαξομ πᾶσαμ, μέθμ τῶ παθῶμ ἐκδιῶκομ, τοῖς τὰ θεῖα Πάθησι δοξάζουσαμ.

Εἰς τὸμ ἤ. ἦ. τῆς Ὀκτωήχου.

Δόξα, ἦχος, πλ. δ.

Κροτήσωμεμ ἐμ ἄσμασι σήμερομ πιστοὶ, ἐπὶ τῇ μμήμῃ τῦ σεπτῦ Ἀποστόλου, καὶ Εὐαγγελιστῦ Ματθαίου. ὅτος γὰ ῥίψας τὸμ ζυγὸμ, ἐ τὸμ χρυσὸμ τῦ Τελωμίου, ἠκολούθησε Χριστῷ, καὶ κήρυξ τοῦ Εὐαγγελίου, θεῖος ἐχρημάτισεμ. ὅθεμ ἐξῆλθε προφητικῶς ὁ φθόγγος ἀυτοῦ, εἰς

τὴν οἰκουμένην, καὶ πρεσβεύει σῳθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. θτ. Κύριε, εἰ καὶ κριτηρίῳ.

Ἴδε μου, τῆς συντετριμμένης καρδίας, τοὺς στεναγμοὺς Θεονύμφευτε· πρόσδεξαι Παρθένε Μαρία, καὶ μὴ ἀπώσῃ παράμωμε, τὰς τῶν χειρῶν μου ἁγνὴ, ἐπάρσεις ὡς φιλάγαθος· ἵνα ὑμνῶ καὶ μεγαλυνῶ, τὸν μεγαλύναντα τὸ γένος ἡμῶν.

Σταυροθεοτοκίον. Ὅμοιον.

Ἔδειξας, Λόγε ὑπὲρ φύσιν με μόνην, ἡ Ἁγνὴ Μητέρα κέκραγε. τίκτω γὰρ ἀσπόρως καὶ μένω, μετὰ τόκον ἀδιάφθορος, καὶ τὰς ὀδύνων βολὰς, κυήσασα διέφυγον. ἀλλ' ἐν τῷ Πάθει σου δριμείαις, τὴν ψυχὴν ὀδύναις βάλλομαι.

Εἰς τὴν Λειτουργίαν Τυπικὰ, καὶ ἀπὸ τοῦ Κανόνος, Ὠδὴ, γ'. καὶ ς'.

Ὁ Ἀπόστολος, πρὸς Ῥωμαίους Ἐπιστολῆς. Ἀδελφοὶ, λέγει ἡ γραφή. πᾶς ὁ πιστεύων ἐπὶ Κύριον, οὐ καταισχυνθήσεται.

Τέλος. Οὐκ ἀπώσατο ὁ Θεὸς τὸν λαὸν αὐτοῦ, ὃν προέγνω.

Ζήτει τῇ γ'. τῆς τετάρτης Ἑβδομάδος.

Εὐαγγέλιον, κατὰ Ματθαῖον.

Τῷ καιρῷ ἐκείνῳ, παράγων ὁ Ἰησοῦς εἶδεν ἄνθρωπον καθήμενον.

Τέλος. Ἀλλὰ ἁμαρτωλοὺς εἰς μετάνοιαν.

Ζήτει Σαββάτῳ, ε'.

Κοινωνικόν. Εἰς πᾶσαν τὴν γῆν.

Τῷ αὐτῷ Μηνὶ, ΙΖ'.

Τοῦ ἐν Ἁγίοις Πατρὸς ἡμῶν Γρηγορίου Ἐπισκόπου Νεοκαισαρείας τοῦ Θαυματουργοῦ. Ἑσπέρας εἰς τὸ, Κύριε ἐκέκραξα, ἱστῶμεν ἄ. ς'. καὶ ψάλλομεν ἄ. προσόμοια, ἦχος, πλ.

Τί ὑμᾶς καλέσωμεν Ἅγιοι;

Μέσε προσκαλέσω Γρηγόριε; πρακτικὸν, ὅτι τὰ πάθη, καθυπέταξας τῷ νῷ. θεωρὸν, ὅτι ἐδρέψω, τῆς σοφίας τὸν καρπόν. ἐνθέου ὀπτασίας ἀξιούμενον, δογμάτων, οὐρανίων ἐνηχούμενον. ἱερουργὸν ἱερώτατον, θαυματουργὸν ὑπερθαύμαστον. ἱκέτευε, τοῦ σῳθῆναι τὰς ψυχὰς ἡμῶν.

Μί προσαγορεύσω σε Ὅσιε; ὁδηγὸν τῶν πλανωμένων, καὶ νοσούντων ἰατρόν. χορηγὸν τῶν δεομένων, τοῖς αἰτοῦσιν ἀψευδῆ. διώκτην, τῶν δαιμόνων ἰσχυρώτατον, ἀλείπτην, τοῦ Μαρτύρων ἀγωνίσματος. προφητικῶς διαλάμποντα, χαρίσμασιν ἀξιάγαστε. ἱκέτευε, τοῦ σῳθῆναι τὰς ψυχὰς ἡμῶν.

Μέσε νῦν προσείπω Γρηγόριε; καθαιρέτην τῆς ἀθέου, δυσσεβείας καρτερόν. ὁριστὴν τῆς εὐσεβείας, καὶ διδάσκαλον ἐθνῶν. εἰρήνης, βραβευτὴν ἀκαταμάχητον. πολέμων καταλύτην ἀκαθαίρετον. ἐν ὄρεσι διαιτώμενον, καὶ βλέποντα τὰ ἐν πόλεσιν. ἱκέτευε, τοῦ σῳθῆναι τὰς ψυχὰς ἡμῶν.

Δόξα, ἦχ. πλ. β'.

Εἰς βάθος θεωρίας, ὑπελθὼν παντόφως Ἱεράρχα Χριστοῦ, τὴν θείαν ἐμυήθης, τῆς Τριάδος φανέρωσιν, τῷ Πνεύματι προβλέπων, ἀκλινῶς Χριστὸν τὸν Θεὸν ἡμῶν, τῶν θαυμάτων ἄβυσσον πηγάζεις ἡμῖν. τὴν ὑγρὰν ὑδάτων φύσιν, εἰς λιθώδη μεταποιήσας, καὶ Νεωκόρον πλάνης ἀπαλλάξας ζοφερᾶς, τοῖς διώκταις ἔπεισας, πιστοῦσθαι τὴν ἀλήθειαν. καὶ στύλος εὐσεβείας ἀρετῶν, ὀφθεὶς αὐτοῖς, τῶν θαυμάτων Ὑποφήτης ἀνηγορεύθης. διὸ δυσωπούμενέ σε, μὴ παύσῃ ὑπὲρ ἡμῶν τὸν Σωτῆρα δυσωπεῖν, τοῦ σῳθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον.

Ὅλην ἀποθέμενοι.

Ἐνώμῃ ὀλισθήσαντα, καὶ δουλωθέντα τῷ πλάνῳ, ἀπάτῃ Θεόνυμφε, πρὸς τὴν ὑπερθαύμαστον εὐσπλαγχνίαν σου, καὶ θερμὴν δέησιν, Παναγία Κόρη, καταφεύγω ὁ πανάθλιος. δεσμοῦ με λύτρωσαι, τῶν πειρατηρίων καὶ θλίψεων, καὶ σῷσόν με Παράμωμε, τῶν δαιμονικῶν ἐπιθέσεων. ἵνα σε δοξάζω, καὶ πόθῳ ἀνυμνῶ καὶ προσκυνῶ, καὶ μεγαλύνω σε Δέσποινα, τὴν ἀειμακάριστον.

Ἡ Σταυροθεοτοκίον. Ὅμοιον.

Ζύλῳ σε κρεμάμενον, μέσον λῃστῶν καθορῶσα, ἡ χωρὶς ὠδίνων σε, καὶ φθορᾶς

ρᾶς κυήσασα Μητροπάρθενος, χαλεπῷ βέβληται, τὴν ψυχὴν Κύριε, βέλει λύπης καὶ σπαράττεται, πικρὰ στενάζουσα, σπλάγχνα καὶ καρδίαν τὴν ἄχραντον. καὶ ξέουσα τοῖς ὄνυξιν, ἀφειδῶς τὰς ὄψεις καὶ πύρινα, δάκρυα κενοῦσα, μετ' οἰμωγῆς σοι κέκραγε Σωτήρ. οἴμοι γλυκύτατον σπλάγχνον μου, πῶς ἀδίκως πάσχεις νῦν.

Εἰς τὸν ἅ. ἅ. τῆς Ὀκτωήχου.

Δόξα, ἦχος, πλ. β.

Γρηγόρησις Θεοῦ, ἐδόθησοι σοφὲ κατὰ τὸν Δανιήλ. ὥσπερ γὰρ ἐκείνῳ τὸ ἐνύπνιον, οὕτω τὸ τῆς Πίστεως Μυστήριον ἀπεκαλύφθησοι. διὸ σωθῆναι πρέσβευε, τὰς ψυχὰς ἡμῶν Ὅσιε Πάτερ.

Καὶ νῦν. Θεοτοκίον.

Ἀρχαγγελικὸν Λόγον ὑπεδέξω, καὶ Χερουβικὸς θρόνος ἀνεδείχθης, καὶ ἐν ἀγκάλαις ἐβάστασας Θεοτόκε, τὴν ἐλπίδα τῶν ψυχῶν ἡμῶν.

Σταυροθ. Τριήμερος ἀνέστης Χριστέ

Ὁρῶσά σε σταυρούμενον, Χριστὲ ἡ σὲ κυήσασα, ἀνεβόα· τί τὸ ξένον ὃ ὁρῶ, μυστήριον Υἱέ μου; πῶς ἐπὶ ξύλου θνήσκεις, σαρκὶ κρεμάμενος ζωῆς χορηγέ;

Τροπάριον. ἦχος, πλ.

Ἐν προσευχαῖς γρηγορῶν, ταῖς τῶν θαυμάτων ἐργασίαις ἐγκαρτερῶν, ἐπωνυμίαν ἐκτήσω τὰ κατορθώματα. ἀλλὰ πρέσβευε Χριστῷ τῷ Θεῷ, Πάτερ Γρηγόριε, φωτίσαι τὰς ψυχὰς ἡμῶν, μή ποτε ὑπνώσωμεν, ἐν ἁμαρτίαις εἰς θάνατον.

Εἰς τὸν Ὄρθρον, μετὰ τὴν συνήθη ἅλλο. οἱ Κανόνες τῆς Ὀκτωήχου εἰς ἡ. καὶ τοῦ Ἁγίου εἰς ϛ'. Οὗ ἡ ἀκροστιχίς.

Τῷ τερατουργῷ Γρηγορίῳ τὸν ἔπαινον ὑφαίνω.

Θεοφάνους. Ὠδὴ, ά. ἦχος, πλ.

Ἁρματηλάτην Φαραώ.

Νῶν σῶν θαυμάτων ἐν ἐμοὶ Γρηγόριε, θείαν ἐνέργειαν, περιφανῶς Πάτερ, καὶ ταμεῖν ἀνάδειξον, ἐκ τοῦ βυθοῦ ῥυόμενος, τῶν πταισμάτων με μάκαρ, καὶ σῇ φωτίζων λαμπρότητι, ὅπως ἐπαξίως ὑμνήσω σε.

Ὡς ἐντρεχὴς καὶ νουνεχὴς καὶ φρόνιμος, τὸ τῆς ψυχῆς εὐγενὲς, τῶν τῆς σαρκὸς μάκαρ, ἡδονῶν πρέκρινας, τὰ τῆς σοφίας δόγματα, φιλοπόνως συλλέγων, δι' ὧν ἐκείνη Γρηγόριε, τρέφεται Θεῷ πλησιάζουσα.

Νῦν σωφροσύνην ἀδελφὴν κτησάμενος, ὡς συνεργὸν ἀγαθὴν, σὲ καθορῶν ὄφις, ὁ δεινὸς Γρηγόριε, σοὶ τοὺς βασκάνους ἤγειρεν, οὓς κατῄσχυνας Πάτερ, μακροθυμίᾳ τὸ γυναῖον, πάθει συσχεθὲν ἰασάμενος.

Ἐπὶ τῆς ξένης διατρίβων Ὅσιε, πᾶσιν αἰδέσιμος, δι' ἀρετὴν ὤφθης, εὐσεβὴς φιλόθεος, θαυματουργίας χάρισμα, πρὸς Θεοῦ δεδεγμένος. δι' ἧς γνωρίζει ὡς Ἥλιος, λάμψας ἐν τῷ Κόσμῳ Γρηγόριε.

Θεοτοκίον.

Ῥίζης Ἁγνὴ Βασιλικῆς ἐβλάστησας, καὶ Βασιλέα Χριστὸν, τὸν τοῦ Θεοῦ Λόγον, ὑπὲρ νοῦν καὶ ἔννοιαν, σεσαρκωμένον τέτοκας, ὃς ἁγνῶν σου αἱμάτων, διττὸν τὴν φύσιν ὑπάρχοντα, καὶ μοναδικὸν τὴν ὑπόστασιν.

Ὠδὴ, γ'. Ὁ στερεώσας κατ' ἀρχάς.

Ἀνακαθάρας σου τὸν νοῦν, τῆς τῶν παθῶν τρικυμίας, φιλοσόφου θεωρίας ἐμπλήσας, ἀνεδείχθης εὐπρεπὲς, σοφίας ἐνδιαίτημα, καὶ προφητείας χάριν, κατεπλουτίσθης Γρηγόριε.

Νῇ θεοπνεύστῳ συγγραφῇ, προσομιλήσας παμμάκαρ, καὶ ποικίλης πολιτείας ἰδέας, ἐκλεξάμενος σοφῶς, ἐν ἀρετῇ εἰκόνισμα, ἐν σεαυτῷ θεόφρων, ἀπηκριβώσω Γρηγόριε.

Ὁ Θεοφάντωρ μυηθεὶς, τῇ θείᾳ μυσταγωγίᾳ, τὸ μυστήριον τῆς θεολογίας, κατεφώτισεν ἡμᾶς, Τριάδα ὁμοούσιον, ὁμοφυῆ τε σέβειν, ἄκτιστον καὶ συναΐδιον.

Ὑπὸ Θεοῦ ὁδηγηθεὶς, ὡς πόθῳ τοῦτον ζητήσας, τὴν Ἁγνὴν καὶ Θεοτόκον Μαρίαν, καὶ τὸν γόνον τῆς βρόντης, μυσταγωγοὺς ἐκέκτησο, τὸ τῆς Τριάδος φέγγος, σὲ Θεορρήμον διδάσκοντας.

Θεοτοκίον.

Ῥάβδον βλαστήσασαν Χριστὸν, τὸ ἄνθος τῆς ἀφθαρσίας, καὶ χρυσοῦν θυμιατήριον πάντες, σὲ γινώσκομεν Ἁγνὴ, θείας οὐσίας φέρουσαν, ἐν ταῖς ἀγκάλαις Κόρη, ἄνθρακα Θεομακάριστε.

Ὁ Εἱρμος.

Ὁ στερεώσας κατ' ἀρχὰς, τοὺς Οὐρανούς.

Θείας πίστεως ὁμολογία.

Νέος γέγονας Μωσῆς τοῖς ἔργοις, πλάκας πίστεως ἐπὶ τοῦ ὄρους, τῆς μυστικῆς θεοφανείας δεξάμενος, νομοθετήσας λαοῖς τὴν εὐσέβειαν, τοῦ τῆς Τριάδος Μυστηρίου Γρηγόριε. ὅθεν ἅπαντες, τιμῶμεν πιστοὶ τὴν μνήμην σου, αἰτοῦντες διὰ σοῦ τὸ μέγα ἔλεος.

Θεοτοκίον. Ὅμοιον.

Θεία γέγονας σκηνὴ τοῦ Λόγου, μόνη Πάναγνε Παρθενομήτορ, τῇ καθαρότητι Ἀγγέλους ὑπερέχουσα. τὸν ὑπὲρ πάντας ἐμὲ χοῦν γενόμενον, ῥερυπωμένον σαρκὸς πλημμελήμασιν, ἀποκάθαρον, σοῦ τοῖς ἐνθέοις νάμασι, παρέχουσα σεμνὴ τὸ μέγα ἔλεος.

Ἡ Σταυροθεοτοκίον. Ὅμοιον.

Ἡ Ἀμίαντος ἀμνὰς τοῦ Λόγου, ἡ ἀκήρατος Παρθενομήτωρ, ἐν Σταυρῷ θεασαμένη κρεμάμενον, τὸν ἐξ αὐτῆς ἀνωδυνῶς βλαστήσαντα, μητροπρεπῶς θρηνῳδοῦσα ἐκραύγαζεν· οἴμοι Τέκνον μου, πῶς πάσχεις θέλων ῥύσασθαι, παθῶν τῆς ἀτιμίας τὸν ἄνθρωπον.

Ὠδὴ, δ'. Σύμου Χριστὲ Κύριος.

Τὴν τὴν καλὴν, Πάτερ θεόφρον ἐζήλωσας, τὸν τοῦ λόγου, σπόρον εἰσδεξάμενος, εἰς ἑκατὸν, ἀναγγελικῶς, πολυπλασιάζεις, εἰς ἔτι καὶ νῦν Γρηγόριε, προσάγων διδαχαῖς σου, τοὺς πιστῶς μελῳδοῦντας· τῇ δυνάμει σου δόξα Φιλάνθρωπε.

Ὡς ἀστραπὴ, Πάτερ ἐκλάμψας ὁ βίος σου, τῶν δαιμόνων, πλάνην ἐφυγαδεύσε. τῷ γὰρ φωτὶ, τῆς σῆς ἀρετῆς, τὸ ἐκείνων σκότος, προσομιλῆσαι οὐκ ἴσχυσε. διὸ ὁ Νεωκόρος, ψυχοφθόρου ἀπάτης, κυλισθεὶς ὥσπερ λίθος φωτίζεται.

Γνόφον φωτὸς, τοῦ θειοτάτου θεάσασθαι, ἠξιώθης, νόμον τε Θεόγραφον, ὡς Μωϋσῆς, Πάτερ εἰληφὼς, τῆς Θεολογίας, τὸ ἀκριβὲς ἐκπεπαίδευσαι. ἐντεῦθεν νομοθέτης, τῇ Χριστοῦ Ἐκκλησίᾳ, ἀνεδείχθης Θεόφρον Γρηγόριε.

Ῥητορικὴν, ἐρεσχελίαν ἐξέκλινας, καὶ τῷ λόγῳ, Πάτερ τῷ τῆς χάριτος, καταυγασθεὶς, Ἀποστολικὴν, ὄντως ἐξουσίαν, κατὰ Δαιμόνων ἐπλούτησας. τὴν σὴν γὰρ δραπετεύει, ἀπαστράπτουσαν αἴγλην, ὁ τοῦ σκότους προστάτης Γρηγόριε.

Θεοτοκίον.

Ἡ κιβωτὸς, πόρρωθέν σε προετύπωσε, δεξαμένη, νόμον τὸν θεόγραφον, τὴν ἐν γαστρὶ, τὸν ζωαρχικὸν, Λόγον συλλαβοῦσαν, ἀνερμηνεύτως Πανάμωμε, τὸν τρέφοντα πλουσίως, τὰς ψυχὰς τῶν βοώντων· τῇ δυνάμει σου δόξα φιλάνθρωπε.

Ὠδὴ, ε'. Ἵνα τί με ἀπώσω.

Γεωργίᾳ σῶν λόγων, τὰς κεχερσωμένας καρδίας ὡμάλισας, καὶ τὸν θεῖον σπόρον, ἐν αὐταῖς Ἱεράρχα κατέβαλες, καὶ καρπὸν πολύχουν, τῷ Λυτρωτῇ τὴν σωτηρίαν, τῶν πιστῶν θεορρήμων προσήγαγες.

Ὁ Θεοῦ παραστάτης, ζήλῳ πυρπολούμενος χρίεισε Φαίδιμος, καὶ παρόντα Πάτερ, τῷ Θεῷ τῷ τὰ σύμπαντα βλέποντι, εὐσεβῶς θαρρήσας, καὶ τῇ σεπτῇ σου πολιτείᾳ, πεποιθὼς θεορρήμων Γρηγόριε.

Ῥοαῖς τῶν σῶν δογμάτων, τὰς εἰδωλικὰς πυρπολήσεις κατέσβεσας, καὶ ταῖς διδαχαῖς σου, τοὺς πιστοὺς ἐβεβαίωσας πάνσοφε, ἀναβὰς εἰς ὕψος, ὡς Σαμουὴλ ταῖς θεωρίαις, δενδρωθεὶς καὶ γενόμενος ὄρθιος.

Ἱεράρχα Θεόφρον, ταῖς σαῖς ἱκεσίαις σκανδάλων με λύτρωσαι. τῶν ἐμῶν πταισμάτων, τὸ χειρόγραφον Πάτερ διάρρηξον, Ἱερεὺς ὑπάρχων, παρὰ Θεοῦ τὴν ἐξουσίαν, εἰληφὼς ἀφιέναι τὰ πταίσματα.

Θεοτοκίον.

Ὡραιώθης Παρθένε, τοῖς τῆς παρθενίας σου ἀχράντοις κάλλεσι, καὶ τῆς πρώ-

πρώτης Εὔας, περιέστειλας αἶσχος τὸ δύσμορφον, τὸν Χριστὸν τεκοῦσα, περιβολὴν ἀθανασίας, χαριζόμενον τοῖς σὲ γεραίρουσιν.

Ὠδὴ, ϛ'. Γλάσθητί μοι Σωτήρ.

Τὴν λίμνην θαυματουργῶν, ἀδελφοκτόνον ἐξήρανας, καὶ ποταμοῦ τὰς ὁρμὰς ἀνέστειλας πάνσοφε, τὴν ῥάβδον πηξάμενος, τὴν καὶ δενδρωθεῖσαν, θείῳ νεύματι Γρηγόριε.

Ὁ ζῆλος ὁ τοῦ Θεοῦ, κατέφαγέ σε Γρηγόριε. μὴ καρτερῶν γὰρ ὁρᾶν, Θεὸν ὑβριζόμενον, λαὸν ματαιόφρονα, ταῖς σαῖς ἱκεσίαις θεορρήμον ἐξωλόθρευσας.

Νενέκρωται βουληθεὶς, ἐξουθενεῖν σε ὁ δείλαιος, Ἑβραῖος ὁ δυσσεβὴς, Θεοῦ σε δοξάζοντος, ὡς θεῖον θεράποντα, τῶν αὐτοῦ δογμάτων, πληρωτὴν ἀναδεικνύμενον.

Θεοτοκίον.

Ἐπῆλθε τὸ παντουργὸν, ἐπὶ σὲ Πνεῦμα Πανάμωμε, καὶ Λόγος ὁ τοῦ Θεοῦ, ἐν σοὶ κατεσκήνωσε, καὶ σὰρξ ἐχρημάτισεν, ἀνεκδιηγήτως, διαμείνας ἀναλλοίωτος.

Ὁ Εἱρμός. Γλάσθητί μοι Σωτήρ.

Κοντακ. ἦχ. β'. Τὰ ἄνω ζητῶν.

Θαυμάτων πολλῶν, δεξάμενος ἐνέργειαν, σημείοις φρικτοῖς, τοὺς δαίμονας ἐπτόησας, καὶ τὰς νόσους ἤλασας τῶν ἀνθρώπων πάνσοφε Γρηγόριε. θαυματουργὸς δὲ ὀνομάζεσαι, τὴν κλῆσιν ἐκ τῶν ἔργων κομισάμενος.

Ὁ Οἶκος.

Πόθεν ἀπάρξομαι τοὺς ἀγῶνας ἐξυφαίνειν ὁ τάλας, καθορῶν τὰ πολλὰ καὶ ὑπερθαύμαστα πράγματα; Ἐὰν ἀπὸ τοῦ βίου τοῦ ὁσίου ἐγχειρήσω, τὸ σύνολον οὐκ ἰσχύω. πάντα γὰρ νῦν ὑπερβαίνει ὁ ἔνθεος βίος αὐτοῦ. Ἐὰν ἀπὸ τῶν θαυμάτων, καὶ ἐν τούτῳ λοιπὸν αἰσχυνθήσομαι, ὑπὲρ τὴν ψάμμον ὑπάρχοντα. διὰ τοῦτο ἀκούει Θαυματουργὸς, τὴν κλῆσιν ἐκ τῶν ἔργων κομισάμενος.

Τῷ αὐτῷ Μηνὶ, ΙΖ. Μνήμη τοῦ Ὁσίου Πατρὸς ἡμῶν, Γρηγορίου τοῦ Θαυματουργοῦ.

ἦ. Ὁ Γρηγόριος θαυματουργῶν καὶ πάλαι, Θεῷ παραστὰς θαυματουργεῖ νῦν πλέον. Ἑβδομάτῃ δεκάτῃ τε μέγας θάνε Θαυματουργός.

Οὗτος ἦν ἐπὶ Αὐρηλιανοῦ τοῦ βασιλέως, ἐξ Ἑλλήνων γεννητόρων. τῇ δὲ τῶν κρειττόνων μερίδι αὐθὺς προσθεὶς ἑαυτὸν, τὴν ἀληθῆ κατὰ Χριστὸν Πίστιν ἐπέγνω. Καὶ προϊούσης τῆς ἡλικίας, τὰ τῆς εὐσεβείας αὐτῷ συνηυξάνετο. Μεγέθει δὲ καὶ πλήθει θαυμάτων, ἃ κατειργάσατο, ἐπώνυμον ἔσχεν ὃ λέγεται. Ἔτι γὰρ τῇ σχολῇ συνήθως φοιτῶν ἐν Ἀλεξανδρείᾳ, καὶ παιδείας μεταλαμβάνων τῆς κατὰ φιλοσοφίαν, ἑταιρικὸν γυναίον ἐκ συνθήματος ἐπὶ διαβολῇ αὐτῷ προελθὸν, τῶν συμφοιτητῶν εἰς τοῦτο αὐτὴν παρακινησάντων, καὶ δαίμονι διὰ τὴν συκοφαντίαν ληφθὲν, καὶ εἰς γῆν σπαραττόμενον, ἰάσατο διὰ προσευχῆς. Καὶ τὴν Ὑπεραγίαν Θεοτόκον ἅμα Ἰωάννῃ τῷ Θεολόγῳ εἶδε καθ' ὕπαρ μυοῦντας αὐτῷ τὸ τῆς Τριάδος Μυστήριον. Καὶ μετὰ τὸ Ἐπίσκοπον αὐτὸν χειροτονηθῆναι παρὰ Φαιδίμου τοῦ Ἀμασίας Προέδρου, ἐν τῷ ἀπιέναι εἰς τὴν λαχοῦσαν Ἐκκλησίαν, καὶ μετὰ τὸ ἀπελθεῖν, ἀκοῆς ἀνώτερα, καὶ μείζονα πίστεως θαύματα πεποιηκέναι λέγεται. Λίθον γὰρ βουνῷ παραπλήσιον, διὰ προσευχῆς ἐκίνησε, καὶ πρὸς ἕτερον μετήγαγε μέρος, καὶ ἔντινι εἰδωλείῳ ὁ Ἅγιος κατὰ πάροδον εἰσελθὼν, ἐξήλασεν ἐκεῖθεν τὰ δαιμόνια. ὑποχωρήσαντος δὲ εἰσελθεῖν ἐν αὐτῷ πάλιν, οὐκ ἔτι ἠδύναντο. Τοῦτο μαθὼν ὁ Νεωκόρος, κατὰ τοῦ Ἁγίου ὠργίζετο. Τοῦ δὲ Ἁγίου ἐν χάρτῃ γράψαντος, Γρηγόριος τῷ Σατανᾷ, εἴσελθε, καὶ τοῦτον ἐν τῷ ναῷ θέντος τοῦ Νεωκόρου, καὶ τῶν δαιμόνων εἰσελθόντων, τῷ τοιούτῳ θαύματι ὁ Νεωκόρος καταπλαγεὶς, ἀντὶ τοῦ λατρευτὴς εἶναι δαιμόνων, Χριστοῦ μαθητὴς αὐθὺς ἀναδείκνυται, τῷ μεγάλῳ προσελθὼν Γρηγορίῳ. Καὶ Λίμνην Θαλάσσῃ κυμαίνουσαν ἴσα, μίαν νύκτα διακαρτερήσας τῇ προσευχῇ, ἀνίκμον καὶ χέρσον ἀπέδειξε, τῶν δύω ἀδελφῶν τῶν ἀντιποιουμένων τῆς Λίμνης τὸν κατ' ἀλλήλων συναποξηράνας θυμὸν, πο-

λεμικῶς καὶ ἀδιαλλάκτως ἐχόντων. Ἔτι δὲ καὶ τοῦ Ποταμοῦ τὴν ἐπὶ τὰ πρόσω φορὰν ἐπέσχε, τῶν προσοίκων αὐτοῦ δεηθέντων, κατὰ τῆς διαβρόχου γῆς, καὶ συφερτώδους ἐρείσας τὴν βακτηρίαν, καὶ προσθεὶς τῷ θαύματι θαῦμα. τό, τε γὰρ ῥεῖθρον ὁρᾶται ἀναχαιτιζόμενον, ὥσπερ δεδοικὸς προσψαῦσαι τῇ ῥάβδῳ. καὶ ἡ ῥάβδος ἤδη οὖσα ξηρὰ, καὶ τῆς φυσικῆς ὑγρότητος ἄμοιρος, εἰς εὐθαλὲς ἐγένετο δένδρον. Καὶ οὐδὲ ὁ χρόνος λύμη τῷ θαύματι γέγονεν, ἀλλὰ καὶ νῦν, ὥς φασι, τοῦ ποταμοῦ τὴν εἰς τὰ πρόσω φεύγοντος πρόοδον, καὶ τοῦ δένδρου τοσούτοις ἐξαρκοῦντος ἔτεσιν, ἡ τοῦ Χριστοῦ δύναμις διὰ τοῦ μεγάλου Γρηγορίου κηρύττεται. Καὶ πρὸς τούτοις, ὁ ὑποκριθεὶς Ἑβραῖος τὸν νεκρὸν ἐν ὑπτίῳ καὶ ἐκτεταμένῳ σχήματι, διὰ προσευχῆς αὐτοῦ, αὐτὸ τοῦτο κατ' ἀλήθειαν γέγονεν, ὅπερ ἐσχηματίζετο. Ἐνομίσθη δέποτε ἐν τῷ ὄρει ἑστὼς καὶ προσευχόμενος, δένδρον τοῖς διώκουσι, καὶ λοιμὸν τοῖς ἀπίστοις ἐπήγαγε, καὶ προσελθοῦσι τῇ πίστει, τοῦ θανάτου ἀπήλλαξεν. Ἐν δὲ τῷ μέλλειν πρὸς Κύριον ἐκδημεῖν, εὐχαριστηρίους ἀφῆκε φωνὰς, ὅτι τὴν Πόλιν αὐτοῦ πολυάνθρωπον οὖσαν, καὶ τοσοῦτον τῇ ἀσεβείᾳ καὶ ἀπιστίᾳ πλήθουσαν, ἐπὶ τῆς ἐναντίας τάξεως κατέλιπεν. Ὅσους γὰρ εὗρε τοὺς παραδεξαμένους τὴν πίστιν, τοσούτους τοὺς παραμεμενηκότας τῇ ἀπιστίᾳ κατέλιπε.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ Ὁσίου, καὶ Ὁμολογητοῦ Λαζάρου, τοῦ ζωγράφου.

ἢ. Οὐ ζωγραφεῖ σε Λάζαρος καὶ νῦν Λόγε, Ἀλλὰ βλέπει σὲ ζῶντα μὴ λήπτον χρόαις.

Οὗτος νηπιόθεν τὸν μονήρη βίον ὑπέρχεται, καὶ ζωγραφικὴν ἐπιστήμην ἐκπαιδεύεται, καὶ πρὸς τῇ σκληραγωγίᾳ, καὶ ἐγκρατείᾳ, καὶ τῆς ἐλεημοσύνης ἐπεμελεῖτο. Διὸ καὶ τὸ τῆς Ἱερωσύνης ἀξίωμα δέχεται. Ἐντεῦθεν κατὰ πασῶν τῶν αἱρέσεων ἀποδύεται. καὶ τοσαύτας θλίψεις, οὐ μόνον παρὰ τῶν τὰ Εὐτυχοῦς καὶ Νεστορίου καὶ Διοσκόρου φρονούντων, ἀλλὰ καὶ παρὰ τῶν ἀθέων Εἰκονομάχων, ὑπέμεινεν, ὅσας οὐδέ ἐστιν εἰπεῖν. Ἀλλὰ καὶ ἐπὶ τὴν πρεσβυτέραν Ῥώμην στέλλεται, τῶν Πατρικῶν καὶ Ἀποστολικῶν ὑπερμαχήσων δογμάτων. Καὶ μεγαλοπρεπῶς ὑποστρέψας, αὖθις τῶν αὐτῶν ἕνεκεν ὑποθέσεων ἐπὶ Ῥώμην ἀπαίρει. Καὶ περὶ τὰ μέσαπον τῆς ὁδοῦ ἀνωμαλίας τινὸς αὐτῷ περὶ τὸ σῶμα γενομένης, τελευτᾷ ἐν Χριστῷ. Καὶ τὸ τίμιον αὐτοῦ σῶμα ἀνακομισθὲν, ἐν τῇ μονῇ τοῦ Εὐάνδρου κατετέθη.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ Ὁσίου Ζαχαρίου τοῦ Σκυτοτόμου, καὶ Ἰωάννου διήγησις ὠφέλιμος.

Τ'νήρτις τῶν κατὰ Κόσμον περιφανῶν, ὄνομα αὐτῷ Ἰωάννης, πάντων καταφρονήσας, καὶ τὸν λιτὸν μετερχόμενος βίον, ἔργῳ τὴν τῶν ἀγαθῶν πρὸς ἑαυτὸν ἐπεσπάσατο μετουσίαν, ἐπαγρυπνῶν ἐν ταῖς προσευχαῖς, καὶ νήφων τοῖς ἐπίπροσθεν αὐτῷ κατορθώμασιν. Ὡς δὲ μετὰ τῶν ἄλλων καὶ τὸ ἐν ταῖς αὐλαῖς Κυρίου παννυχεύειν ἀπαραίτητον ἦν αὐτῷ, μιᾷ τῶν νυκτῶν ἀφίκετο πρὸς τὸν ἐπ' ὀνόματι τῆς τοῦ Θεοῦ Λόγου Σοφίας Ναὸν τὸν ἐν τῷ Βυζαντίῳ. Καὶ τὰς πύλας ἤδη κεκλεισμένας εὑρὼν, ἐν τῷ πλησίον σκάμνῳ κεκμηκὼς ἀνεπαύσατο, ὑποψιθυρίζων τὴν ἐκτύπου αὐτοῦ Ἀκολουθίαν. Καὶ ὡς ἐν τούτοις ἦν, λαμπηδόνα φωτὸς, ἔξωθεν ἐρχομένην ὁρᾷ. Ἐπιστήσας δὲ τὸν ὀφθαλμὸν, ἄνδρα τινὰ σεμνὸν ἑπόμενον τῷ φωτὶ κατενόει. Καὶ περιχαρὴς ὥς περ ἐπὶ τῷ θεάματι γεγονὼς, συνέστειλε μᾶλλον ἑαυτὸν, γνῶναι θέλων τοῦ ἐρχομένου τὸ ἀποτέλεσμα. Ὡς δὲ λοιπὸν ἐκεῖνος ἤδη, τοῦ φωτὸς πορευομένου, πρὸς τὰς κεκλεισμένας πύλας ἀφίκετο, ἐπ' αὐτῇ τῇ φλιᾷ προσκλιθεὶς, καὶ ἱκανῶς προσευξάμενος, ὑψοῦ τὰς χεῖρας μετεωρήσας, τὸ χριστοφόρον σημεῖον ταῖς πύλαις διαχαράττει, καὶ παραυτίκα σὺν τῷ φωτὶ ἀκωλύτως εἰσῆλθε. Καὶ πάλιν ἐπ' αὐτῷ τῷ ἐδάφει καταβαλὼν ἑαυτὸν, ἐν ᾧ ἄνωθεν ἡ τῆς Θεομήτορος Εἰκὼν ἐκτετύπωται, καὶ ἀνα-

στὰς, ὁμοιοτρόπως καὶ ταύτας τὰς πύλας ἠνέῳξε. Καὶ ἀνελθὼν ἐν τῷ Νάρθηκι πρὸς τὰς ἀργυρέας πύλας, ἱκανῶς ὡς ἔδοξε τῷ ὁρῶντι προσηύξατο. Καὶ πάλιν ὁρᾷ τὸν αὐτὸν διὰ τῆς σφραγίδος καὶ ταύτας τὰς ὡραίας ὑπανοίξαντα πύλας, καὶ φωτοειδῆ ὅλον ἐν τῷ σεπτῷ Ναῷ εἰσερχόμενον, καὶ κατὰ τὸ μεσαίτατον τοῦ Ναοῦ ὑψοῦ τὰς χεῖρας διάραντα, καὶ τὸν Θεὸν ἐξευμενιζόμενον. Ὅτε δὲ τὰς εὐχὰς τῷ Θεῷ ἀπέδοτο, πάλιν νοστήσας, τὸ ἔσχατον τοῦ ναοῦ καταλαμβάνει προάυλιον, τῶν πυλῶν πάλιν ὑπὸ τῆς θείας ἐνεργείας ἀποκλεισθεισῶν. Ἵστατο οὖν ὁ Ἱερὸς ἐκεῖνος ἀνὴρ ἀποσκοπῶν ὡς ἔλεγεν, ὅποι τὴν πορείαν ἔχει ὁ τοῦ Ναοῦ ἐξελθών. Ὡς δὲ λοιπὸν τὴν κατ' εὐθεῖαν ὁδὸν ἐβάδιζε, μὴ ὀκλάσας ὁ Ἀβραμιαῖος ἐκεῖνος ἀνὴρ, ἐπηκολούθει κατιμαθεῖν βουλόμενος, ποῦ ἄρα ὁ τοῦ Θεοῦ Ἱερὸς ἀποκρύπτεται μαργαρίτης. Ὡς δὲ τῆς ὁδοῦ μικρὸν ὑποκλίνας ὁ φαινόμενος, πρὸς τὸ κάταντες τοῦ Μάρτυρος Ἰουλιανοῦ τῶν βαθμίδων ἐγένετο, πρός τι σμικρότατον τῶν ἐκεῖσε οἴκημα ἐπιστὰς, καὶ τὸ τῆς ἐνδὸν οὔσης γυναικὸς ὄνομα Μαρία, σιγηρᾷ τῇ φωνῇ καλέσας, καὶ τῇ χειρὶ κρούσας εἰσῆλθε, τό, τε περιαστράπτον φῶς τὸν ἄνδρα κατὰ τὴν ὁδὸν, ὑπεξιὸν ἀνεχώρει, καὶ ἐν ἀμφοτέροις ἐκείνοις ἡ οὖσα νὺξ ἐγνωρίζετο. Ἀλλὰ τὸ γύναιον ἐπιδραμὸν μετὰ τῆς φωταγωγοῦ λυχνίας ἀνάψαν, τῷ εἰσελθόντι ἀνδρὶ προσηνέγκεν. Ὁ δὲ μηδὲ τῇ κλίνῃ προσκλιθεὶς, μήτ' ἄλλως πως τὸ σῶμα διαναπαύσας, πρὸς ἐργασίαν ἐτράπη· σκυτοτόμος γὰρ ἦν, καὶ δερμάτων διαῤῥαφεύς.

Τότε ὁ ἐπακολουθῶν αὐτῷ ἀξιομνημόνευτος Ἰωάννης ἀνερυθριάστως τῇ κέλλῃ προσέβαλε, καὶ τῇ γῇ προσκλιθεὶς, τοῦ ἀοιδίμου δάκρυσι τοὺς πόδας κατέβρεχε. Μὴ ἀποκρύψῃς ἀπ' ἐμοῦ, λέγων, ὅστις εἶ, καὶ τίσσου ἡ ὑψηλὴ ἐργασία ἡ εἰς τὸν Θεὸν, δι' οὗ τὰς ἐξαισίους δυνάμεις, ἃς εἶδον πεποίηκας. Καὶ ὁ ταπεινόφρων ἐκεῖνος· Συγχώρησον γέρων διὰ τὸν Κύριον. ἁμαρτωλός εἰμι ἄνθρωπος, μηδὲν ἀγαθὸν ἐργασίας ἐπιφερόμενος. τίς γὰρ, εἰ μὴ ἰδιώτης ἐγώ; ἢ πόθεν μεμάθηκα, τυποῦσθαί τισι καὶ κανονίζειν, ἐπιδεὴς ὤν, καὶ οἰκτρᾶς ἐργασίας ἐπειλημμένος; πεπλάνησαι ἄνερ, πεπλάνησαι, φάντασμα μᾶλλον ἰδὼν, καὶ οὐκ ἀλήθειαν. Τότε ὁ γέρων τοῖς δάκρυσι προσέθηκε δάκρυα, μὴ ἐνδοὺς ὁρκίζων εἰς τὸν Θεὸν, εἰπεῖν τῶν ἀγαθῶν αὐτοῦ τὸ περίδοξον. εἰ μὴ γὰρ ἔργον τοῦτο τῆς προνοίας ἦν, τοῦ γνωσθῆναι τὰ κατὰ σὲ, ἔλεγεν, οὐκ ἂν ἐγὼ ὁ ἐλάχιστος θεωρὸς τοιούτων μυστηρίων ἠξιώθην γενέσθαι. Τότε ὑπὸ τῶν ὅρκων ὥσπερ στενούμενος ὁ ἀνὴρ, ἀναστὰς ὅθεν ἐκάθητο, καὶ μετανοίαν πρῶτον τῷ γέροντι ποιησάμενος, οὕτως ἤρξατο λέγειν. Οὐδὲν ἕτερον ἐπὶ γῆς κατόρθωμα, μὰ τὴν ἀλήθειαν, κέκτημαι ἀδελφέ μου, συγχώρησον, εἰ μὴ τὸ ταῖς ἁμαρτίαις μου συμφύρεσθαι, καὶ τῆς σαρκὸς τὴν ἐπάθειαν περὶ πολλοῦ ποιεῖσθαι. Ἐκ δὲ τῆς τοῦ Θεοῦ μου ἀγαθότητος, ὀψέποτε τῆς γεέννης τὸν φόβον λογισάμενος, ταύτην ἦν ὁρᾷς ἀδελφὴν, γυναῖκα ποτὲ προσαγόμενος, τὸ καθαρὸν τέως τῆς σαρκὸς οὐκ ἐμόλυνα, ἀλλ' ἐξίσου τῇ ἁγνείᾳ στοιχήσαντες, ὡς στειρευούσῃ ταύτῃ, τὸ πρᾶγμα τοῖς γνωρίμοις ἐναπεκρύψαμεν, καὶ μέχρι τῆς δεῦρο διὰ τὸν πόθον τοῦ πλάσαντος, τῆς σαρκικῆς μίξεως καθαρεύομεν. Προσθήσω δέ σοι καὶ ἕτερον διὰ τὴν τοῦ ὅρκου ἀσφάλειαν. Ὁ ἐμὸς ἅπας βίος οὐδὲν πλέον, μὰ τὴν ἀλήθειαν, εἰ μὴ τριμήσιον ἐν, καὶ τοῦτο μεταχειριζόμενος δέρμασι, κοπιῶ ἐργαζόμενος, καὶ τὴν ἐκ τούτου πρόσοδον, ἰσοτάλαντον τίθημι, τὸ πρῶτον καὶ τιμιώτερον τῷ Χριστῷ, τῇ δὲ ἡμετέρᾳ χρείᾳ τὸ δεύτερον. Καὶ οὕτως ἀεὶ συντηρούμενος, τὸν κριτὴν καθ' ἑκάστην, καὶ τῶν φορολόγων πνευμάτων τὰς ἐφόδους φαντάζομαι. Καὶ συμπεράνας ὧδε τὸν λόγον, ἀλλήλους καταπασάμενοι, καὶ πρὸς γῆν καταναύσαντες, ἐν εἰρήνῃ τῆς κέλλης ὁ Ἱερὸς ὑπανεχώρει ἀνήρ. Καὶ ὁ μὲν ἀπελθὼν ἐν ᾧ τὴν ξενίαν ἐκέκτητο, τῷ Θεῷ εὐχαρί-

στει

ςει ἐν οἷς τεθέαται μεγαλείοις. Ὁ δὲ θαυμάσιος ἐκεῖνος Σκυτεὺς, καὶ ἀληθῶς ἀφιλόκομπος, τῆς ἀνθρωπίνης δόξης φεύγων τὸ δέλεαρ, μεταναςῆς τῆς κέλλης ἐγένετο, ἄγνωςος πᾶσι τὸ παράπαν γενόμενος.

Τῇ αὐτῇ ἡμέρᾳ, Ὁ Ὅσιος Λογγῖνος, ἐν εἰρήνῃ τελειοῦται.

ο. Ἔχεις Ἀθλητὴν Χριςὲ Λογγῖνον μέγαν.

Ἔχεις δὲ καὶ Λογγῖνον Ἀσκητὴν μέγαν.

Τῇ αὐτῇ ἡμέρᾳ, Ὁ Ἅγιος Γεννάδιος, Πατριάρχης Κωνςαντινουπόλεως, ἐν εἰρήνῃ τελειοῦται.

ο. Ὁ Γεννάδιος εὗρε τὴν Ἐδὲμ ςέφος, Φανεὶς νοητὴν πρὸς παλαίςραν Γεννάδας.

Τῇ αὐτῇ ἡμέρᾳ, Ὁ Ἅγιος Μάξιμος, Πατριάρχης Κωνςαντινουπόλεως, ἐν εἰρήνῃ τελειοῦται.

ο. Μάξιμος ὠδίνησε, καὶ τεκὼν τέκνα, Πράξεις ἁγνὰς, ἄπεισιν ἁγνὸς ἐκ βίου.

Τῇ αὐτῇ ἡμέρᾳ, Ὁ Ὅσιος Ἰουςῖνος, ἐν εἰρήνῃ τελειοῦται.

ο. Ἀσκητικὸς ἄγρυπνος ὀφθαλμὸς μύει, Ἰουςῖνος τὸ θαῦμα τῶν ἠσκηκότων.

Ταῖς αὐτῶν ἁγίαις πρεσβείαις.

Ὠδὴ, ζ. Θεοῦ συγκατάβασιν.

Πατέρων τὸ καύχημα, καὶ Διδασκάλων τὸ σεμνολόγημα, φωςὴρ τῆς Ἐκκλησίας, τῆς εὐσεβείας ςύλος ἀκράδαντος, σὺ καθωράθης, κραυγάζων Γρηγόριε· εὐλογητὸς ὁ Θεὸς, ὁ τῶν Πατέρων ἡμῶν.

Ἀστράψας τοῖς θαύμασι, τὴν οἰκουμένην ἐφωταγώγησας. διὰ τοῦτο Θεόφρων, συναθροισθέντες σὲ μακαρίζομεν, οἱ τῶν σῶν λόγων τρυφῶντες Γρηγόριε· εὐλογητὸς ὁ Θεὸς, ὁ τῶν Πατέρων ἡμῶν.

Τάματα πάνσοφε, τοῖς ἀσθενοῦσι πᾶσιν ἐπήγασας. ἐξεχύθη γὰρ χάρις, δαψιλεςάτη σοῦ ἐν τοῖς χείλεσι, θαυματουργίαις δι' ἧς ἀνεκραύγαζες· εὐλογητὸς ὁ Θεὸς, ὁ τῶν Πατέρων ἡμῶν. θ'.

Νῦν πάντα πεπλήρωται, φωτὸς τοῦ θείου, διὰ σοῦ Πάναγνε. σὺ γὰρ πύλη ἐφάνης, δι' ἧς τῷ Κόσμῳ Θεὸς ὡμίλησε, καταφωτίζων τοὺς πίςει κραυγάζοντας· εὐλογητὸς ὁ Θεὸς, ὁ τῶν Πατέρων ἡμῶν.

Ὠδὴ, η'. Ἑπταπλασίως κάμινον.

Οἱ διὰ σοῦ πλουτήσαντες, τῆς Τριάδος τὴν ἔλλαμψιν, τῆς ὁμοουσίου, καὶ σεπτῆς Γρηγόριε, τὴν σὴν νῦν πανήγυριν, ἐπιτελοῦντες χάριτι, θαυματουργικῇ, καταλαμφθῆναι αἰτοῦμεν, βοῶντες τῷ Δεσπότῃ· Ἱερεῖς εὐλογεῖτε, λαὸς ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Νεοφανὲς ὡς ἔσοπτρον, δεδειγμένος πανόλβιε, τὰς μαρμαρυγὰς, τῆς ἀρχικῆς Θεότητος, τὸν Κόσμον ἐφώτισας, ἀνταναχλάσεις πέμπων φωτὸς, τοῖς μελῳδικῶς, ὀρθοδοξίᾳ βοῶσιν· οἱ Παῖδες εὐλογεῖτε, Ἱερεῖς ἀνυμνεῖτε, λαὸς ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Ὑπὸ Θεοῦ σκεπόμενος, εὐσεβείας ὑπόθεσις, τοῖς θεοσεβέσιν, ἐφρουρήθης πάνσοφε, εἰς ὄρος ἱςάμενος, ὡς νομοθέτης ἄλλος Μωσῆς, τὸν δημιουργὸν, καὶ λυτρωτὴν ἐκδιδάσκων, Γρηγόριε ἐβόας· Ἱερεῖς εὐλογεῖτε, λαὸς ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Θεοτοκίον.

Φωτὸς ἀδύτου γέγονας, ἐνδιαίτημα Πάναγνε, ταῖς τῆς παρθενίας, καλλοναῖς ἀςράπτουσα, καὶ πάντας κατηύγασας, τοὺς Θεοτόκον σε ἀληθῆ, καθομολογοῦντας, ἐκ ψυχῆς καὶ βοῶντας· οἱ Παῖδες εὐλογεῖτε, Ἱερεῖς ἀνυμνεῖτε, λαὸς ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Ὁ Εἱρμός. Ἑπταπλασίως κάμινον.

Ὠδὴ, θ'. Ἐξέςη ἐπὶ τούτῳ ὁ Οὐρανός.

Ἀρίςης πολιτείας λάμψας φωτὶ, νῦν φωτὶ τῷ μεγάλῳ παρέςηκας, θεουργικαῖς, θαυματοποιΐαις ὡς νικητὴς, κατεςεμμένος ὅσιε, Πάτερ Ἱεράρχα θαυματουργὲ, Γρηγόριε θεόφρον, φωςὴρ τῆς Ἐκκλησίας, τῶν Ὀρθοδόξων ἐγκαλλώπισμα.

Ἐθυνέσθαι δυσώπει σαῖς προσευχαῖς, τὸ βασίλειον νῦν ἱεράτευμα, τὸ ἐκλεκτὸν, καὶ ἡγιασμένον Θαυματουργέ. καὶ τοὺς

πι-

πίστως τὴν μνήμην σου, μιᾷ ἐπιτελοῦντας ἑορτῇ, τῆς ἄνω Βασιλείας, Γρηγόριε Θεόφρον, ἀξιωθῆναι καθικέτευε.

Νικήσας τῷ δαιμόνων τὰς προσβολὰς, καὶ σαρκὸς ὑποτάξας τὸ φρόνημα, Ἀρχιερεὺς, ἄκακος καὶ ὅσιος γεγονὼς, δικαιοσύνης ἐνδυμα, περιβεβλημένος θαυματουργὲ, παρίστασαι τῷ θρόνῳ, τῶν πάντων Βασιλέως, μιᾷ παῤῥησίᾳ πανμακάριστε.

Θεοτοκίον.

Ὑπέρθεος ὦ Παρθένε Μήτηρ Θεοῦ, ὑπὲρ φύσιν τεκοῦσα ἐν σώματι, τὸν ἀγαθὸν, Λόγον ἐκ καρδίας τῆς ἑαυτῆς. ὃν ὁ Πατὴρ ἠβούλετο, πάντων πρὸ αἰώνων ὡς ἀγαθός. ὃν μιᾷ καὶ τῷ σώματι, ἐπέκεινα μοῦμεν, εἰ καὶ τὸ σῶμα περιβέβληται.

Ὁ Εἱρμός. Ἔξεστη ἐπὶ τούτῳ ὁ Οὐρανός.

Ἔξαπος. Τῶν Μαθητῶν ὁρώμενος.

Ἐν ἐμοὶ ἐν ποικίλοις θαύμασιν Ἱεράρχαι, ἀμάραντα δόκιμον ἐν τῷ Κόσμῳ, θείαις ἀφνίσωμεν μελῳδίαις, Γρηγόριον φιλέορτοι. ὅπως ταῖς τούτου πρεσβείαις, λάβωμεν λύσιν πταισμάτων.

Θεοτοκίον. Ὅμοιον.

Ὁ τῆς ζωῆς τῆς θείας καὶ μακαρίας, φθονήσας μοι τῆς πάλαι ἐν Παραδείσῳ, ἐχθρὸς ὁ δολιώτατος καὶ πανοῦργος, ἐν τῇ Ἐδὲμ ἥδρισέν με, πτώσας με θανατοῦται, τῇ σῇ γαστρὶ Παρθένε.

Εἰς τοὺς Αἴνους, ἦχος δ'. καὶ ψάλλομεν δ'. προσόμοια, ἦχος, πλ. α.

Χαίροις ἀσκητικῶν.

Χαίροις θεολογίαις σαφῶς, ἱερωτάταις ἱερῶς σεμνυνόμενος. ὑφηλὸς τῆς Ἐκκλησίας, ἡ τῶν δογμάτων κρηπὶς, τὸ τῆς Παρακλήτου θείου ὄργανον. ὁ μὲν ὁ οὐράνιος, ἡ κιθάρα τοῦ Πνεύματος. ποιμὴν ὁ μέγας, καὶ Χριστοῦ Ἀρχιποίμνιος, θρέμμα γνήσιον, καὶ ἀρνίον πρωτότοκον. κρίνον ἀμαβλυσάρκωσα, δογμάτων τὰ μάγματα, καὶ ἰαμάτων τὰ ῥεῖθρα, ἱερομύστα Γρηγόριε. Χριστὸν ἐκδυσώπει, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι, τὸ μέγα ἔλεος.

Χαίροις Ἱεραρχῶν καλλονὴ, τῆς ἀρετῆς τὸ διαυγὲς καταγώγιον. ἡ σάλπιγξ τῆς Ἐκκλησίας, ἱερωσύνης κανὼν, ποταμὸς μαράτων θείων ἔμπλεως. ἐξ ὧν καταρδεύεται, ἡ ὑφήλιος ἅπασα, πρὸς ἀκαρπίαν, ψυχικὴν τε σωτήριον, καὶ αἱρέσεων, ἀποπλώεται βόρβορος, ἀνθρωποτέρπνιε, ἐπίγειε Ἄγγελε, σῶμα τὸν νόμον τὸν θεῖον, ἐμμελετήσας Γρηγόριε, Χριστὸν κληρονόμε, τοῦ παρέχοντος τῷ Κόσμῳ, τὸ μέγα ἔλεος.

Ὄμβροις σῶν ἱερῶν προσάρχων, λίμνην ἐξήραμας ποτὲ μάχης πρόξενον, καὶ ῥεῖθρον, τῇ δαμδρωθείσῃ, ῥάβδῳ ἀτάκτως σοφὲ, ἐπικλύζον ἔργοις θείᾳ χάριτι. βωμοὺς κατηδάφισας, τῶν δαιμόνων Γρηγόριε, τῆς ἀπιστίας, τὸν χειμῶνα διέλυσας, θερμοτάταις σου, πρὸς Θεὸν παρακλήσεσι. θαύμασιν ἐβεβαίωσας, ψυχὰς καὶ προσήγαγες, τῷ ἀνεργέτῃ τῷ ὅλων. παρ' οὗ τὸν ἄξιον εἴληφας, μισθὸν ὃν δυσώπει, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι, τὸ μέγα ἔλεος.

Δοξα, ἦχος, πλ. δ'.

Τὸν περιβόητον ἐν θαύμασιν Ἱεράρχαι, καὶ τὰ ἄψυχα αἰδέσμενα παραδόξως μετεβάλλετο. λίμνη μὲν ἐχερσώθη, ἀδελφὰς μυθεῖσα. ῥάβδος δὲ ἐδενδρώθη, ποταμὸν χαλινοῦσα. λίθος λόγῳ μετετέθη, μεταφέρων τὰς ἀπίστους, πρὸς πίστιν τὴν τοῦ Θεοῦ ἐπίγνωσιν. δι' ἧς τὸ μέγα ἔλεος, παράσχοι ὁ Θεὸς ταῖς ψυχαῖς ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον.

Ἡ σκέπη σου Θεοτόκε Παρθένε, ἀσφαλὲς ὑπάρχει πρόβλημα. ἐν αὐτῇ γὰρ καταφεύγοντες, ψυχικῶν μολυσμάτων λυτρούμεθα.

Σταυροθεοτοκίον. Ὅμοιον.

Τὸν Ἐμμανουὴλ ἀμνὸν Θεοῦ καὶ Λόγον, βλέπουσα σαρκὶ κρεμάμενον ἐν ξύλῳ, ἀμνὰς ἡ μόνη ἀμίαντος καὶ Παρθένος, λύπῃ συνεῖχετο δακρύουσα.

Εἰς τὸν ᾱ. ᾱ. τῆς Ὀκτωήχου. Δόξα, ἦχος, δ'.

Ἱερωσύνης τὸν ὕφηλον, θεόθεν δεξάμενος, καὶ τὸ θεῖον δέρας ἐξ ὕψους περιβαλλόμενος, τὰς περὶ τῆς ἀπιστίας νύξ, τέκνα φωτὸς καὶ κληρονόμους ἀπέδειξας,

Θεῷ

Θεῦ σοφίας χάριτι, ἐκχυθείσης ἐμ χείλεσίν, παραδόξων πραγμάτων ἀντεργέ, Κυρίου Γρηγόριε. διὸ ἐ μῶ ἐμ τῇ μνήμῃ σου, αἴτησαι Χριστὸν τὸν Θεὸν, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Καὶ μῶ. Θεοτοκίον.

Φωτίζου τῇ θείου Γαβριὴλ, προσάγομεν χαρμοσύνως καὶ κραυγάζομεν· Χαῖρε Παράδεισε τὸ ξύλον, ἐμ μέσῳ τῆς ζωῆς ἔχων πάντοτε. περίδοξον τὸ Λόγου παλάτιον, χαῖρε Παρθενίε παναμώμητε.

Σταυροθεοτοκίον. Ἔ δωκας σημείωσιν.

Σταυρόμενον βλέπουσα, ἡ πανάμωμος Δέσποινα, τὸν Δεσπότην τῆς κτίσεως, θρηνοῦσα ἐκραύγαζεν· οἴμοι θεῖον Τέκνον, πῶς φέρεις ὀδύνας, Θεὸς ὑπάρχων ἀπαθής; Ἀγγέλων τάξεις τρόμῳ ἐξέστησαν, ὁρῶντες τὸ Μυστήριον, τῆς σῆς ἀφάτου Σταυρώσεως, Ἰησοῦ παντοδύναμε, ὁ Σωτὴρ τῇ ψυχῶν ἡμῶν.

Ἡ λοιπὴ Ἀκολουθία τῆς Ὄρθρου, καὶ Ἀπόλυσις.

Εἰς τὸν Λειτουργίαν τὰ Τυπικὰ, ἐκ τοῦ Κανόνος ὡς σύνηθες. Προκείμενον, ἦχος, βαρύς. ϛ. Τίμιος ἐναντίον Κυρίου. Τὰ αὐτὰ ποιήσωμεν τῷ Κυρίῳ. Ὁ Ἀπόστολος, πρὸς Κορινθίους. Ἀδελφοὶ οὐκ ἐκάστῳ δίδοται. Ἀλληλούϊα. ἦχος, β. Οἱ ἱερεῖς σου κύριε ἐνδύσονται. Εὐαγγέλιον, κατὰ Ματθαῖον. Τῷ καιρῷ ἐκείνῳ προσκαλεσάμενος ὁ Ἰησοῦς τοὺς δώδεκα μαθητὰς αὐτοῦ. Ζήτει εἰς τὸν ά. τοῦ αὐτοῦ μηνός. Κοινωνικόν. Εἰς μνημόσυνον αἰώνιον.

Τῷ αὐτῷ Μηνὶ, ΙΗ.

Τοῦ Ἁγίου Μάρτυρος Πλάτωνος, καὶ τοῦ Ἁγίου Μάρτυρος Ῥωμανοῦ. Ἑσπέρας εἰς τὸ, Κύριε ἐκέκραξα, ἱστῶμεν ϛ. ϛ. καὶ ψάλλομεν ϛ. προσόμοια.

Τοῦ Ἁγίου Πλάτωνος. ἦχος, πλ. δ.

Ὦ τοῦ παραδόξου θαύματος.

Πλήρης γεγονὼς φρονήματος, τῷ τῆς μελῶν ἐκκοπῇ, καὶ τομῇ τῶν τοῦ σώματος, καὶ τὸ πῦρ τὸ ἄσχετον, τὸν λιμὸν καὶ τὸν θάνατον, ἀνδρειότατα, γενόμενος ὑπέφερες, τῶν δι' αἰῶνος ἀποκειμένων σοι, δόξαν θεώμενος, τῶν μὴ διαπιπτόντων, καὶ προορῶν, τῶν διαιωνίζοντων, μακαριότητα.

Πάσαν ὑπερβὰς τῶν αἰσθήσεων, καὶ πρὸς τὸν ἄνω ζῶντα, μεταθεὶς τὸν διάνοιαν, λογισμῷ θεόφρονι, καὶ ψυχῇ μεγαλόφρονι, τῆς ἀτελείας, καὶ ταπεινότητος, τῶν ὁρωμένων, καταπεφρόνηκας. ὕδατι ξόμενος, καὶ πυρὶ φλεγόμενος, ὑπὲρ Χριστοῦ, Μάρτυς ἀνδρικώτατα, διεκαρτέρησας.

Πᾶσαν τὴν ἐχθρὸν τῶν ἔφοδον, καὶ δωκτὴν τὰς ὁρμὰς, καταλύσας τῇ χάριτι, τοῦ τῆς νίκης στέφανον, ἀνεδήσω παμάκαρ, τῆς ἀκρατείας, ἀγαλλιάσεως, καὶ τῆς ἀφράστου καταξιώμενος, θείας ἐλλάμψεως. ἐνθα μῶν γενόμενος, ἁμαρτιῶν, αἴτησαι τῶν ἄφεσιν, τοῖς ἀνθρώποις σου.

Ἑτέρα ἀνατολικὴ τοῦ Ἁγίου Ῥωμανοῦ. ἦχος, δ.

Ὡς γενναῖον ἐν Μάρτυσιν.

Τῇ ἀσκήσει πυρούμενος, τῇ ἀθλήσει σεμνύμενος, ταῖς πολλαῖς κολάσεσι λιπαινόμενος, ξίφος γεγεύσαι δίστομον, συγκόπτον τὰς φάλαγγας, τῶν Δαιμόνων Ῥωμανὲ, Ἀθλητὴν ἐγκαλλώπισμα, θεῖον καύχημα, τῆς σεπτῆς Ἐκκλησίας ὡραιότης, τῷ ἐν αἵματι ἰδίῳ, τελειωθέντων Παμάκαρε.

Ἁμαρτήσει ξόμενος, καὶ εἱρκτῇ συγκλειόμενος, καὶ τὴν γλῶσσαν ἐνδόξε ἀφαιρούμενος, καὶ παρείας σιαγονιζόμενος, καὶ τέλος μακάριον, τῇ βιαίᾳ πυγμομῇ, Ἀθλοφόρε δεχόμενος, ἀπερίτρεπτος, ἀταπείνωτος ὤφθης σωτηρίᾳ, Ῥωμανὲ Πνεύματος θείου. ὅθεν πιστῶς ἀνθρώπου σε.

Ῥήτορα τὸ μήπιον, καὶ ἐκπλήττει τὰς ἄφρονας, καὶ σεπταῖς ἐμφάσεσιν ὡραΐζεται, καὶ τελειώσει λαμπρύνεται, πλουτήσαν τὴν εὔκλειαν, τῷ ἁγίῳ Ἀθλητῇ, ὧν τὸν ζῆλον ἐκτήσατο, ἀξιάγαστε, Ῥωμανὲ γενναιόφρον μεθ' ἧς λύσιν, ὀφλημάτων ἡμῖν πᾶσι, καταπεμφθῆναι ἱκέτευε.

Δό-

Δόξα. ἦχος, π. β'.

Φοβερὰ καὶ παράδοξα, τὰ τρόπαια Κύριε τοῦ Μάρτυρός σου. τῶν γὰρ Ἁλιέων ζηλώσας τὴν παῤῥησίαν, τὴν Σκηνοῤῥάφου θεολογίαν, τὴν Πλάτωνος μυθολογίαν, καὶ τὴν Σοϊκὴν φλυαρίαν, λόγοις καὶ ἔργοις κατέῤῥαξε. τὴν δοραὰν ἀποδαρεὶς, καὶ τὴν κάραν ἐκτμηθεὶς, τῇ χύσει τῶν αἱμάτων αὐτοῦ, τὸν ἐχθρὸν ἀπέπνιξε. ἀλλ' ὦ Μαρτύρων τὸ κλέος, ὁ παῤῥησίᾳ κηρύξας τὸ ὄνομα Χριστοῦ τὸ μέγα, αἴτησαι θαυματουργὲ, Πλάτων παμμακάριστε, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι, τὸ μέγα ἔλεος.

Καὶ νῦν. Θεοτοκίον.

Θεοτόκε σὺ εἶ ἡ ἄμπελος ἡ ἀληθινή.

Σταυροθεῖ. Τριήμερος ἀνέστης Χριστέ.

Ἀαὸν τὸν ἀνομώτατον, ἀδίκως καθηλοῦντάσε, ἐπὶ ξύλου, ἡ Παρθένος καὶ Ἁγνὴ, καὶ Μήτηρ σου ὁρῶσα, ὡς Συμεὼν προέφη, τὰ σπλάγχνα Σῶτερ διετέτρωτο. Εἰς τὸν Ὄρθρον, μετὰ τὴν συνήθη εἶλο. Οἱ Κανόνες, τῆς Ὀκτωήχου, καὶ τοῦ Ἁγίου Πλάτωνος. Οὗ ἡ ἀκροστιχίς.

Τῶν σῶν ἐπαίνων, ὦ Πλάτων, μέλπω πλάτος.

Θεοφάνους. Ὠδὴ, α'. ἦχος, πλ.

Ἁρματηλάτην Φαραώ.

Τῆς αἰωνίου βασιλείας ἔνδοξε, τὸ καθαρώτατον, χοροβατῶν πλάτος, ἀπὸ πάσης θλίψεως, καὶ πειρασμῶν στενώσεως, τοὺς ὑμνοῦντάς σε σῶσον, ἀνεπιστρόφως ὁδεύοντας, τὴν πρὸς Οὐρανὸν τρίβον φέρουσαν.

Ὠχυρωμένος εὐσεβείας πρόβολος, καὶ πύργος ἄσειστος, ἀναδειχθεὶς Πλάτων, πᾶσαν ἀγριότητα, τῶν πειρασμῶν ὑπέμεινας, καὶ τὰς τῶν ἀλγηδόνων, στενοχωρίας ὑπήνεγκας, θείᾳ πλατυνόμενος χάριτι.

Νεανικὴν ἐπιδεικνὺς τὴν ἔνστασιν, τῷ τῆς νεκρώσεως, καὶ τῆς φθορᾶς πάχος, διὰ τῆς ἀθλήσεως, ἀπετινάξω πάνσοφε, καὶ τὸν τῆς ἀφθαρσίας, χιτῶνα περιβαλλόμενος, χαίρων τῷ Δεσπότῃ παρίστασαι.

Θεοτοκίον.

Σεσαρκωμένον τῷ Πατρὶ συναΐαρχον, καὶ συναΐδιον, μονογενῆ Λόγον, ὑπὲρ νοῦν γεγέννηκας, εὐλογημένη Παναγνε. Θεοτόκον διόσε, ὀρθὰ φρονοῦντες κηρύττομεν, καὶ πανευσεβῶς σε δοξάζομεν.

Ὠδὴ, γ'. Ὁ στερεώσας κατ' ἀρχάς.

Ὥσπερ ἀνάλγητος πυρὸς, τὴν φλόγα τὴν δριμυτάτην, καρτερώτατα παμμάκαρ ὑπέστης, εὐσεβείας προφανῶς, τῷ ζήλῳ πυρπολούμενος, καὶ τῷ πυρὶ τῷ Θείῳ, πεπυρσευμένος τῆς πίστεως.

Νεανικῶς ὑπὲρ Χριστοῦ, παμμάκαρ ἠγωνισμένος, οὐρανίους δωρεὰς ἐκομίσω, καὶ στεφάνους παρ' αὐτοῦ, τοὺς ἀεὶ διαμένοντας, στεφανηφόρος ὤφθης, Πλάτων Θεόφρων μακάριε.

Ἐπὶ τοῦ ξύλου σοῦ ταθὲν, τὸ καρτερώτατον σῶμα, κατεξαίνετο δεινῶς ταῖς αἰκίαις. ἀλλ' ἀντείχετο ψυχῆς, ὁ τόνος δυναμούμενος, τῷ τοῦ Δεσπότου φίλτρῳ, καὶ βασιλείας τῷ ἔρωτι.

Θεοτοκίον.

Πύλη φωτὸς φωτιστικαῖς, τοῦ πνεύματος δαδουχίαις, λαμπρυνθεῖσα Θεοτόκε ὑπάρχεις. διὰ σοῦ γὰρ πρὸς ἡμᾶς, ὁ Λόγος κατεληλύθε, καταφωτίζων πάντας, θείῳ φωτὶ τοὺς ὑμνοῦντάσσε.

Ὁ Εἱρμός.

Ὁ στερεώσας κατ' ἀρχὰς, τοὺς Οὐρανούς.

κα. ἦχος, π. δ'. Τὴν σοφίαν καὶ Λόγον.

Μῶν ἀγώνων τῷ πλάτει Μάρτυς σοφὲ, πλατυνόμενος πίστει πανευκλεῶς, ἐχθροῦ ἀπεστένωσας, μηχανὰς καὶ ἠφανίσας. καὶ καλῶς τελέσας, τὸν δρόμον τὸν ἔνθεον, Παραδείσου πλάτος, γηθόμενος ἔφθασας. ὅθεν Ἐκκλησία, πλατυσμῷ εὐσεβείας, ἀστράπτουσα σήμερον, ἑορτάζει τὴν μνήμην σου, καὶ βοᾷ σοι μακάριε· πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι.

Δόξα, ἦχος, α'. Τὸν τάφον σου Σωτήρ.

Ὡραῖος πεφυκὼς, νεανίας παμμάκαρ, ἐχθρὸν τὸν παλαιὸν, πτερνιστὴν ἐτροπώσω, τοῖς πόνοις τοῦ σώματος, καὶ τῷ

θείνει

θεμεν τῆς χάριτος. ὅθεν ἅπασα, ἡ Ἐκκλησία συμφώνως, Πλάτων ἔνδοξε, ἐπιτελεῖ σου τὴν μνήμην, Χριστὸν μεγαλύνουσα.

Θεοτοκίον. Ὅμοιον.

Κυβέρνησον Ἁγνὴ, τὴν ἀθλίαν ψυχήν μου, καὶ οἴκτειρον αὐτὴν, ὑπὸ πλήθους πταισμάτων, εἰς βυθὸν ὀλισθαίνουσαν, ἀπωλείας Παράμωμε. καὶ ἐν ὥρᾳ με, τῇ φοβερᾷ τοῦ θανάτου, ἐλευθέρωσον, κατηγορούντων Δαιμόνων, φρικτῆς ἀποφάσεως.

Σταυροθεοτοκίον. Ὅμοιον.

Ὦ θαύματος φρικτοῦ, ὦ καινοῦ μυστηρίου, ἐβόα ἡ ἁγνὴ, καὶ παράμωμος Κόρη, ἐν ξύλῳ ὡς ἔβλεψεν, ἁπλωθέντα τὸν Κύριον· ὁ τὰ σύμπαντα, ἐν τῇ δρακὶ περιφέρων, ὡς κατάκριτος, ὑπὸ κριτῶν παρανόμων, Σταυρῷ κατακρίνεται.

Ὠδὴ, δ'. Σύμου ἰσχὺς, Κύριε.

Ἀνακραθεὶς, ὅλος ἀγάπη τοῦ κτίσαντος, οὐκ ἠσθάνου, πόνων τῶν τοῦ σώματος, τὴν ἐμπαθῆ, σάρκα καὶ θνητὴν, καὶ τοὺς δερματίνους, χιτῶνας ἀποδυσάμενος, καὶ τὸ τῆς σωφροσύνης, καὶ τὸ τοῦ σωτηρίου, ἐνδυσάμενος Πλάτων ἱμάτιον.

Ἱερουργὸς, θεῖος ἐδείχθης ὡς ἄμωμον, ἱερεῖον, ἄρσεντε καὶ τέλειον, ὁλοκαυτῶν, Μάρτυς σεαυτὸν, τῷ ὑπὲρ τῆς πάντων, τυθέντι ἀπολυτρώσεως. ψυχὴν γὰρ πυρακτώσας, τοῦ Δεσπότου τῷ φίλτρῳ, φλεγομένης σαρκὸς κατεφρόνησας.

Νέους τοὺς τρεῖς, ἐν Βαβυλῶνι μιμούμενος, τὸ παμφάγον, πῦρ οὐκ ἐδειλίασας, ἀλλὰ στερρῶς καὶ νεανικῶς, τούτου ἐκαρτέρεις, τὴν φλόγα τὴν ἀκατάστατον. διόσε δροσοβόλος, σὺν ἐκείνοις ἀξίως, ὑπεδέξατο θάλαμος ἔνδοξε. θ'.

Ὡς ἐκ φυλῆς, τῆς Βασιλίδος ὑπάρχουσα, τὸν τῶν ὅλων, κατεξουσιάζοντα, Λόγον Θεοῦ, τέτοκας ἡμῖν, σάρκα γεγονότα, καὶ μείναντα ἀναλλοίωτον. διόσε Θεοτόκον, ἀληθῶς καὶ κυρίως, Παναγία Παρθένε δοξάζομεν.

Ὠδὴ, ε'. Ἵνα τί με ἀπώσω.

Νυσταγμὸν σοῖς βλεφάροις, ὕπνον δὲ τοῖς ὄμμασι Μάρτυς οὐκ ἔδωκας, ἕως οὗ τὸν ὕπνον, τὸν μακάριον καὶ ὀφειλόμενον, τοῖς Θεὸν ποθοῦσιν, ἀγαπητοῖς ὕπνωσας Πλάτων, διὰ ξίφους τὴν κάραν τεμνόμενος.

Ὥσπερ ἐν ἀλλοτρίῳ, σώματι παναύφημε πάσχων ἠγώνισαι, ὡς ἀθλούντων ἄλλων, θεατὴς σὺ γενόμενος ἤθλησας. τῷ γὰρ θείῳ πόθῳ, πυρποληθεὶς τῶν προκειμένων, αἰκισμῶν οὐκ ἐφρόντισας ἔνδοξε.

Πλοῦτον εὗρες καὶ δόξαν, πλοῦτον ἀναφαίρετον, δόξαν ἀμάραντον, ἐν ἐπουρανίοις, σὺν Ἀγγέλοις χορεύων σκηνώμασι, καὶ τῆς ἀκηράτου, καὶ διαρκοῦς ἀθανασίας, γεγονὼς ἐν μεθέξει παράριστε.

Θεοτοκίον.

Λύσιν ἁμαρτημάτων, ταῖς σαῖς ἱκεσίαις παράσχου τοῖς δούλοις σου, ῥυομένη τούτους, πειρασμῶν καὶ κινδύνων καὶ θλίψεων, καὶ τῆς τῶν βλασφήμων, αἱρετικῶν ἐπικρατείας, Θεοτόκε Παρθένε πανύμνητε.

Ὠδὴ, ϛ'. Ἱλάσθητί μοι Σωτήρ.

Ἀνώτερος τῶν παθῶν, καὶ τῶν βασάνων γενόμενος, τὰς τῆς σαρκὸς ἐκτομὰς, ὑπέφερες ἔνδοξε. Χριστὸν γὰρ συλλήπτορα, συνεργόντε εἶχες, καὶ συναντιλαμβανόμενον.

Τῷ τῆς ψυχῆς νοερῷ, τῇ εὐπρεπείᾳ τοῦ κτίσαντος, ἐνατενίζων ἀεὶ, καὶ κατοπτριζόμενος, τὸ κάλλος τὸ ἄρρητον, τῆς τῶν ὁρωμένων, εὐτελείας κατεφρόνησας.

Θεοτοκίον.

Ὡς ἔμψυχος κιβωτὸς, τὸν Νομοδότην ἐχώρησας. ὡς ἅγιος δὲ Ναὸς, ἐδέξω τὸν ἅγιον, γενόμενον ἄνθρωπον, ἐπ' εὐεργεσίᾳ, τῶν ἀνθρώπων Ἀειπάρθενε.

Ὁ Εἱρμός.

Ἱλάσθητί μοι Σωτήρ. πολλαὶ γάρ.

Κοντάκιον τοῦ Ἁγίου Ῥωμανοῦ. ἦχος, δ'.

Ἐπεφανὴς σήμερον.

Ὡς ἀστέρα μέγιστον ἡ Ἐκκλησία, Ῥωμανὲ παναύφημε, σὲ κεκτημένη ἀληθῶς, φωταγωγεῖται τοῖς ἄθλοις σου, τὴν φωτοφόρον δοξάζουσα μνήμην σου.

Εἶτε-

Ἕτερον τοῦ Ἁγίου Πλάτωνος. ἦχος, γ'

Ἡ Παρθένος σήμερον.

Ἡ Ἁγία μνήμησου, τὴν οἰκουμένην εὐφραίνει, συγκαλοῦσα ἅπαντας, ἐν τῷ πανσέπτῳ Ναῷ σου. ἔνθα νῦν μετ' εὐφροσύνης συναθροισθέντες, μέλπομεν ἐν ὑμνῳδίαις καὶ φωταυγίαις. Διὰ τοῦτο Πλάτων βοῶμεν· βαρβάρων ῥῦσαι τὴν Πόλιν σου Ἅγιε.

Ὁ Οἶκος.

Πῶν Ἑλλήνων λιπὼν, ἅπασαν τὴν ματαιότητα, τῶν Χριστοῦ Μαθητῶν, τὰ ψυχωφελῆ διδάγματα ἠγάπησε λίαν Πλάτων ὁ Θεόφρων. Διὸ καὶ ὤφθη πᾶσιν αἰδέσιμος, ὡς ἄγκυρα πίστεως ἐν τῇ Πατρίδι, ἧς καὶ ἡ κλῆσις σαφῶς, Ἄγκυρα ἐπονομάζεται. Καλῶς γὰρ τοῦτον ἐκθρεψαμένη, βεβαίαν σκέπην κατ' ἐχθρῶν, καὶ ἀντιλήπτορα θερμὸν, ἐν πολέμοις εὑρίσκει καθ' ἑκάστην, ἐκβοῶσα· Βαρβάρων ῥῦσαι τὴν Πόλιν σου Ἅγιε.

Τῷ αὐτῷ Μηνὶ, ΙΗ'. Μνήμη τοῦ Ἁγίου Μεγαλομάρτυρος Πλάτωνος.

Στίχ. Μικροῦ λαθὼν παρῆλθεν ἡμᾶς ὁ λάτων·

Πλάτων ἐκεῖνος, ὃν πλατὺ κτείνει ξίφος.

Ὀγδοάτῃ δεκάτῃ τε Πλάτωνα ἄορ κατέπεφνε.

Οὗτος ἐκ χώρας τῶν Γαλατῶν, Ἀγκύρας τῆς Πόλεως, ἀδελφὸς τοῦ Ἁγίου Μάρτυρος Ἀντιόχου. Διὰ δὲ τὴν εἰς Χριστὸν ὁμολογίαν, προσήχθη Ἀγρυππίνῳ τῷ Ἡγεμόνι, νέος ὢν τὴν ἡλικίαν. Καὶ τύπτεται ὑπὸ δώδεκα στρατιωτῶν. καὶ ἁπλοῦται ἐπὶ κραββάτου χαλκοῦ πυρωθέντος, ῥαβδιζόμενος ἄνωθεν. καὶ σφαίραις πεπυρωμέναις, τὰς μασχάλας καὶ τὰς πλευρὰς διακαίεται. καὶ ἀπὸ τοῦ νώτου ἐν σχήματι λώρου, τὴν δορὰν ἀφαιρεῖται. καὶ τὰς σάρκας ξέεται, καὶ τὰς πλευρὰς ἐπὶ τοσοῦτον, ὡς ἀλλοιωθῆναι τὴν ὄψιν, καὶ τότε τὴν διὰ ξίφους δέχεται τελευτήν.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ Ἁγίου Μάρτυρος Ῥωμανοῦ.

Στίχ. Τὸ καρτερόφρον Ῥωμανοῦ πᾶς θαυμάσει.

Σὺν χαρμονῇ γὰρ πνιγμονὴν ἐκαρτέρει.

Οὗτος ἦν ἐπὶ Μαξιμιανοῦ βασιλέως. καὶ διὰ τὴν ὑπὲρ Χριστοῦ ἀγάπην, εἰσελθεῖν βουλόμενον τὸν Ἔπαρχον Ἀσκληπιάδην εἰς τὸν τῶν εἰδώλων ναὸν, κατέσχεν. οὐκ εἰσὶ, λέγων, τὰ εἴδωλα θεοί. Τυπτεται οὖν τὸ στόμα, καὶ ἀναρτηθεὶς ξέεται τὰς παρειάς. Ἠνέχθη δὲ καὶ Παιδίον, τοῦτο τοῦ Ἁγίου αἰτησαμένου εἰς ἔλεγχον τοῦ Ἐπάρχου. Καὶ ἐρωτηθὲν, ποῖον δεῖ σέβειν Θεόν; τὸν τῶν Χριστιανῶν, εἶπε. Τυπτόμενον δὲ τὸ παιδίον, παρεστώσης ἐκεῖσε καὶ τῆς μητρὸς αὐτοῦ, ἐδίψησε καὶ ἐζήτησεν ὕδωρ. Ἡ δὲ μήτηρ αὐτοῦ, εὐσεβὴς καὶ θεοφιλὴς οὖσα, ἔφη αὐτῷ· μὴ πίῃς τέκνον ἐκ τοῦ ὕδατος τούτου, ἀλλὰ ἄπελθε καὶ πίε ἐκ τοῦ ζῶντος ὕδατος. Καὶ διὰ τὸ ἐλέγχειν τὸν Τύραννον, τυφθὲν αὖθις, τὴν κεφαλὴν ἀφαιρεῖται. Ὁ δὲ Ἅγιος Ῥωμανὸς, τὴν γλῶτταν τέμνεται, καὶ μετὰ τὴν ἐκτομὴν φθέγγεται παραδόξως, εὐχαριστῶν τῷ Θεῷ. Διαγνωσθέντος οὖν τοῦ κατὰ τὸν Ἅγιον παραδόξου θαύματος, καὶ τῷ βασιλεῖ Μαξιμιανῷ, προστάξει αὐτοῦ διὰ πνιγμονῆς ἐν τῇ εἱρκτῇ τῆς προσκαίρου ζωῆς ἀπολύεται, καὶ τὸν στέφανον τοῦ Μαρτυρίου κομίζεται.

Τῇ αὐτῇ ἡμέρᾳ, Τὸ Ἅγιον Νήπιον, ἐρωτηθὲν παρὰ τοῦ Ἐπάρχου, ποῖον δεῖ σέβειν Θεόν; καὶ εἰπὸν, τὸν Χριστὸν, ξίφει τελειοῦται.

Στίχ. Κόλπους Ἀβραὰμ, Νήπιον λαχὸν ξίφει,

Τοῖς Βηθλεὲμ συνέδρον ὤφθη Νηπίοις.

Τῇ αὐτῇ ἡμέρᾳ, Τοῦ Ἁγίου Μάρτυρος Ῥωμανοῦ Διακόνου, τοῦ Παλαιστινοῦ.

Οὗτος ἐκ Παλαιστίνης ἕλκων τὸ γένος, καὶ τῆς ἐν Καισαρείᾳ παροικίας ὢν Διάκονος καὶ Ἀφορκιστὴς, ἤθλησεν ἐπὶ Διοκλητιανοῦ ἐν πόλει Ἀντιοχείᾳ. Οὗτος πολλοὺς τῶν κολάσεων τὸ ἐπίπονον δεδοικότας, καὶ καταμαλακιζομένους πρὸς τὴν ὁμολογίαν, ἐπήλειφε πρὸς τοὺς ἀγῶνας. Διὸ καὶ

αὐτό-

αὐτόκλητος τῷ δικαστῇ παρέστη, καὶ αὐτίκα πυρὶ καταδικάζεται. Ὅπερ γνοὺς ὁ βασιλεὺς Διοκλητιανὸς, τοῦ μὲν πυρὸς ἀπήγαγε, τὴν γλῶτταν δὲ αὐτοῦ ἐκτμηθῆναι κελεύει. Ἀλλ' ὁ Μάρτυς τὴν γλῶτταν ἀφαιρεθεὶς, γεγονώτερον ἐλάλει, καὶ παῤῥησίᾳ τὸν Χριστὸν ἐκήρυττε. Καὶ μετὰ ταῦτα εἱρκτῇ βάλλεται, καὶ ἐν πέντε κεντήμασι τοὺς πόδας διατείνεται, καὶ βρόχῳ περιβληθεὶς, ἀναιρεῖται ἀποπνιγείς.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ Ἁγίου Μάρτυρος Ζακχαίου Διακόνου, τῆς ἐν Γαδείροις Ἐκκλησίας, καὶ Ἀλφαίου.

Στίχ. Ζακχαῖος ἐκχεῖ πλοῦτον ὁ πρὶν ἡμίσου,
Ὁ νῦν δὲ Σωτὴρ, αἷμα χεῖ παῦ ἐκ ξίφους.
Ἀλφαῖε καρτέρησον, εἰ τέμνῃ κάραν.
Καὶ κλοιὸν ἕξεις τὴν ἄτμητον Τριάδα.

Ἄγεται ὁ Ζακχαῖος οὗτος ἐπὶ τοῦ βήματος, σιδηροῦν καὶ βαρὺν κλοιὸν φέρων ἐπὶ τοῦ τραχήλου. Καὶ ἐρωτηθεὶς, δειναῖς καὶ ἀπανθρώποις ὑποβάλλεται τιμωρίαις. καὶ δεσμοῖς ληφθεὶς κατὰ τὸ δεσμωτήριον, ταῖς κατὰ διάστημα τέσσαρσιν ὑποδιηρημέναις ὀπαῖς τοῦ ξύλου ἐμβάλλεται. Καὶ νυχθημέροις τέσσαρσι κατατεινόμενος, γενναίως ἐκαρτέρει. Μετὰ τοῦτον ὁ Ἀλφαῖος πλήρης Πνεύματος Ἁγίου προσάγεται. Καὶ μάστιξιν ἅπαν τὸ σῶμα καταξανθεὶς, καὶ τὰς πλευρὰς κατακαεὶς, τῷ συναγωνιστῇ τὰ ὅμοια πεισόμενος, τῇ εἱρκτῇ κατακλείεται. Καὶ τῷ κολαστηρίῳ ξύλῳ καὶ αὐτὸς νυχθήμερον τανυθεὶς, τῇ ἕωθεν τὴν διὰ ξίφους δέχεται τελευτὴν, ὁμοίως καὶ ὁ Ζακχαῖος.

Ταῖς αὐτῶν ἁγίαις πρεσβείαις, ὁ Θεός.

Ὠδὴ, ζ'. Θεοῦ συγκατάβασιν.

Νομίμως ἀθλήσαντα, καὶ τοὺς ἐχθρούς σου καταπατήσαντα, τῷ τῆς νίκης στεφάνῳ, ὁ ἀθλοθέτης σὲ ἐστεφάνωσε, μεγαλοφώνως βοῶντα καὶ λέγοντα. εὐλογητὸς ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

Μετέστης γηθόμενος, πρὸς τὸν ἀεί σοι πάλαι ποθούμενον, οὗ τὸ ἄχραντον πάθος, τὸ σωτηρίας ἀνθρώποις αἴτιον, γεγενημένον μιμούμενος ἔψαλλες. εὐλογητὸς ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

Ἐξέστησαν ἅπασαι, τὴν καρτερίαν τῆς σῆς ἀθλήσεως, οὐρανῶν αἱ Δυνάμεις, καὶ τῶν ἀνθρώπων οἱ τότε βλέποντες. ὑπερφυῶς γὰρ ἐβόας τεμνόμενος· εὐλογητὸς ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

Θεοτοκίον.

Αὐτρούμενοι Παράγνε, τῷ θείῳ τόκῳ τῆς Παρθενίας σου, τῶν δεσμῶν τοῦ θανάτου, καὶ τῆς κατάρας τοῦ πρωτοπλάστου Ἀδὰμ, σὲ Θεοτόκον φρονοῦντες κραυγάζομεν· εὐλογητὸς ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

Ὠδὴ, η'. Ἑπταπλασίως κάμινον.

Περιφανεῖς ἀγῶνας μὲν, ἠγωνίσω πανεύφημε, περιφανεστέραν δὲ πολλῷ τὴν εὔκλειαν, Χριστός σοι δεδώρηται, καὶ δι' αἰῶνος μένουσαν, ἐν ἐπουρανίοις, σὲ σκηναῖς κατοικήσας, προθύμως μελῳδούντα· Ἱερεῖς εὐλογεῖτε, λαὸς ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Ὡς πρεσβευτὴν πιστότατον, ὡς προστάτην θερμότατον, τῷ Παμβασιλεῖ καὶ ποιητῇ τῆς κτίσεως, σὲ νῦν προβαλλόμεθα. ὑπὲρ ἡμῶν δυσώπησον, τῇ μαρτυρικῇ σου, παῤῥησίᾳ πρεσβεύων, ὑπὲρ τῶν σὲ ὑμνούντων, καὶ πιστῶς μελῳδούντων· λαὸς ὑπερυψοῦτε, Χριστὸν εἰς τοὺς αἰῶνας.

Παραλαβεῖν ἠξίωσαι, βασιλείαν ἀσάλευτον, διὰ τῆς οἰκείας ἐνεργοῦς σου πίστεως, ὡς σοὶ ἐπηγγείλατο, ὁ ἀψευδὴς διδόναι Θεός. ὑπὲρ οὗ τὸ σῶμα, καὶ πυρὶ καὶ βασάνοις, παρέδωκας κραυγάζων· Ἱερεῖς εὐλογεῖτε, λαὸς ὑπερυψοῦτε, Χριστὸν εἰς τοὺς αἰῶνας.

Θεοτοκίον.

Λόγον Θεοῦ τὸν ἄναρχον, καὶ Πατρὶ συννοούμενον, τὸν ἐκ τοῦ μὴ ὄντος Πατρικῷ βουλήματι, τὸ παῦ συστησάμενον, θεοπρεπῶς γεγέννηκας, σάρκα γεγονότα, δι' ἡμᾶς τοὺς ἀνθρώπους. διόσε Θεοτόκον, ὀρθοδόξως φρονοῦντες, Χριστὸν ὑπερυψοῦμεν, εἰς πάντας τοὺς αἰῶνας.

Ὁ Εἱρμός. Ἑπταπλασίως κάμινον.

Ὠδὴ,

Ω'δὴ, ϛ'. Ἐφριξε πᾶσα ἀκοή.

Ἄγε δὴ τὸν Θεοφεφῆ, φιλομάρτυρες ὑμνήσωμεν Μάρτυρα, τὸν ξξαπλώσαντα, τῆς ἀσεβείας αὐτῆ τὰ κλήματα. τῆς γὰρ ἀμπέλε τῆς ζωῆς, φυτεία γεμόμενος, καρπὸν προβάλλεται, καταψύξεως ἡμῖν οἶμον βρύοντα.

Πίμιος εμαυτι Θεῦ, τῷ Μαρτύρων καθορᾶται ὁ θαύματος. τῆς αἰδίε γὰρ, ἐ αἰωλέθρου γέγονε πρόξεμος, παναληθέςατα ζωῆς, ἐ κλῆρον ἀθάνατον, καὶ δόξαν ἄφθαρτον, ἐ πλεσίαν χορηγεῖ τὴν αὐτίδοσιν.

Ὅλωσα Μάρτυς τὸν ζωὸν, τῷ Δεσπότῃ ἐ Θεῷ ἀφιέρωσας, καὶ ὡς ἀάρεσον, ζῶσαν θυσίαν σαυτὸν προσήγαγες. διὸ τρυφῆς τῆς ὑπὲρ μῦν, Πλάτων κατηξίωσαι. ἀλλὰ δυσώπησον, λυτρωθῆναι πειρασμῶν τὰς ὑμνῦντάς σε.

Θεοτοκίον.

Σωσόμεθα Μῆτερ τῦ Θεῦ, ἡ γεννήσασα Χριςὸν τὸν Σωτῆρά μν, Θεὸν ἐ ἄνθρωπον, διπλῦν τὸν φύσιν ἀ τὸν ὑπόσασιν, μονογενῆ μὲν ἐκ Πατρὸς, ἐκ σοῦ δὲ πρωτότοκον, πάσης τῆς κτίσεως. διὸ πάντες σε ἀεὶ μεγαλῶμεν.

Ὁ Εἱρμός.

Ἐφριξε πᾶσα ἀκοὴ, τὸν ἀπόῤῥητον.

Ἐξαποσειλ. Γυναῖκες ἀκτιάθητε.

Ὁρῶν σε τὸ ἀήττητον, Μεγαλομάρτυς ἔνδοξε, ὁ Τύραννος πρὸς πλείονα, βασάνων πεῖραν ἐχώρει. ὃν καταπτύσας χάριτι, Χριςῦ ὑπερμήθησας, μέλλει θανάτε παύσαφε. διὸ ἐ μνῶ σεφηφόρος, συμβασιλεύεις τῷ Κτίςῃ.

Θεοτοκίον. Ὅμοιον.

Μαρία καθαρώτατον, χρυσῦν θυμιατήριον, τῆς ἀχωρήτε Τριάδος, δοχεῖον γεγαμημένη. ὃν ἐ Πατὴρ ἠυδόκησεν, ὁ δὲ Υἱὸς ἐσκίωσε, ἐ Πνεῦμα τὸ Παράγιον, ἐπισκιάσαν σοι Κόρη, ἀνέδειξε Θεοτόκον. Σταυροθ. Ὅμοιον.

Μαριγαμένη Παράγνε, ὃν τῷ Σταυρῷ ἐ βλέπησα, τὸν σὸν Υἱὸν ἐπὶ ξύλε, παθόντα ἄπρεπν θρηνῦσα, ἐ μητρικῶς ὠλόλαζες, δακρύσα ἐ λέγσα· τί τῦτο τὸ παράδοξον, ὅτι ὁ Κτίςης τῦ Κόσμου, Σταυρῷ παθῶαι ἠθέλησε;

Ἡ λοιπὴ Ἀκολυθία τῦ Ὀρθρε, καὶ Ἀπόλυσις.

Εἰς τὴν Λειτργίαν τὰ Τυπικὰ, καὶ ἐκ τῦ Καμόνος, ᾠδὴ γ'. ἐ ϛ'. ἐ τὰ λοιπά.

Ζητει εἰς Μαρτυρας.

Τῷ αὐτῷ Μηνὶ, ΙΘ'.

Τῦ Ἁγίε Προφήτε Ἀβδιὰ, ἐ τῦ Ἁγίε Μάρτυρος Βαρλαὰμ.

Ἑωθεράς εἰς τὸ, Κύριε ἐκέκραξα, ἱχῶ. μεν ἅ. ϛ'. ἐ ψάλλομεν ἅ. προσόμοια, τῦ Προφήτε. ἦχος, δ'.

Παμεύφημοι Μάρτυρες ὑμᾶς.

Λοχεῖον τῦ Πνεύματος λαμπρὸν, Ἀβδιὰ γενόμενος, ἐ παρ' αὐτῦ φωτιζόμενος, θεοειδέςατον, Προφητείας ἐξόπον, ἐ μελλόντων προγνωσην, ἐ γνῶσην ἀληθείας ἐπλύτησας. ἐ μνῶ ἱκετάνε, δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν, τὸν εἰρηνῶν, ἐ τὸ μέγα ἔλεος.

Οἷς χαρακτηρίζεται Θεὸς, πρώτοις ἰδιώμασι, καὶ κατ' ἀάαν γνωρίσμασι, τύτων οἱ ἔνδοξοι, καὶ σεπτοὶ Προφῆται, μετοχῇ ἐ χάριτι, δευτέρως κῦ θέσιν μετέχσι, καταλαμπρύομενος, τῦ Κυρίου τὸς θεράποντας, τὸς οἰκείος, ἰδίᾳ λαμπρότητι.

Δύτε πληρόμενος φωτὸς, καὶ δόξε Θεόμενος, τὸν ὑπὲρ μῦν ἐ διαάσαν, καὶ παριστάμενος, τῷ Δεσπότῃ πάντων, Ἀβδιὰ μακάριε, καὶ θεῖος ὑποφήτης γενόμενος, ἀντὸν ἱκέτανε, δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν, τὸν εἰρηνῶν, ἐ τὸ μέγα ἔλεος.

Ἕτερα ἅ. τῦ Ἁγίε Βαρλαὰμ, ἦχος, δ'.

Ὡς γενναῖον ἐν Μάρτυσιν.

Χαλκοῦ ἀάντος σερρότερος, ἐ χαλκῦ δυνατώτερος, ἐ σιδήρε γέγονας ἰσχυρότερος. παραχωρεῖ γὰρ τηκόμενον, καὶ θάνατον λυόμενον, τύτων ἕκαστον πυρὶ, βία τέτε νικώμενον. σὺ δὲ ἄκαμπτος, δε-

ξιὰ τεταμένη τῶν ἀνθράκων, φλεγομένων παραδόξως, περιεγένετο πάνσοφε.

Ἱερεὺς ὥσπερ πέφηνας, καὶ Θεῷ παριστάμενος, καὶ αὐτῷ μακάριε προσερχόμενος, οὐκ ἀλλοτρίῳ ἐν αἵματι, οἰκείῳ δὲ μάλιστα, καὶ χειρὶ μαρτυρικῇ, εὐωδίας θυμίαμα προσενήνοχας, οὐ δαιμόνων ἀπάταις τῷ Χριστῷ δὲ, τῷ Σωτῆρι καὶ Δεσπότῃ καὶ εἰσαεὶ βασιλεύοντι.

Ἱερέα προσάγοντα, καὶ ἀμνὸν προσαγόμενον, τὸν αὐτὸν ἀμφότερα σὲ πανεύφημε, περιχαρῶς ὀνομάζομεν, ὡς ὄντα ἑκάτερα. σεαυτὸν γὰρ τῷ Θεῷ, ὡς πανάμωμον σφάγιον, ὡλοκάυτωσας, τῷ πυρὶ τῶν βασάνων. ὃν δυσώπει, τοῦ σωθῆναι τοὺς τιμῶντας, τὴν παναοίδιμον μνήμην σου.

Δόξα, καὶ νῦν. θτ. Ὅμοιον.

Φωτοφόρον παλάτιον, τοῦ Δεσπότου ὑπάρχουσα, καὶ φωτὸς Νεφέλη Θεοχαρίτωτε, τοῦ ἐκ τῆς σῆς ἀνατείλαντος, νηδύος πανάμωμε, φωταγώγησον ἡμῶν, καὶ ψυχὴν καὶ διάνοιαν, καὶ τὰ σκάνδαλα, ἀφανίσασα πάντα τοῦ δολίου, τῇ πρεσβείᾳ σου Παρθένε, τὸν λογισμὸν ἡμῶν στήριξον.

Σταυροθεοτοκίον. Ὅμοιον.

Ὡς ἑώρακε Κύριε, ἡ Παρθένος καὶ Μήτηρ σου, ἐν Σταυρῷ κρεμάμενον ὀξεπλήττετο, καὶ ἀνακράζουσα ἔλεγε· τί σοι ἀνταπέδωκαν, οἱ πολλῶν σου δωρεῶν, ἀπολαύσαντες Δέσποτα; ἀλλὰ δέομαι, μήμε μόνην ἐάσῃς ἐν τῷ Κόσμῳ, ἀλλὰ σπεῦσον ἀναστῆναι, συναναστῶν τοὺς Προπάτορας.

Εἰς τὸν Ὄρθρον, Οἱ Κανόνες, τῆς Ὀκτωήχου, καὶ τῶν Ἁγίων. Ὁ Κανὼν τοῦ Προφήτου. Οὗ ἡ ἀκροστιχίς.

Τὸ τοῦ βλέποντος Ἀβδιοὺ μέλπω κλέος.

Θεοφάνους. Ὠδὴ, α. ἦχος, π. α.

Τῷ σωτῆρι Θεῷ, τῷ ἐν θαλάσσῃ Λαόν.

Τῷ σωτῆρι Θεῷ, προφητικῇ παρεστὼς, νῦν παρρησίᾳ καθικέτευε, φωτιστικαῖς μαρμαρυγαῖς, καταλαμπρύνεσθαι, Ἀβδιοὺ τοὺς πίστεισε, καταγεραίροντας.

Ὁ τὰ πάντα σαφῶς, προγνωστικῶς θεωρῶν, τῆς σῆς καρδίας τὸ ἀθόλωτον, καὶ καθαρὸν καὶ φωταυγὲς, μάκαρ θεώμενος, Προφήτην θεόληπτον, σὲ προχειρίζεται.

Πᾶς ὁράσεις ἰδὼν, τὰς ἀληθῶς ἐκ Θεοῦ, σοὶ δεικνυμένας προηγόρευσας, τῶν δυσσεβούντων ἀδελφῶν, πανολεθρίαν δεινὴν, καὶ τούτων τὴν ἔνδικον, μάκαρ ἀπώλειαν. Θεοτοκίον.

Οἱ σωθέντες τῷ σῷ, Θεογεννήτωρ ἁγνὴ, ἀσπόρῳ τόκῳ δυσωπούμενσε· τῆς κοσμικῆς περιφορᾶς, ἡμᾶς διάσωσον, συμφώνως κραυγάζοντας ὕμνον ἐπινίκιον.

Ἕτερος Κανὼν τοῦ Ἁγίου Βαρλαάμ.

Οὗ ἡ ἀκροστιχίς.

Τοὺς καρτερούς σου Βαρλαὰμ μέλπω τόνους.

Θεοφάνους. Ὠδὴ, α. ἦχος, δ'.

Ἄσομαί σοι Κύριε ὁ Θεός μου.

Παῖς τῆς σῆς ἀθλήσεως λαμπηδόσι, περιλαμπόμενος ἡμᾶς, τοὺς πίστει τιμῶντας, τὴν μνήμην σου περίζωσαι, Βαρλαὰμ ταῖς πρεσβείαις σου.

Ὁ τὸ πῦρ μαράνας τῆς ἀσεβείας, θεοσεβείας ἀκριβῶς, πυρὶ Θεοπνεύστῳ, τὴν μάσθω μελῳδήμασι, Βαρλαὰμ, ὁ θαυμάσιος.

Ὑπὲρ τῆς εὐσεβείας ἠγωνισμένος, στεφανηφόρος Βαρλαὰμ, στεφάνῳ τῆς δόξης νῦν, ἀξίως τετίμησαι, δεξιᾷ παντοκράτορι.

Θεόνος σοι δεδώρηται ὁ Δεσπότης, κατὰ ποικίλων αἰκισμῶν, πανόλβιε Μάρτυς. εὐτεῦθεν καὶ νενίκηκας, τῶν ἀθέων τὸ φρύαγμα. Θεοτοκίον.

Κλίμαξ ἐδείχθης οὐρανομήκης, δι' ἧς ὡμίλησεν ἡμῖν, ὁ Λόγος Παρθένε, ἣν πάλαι προεώρακεν, Γακὼβ ὁ Προπάτωρ σου.

Ὠδὴ, γ'.

Δυνάμει τοῦ Σταυροῦ σου Χριστέ.

Ὑδάτων μυστικῶν ποταμὸς, ἐκ τῆς ἀβύσσου προερχόμενος, τῶν χαρισμάτων τοῦ Πνεύματος, Ἀβδιοὺ μάκαρ γεγένησαι.

Βουλήσει καὶ προνοίᾳ Θεοῦ, προαγορεύειν τὰ ἐσόμενα, καὶ προαγγέλλειν τὰ μέλλοντα, προεβλήθης ἀξιάγαστε.

Λαμ-

Ἀμπόμενος τῷ θείῳ φωτὶ, καὶ οὐρανίῳ προηγόρευσας, τὴν ἐσομένην τοῖς ἔθνεσι, σωτηρίαν παναοίδιμε. Θτ.

Ἐσκήνωσεν ὁ Λόγος ἐν σοὶ, Παρθενομήτωρ. διασῴζει δὲ, τοὺς Θεοτόκον φρονοῦντάς σε, μεσιτείᾳ σου πανάμωμε.

Ἄλλος. Τόξον δυνατῶν ἠσθένησε.

Ἅπας τῆς σαρκὸς ὁ σύνδεσμος, καὶ ἡ ἁρμονία, σοῦ τῶν μελῶν διελύετο. ἀλλ' ὁ τόνος διετηρεῖτο, τῆς ψυχῆς σου ἀδιάρρηκτος.

Ῥύμην τοῦ θανάτου ἔστησας, τῶν διορυττόντων, σοῦ τὰς πλευρὰς παναοίδιμε, καρτερίαν καιριωτάτην, σταθερῶς ἐπιδειξάμενος.

Ψίσου τὸ στερρὸν καὶ εὔτονον, καὶ τῆς διανοίας, τὸ ἀκατάπληκτον φρόνημα, τοῖς ἐπαίνοις ἐγκωμιάσαι, κατ' ἀξίαν παμμακάριστε; Θεοτοκίον.

Ἔστη τῆς φθορᾶς ὁ θάνατος, τῆς ἐνυποστάτου, διὰ σαρκὸς ζωῆς Πάναγνε, τοῖς ἀνθρώποις φανερωθείσης, ἐκ γαστρός σου Θεονύμφευτε. Ὁ Εἱρμός.

Τόξον δυνατῶν ἠσθένησε, καὶ οἱ ἀσθενοῦντες.

Κάθισμα τοῦ Προφήτου. ἦχος, α'.

Τὸν τάφον σου Σωτήρ.

Ὁ μέγας Ἀβδιοὺ, ἐπιλάμψεσι θείαις, τὸν νοῦν φωτοειδῆ, κεκτημένος θεσπίζει, τὰ μέλλοντα Πνεύματι, τῷ Ἁγίῳ φθεγγόμενος. τοῦτον σήμερον, εὐσεβοφρόνως τιμῶντες, ἐκτελέσωμεν, τὴν ἱεραὶ αὐτοῦ μνήμην, καρδίας φωτίζουσαν.

Ἕτερον τοῦ Μάρτυρος. ἦχος, δ'.

Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Ὡς στρατιώτης τοῦ Χριστοῦ ἀκατάπληκτος, καὶ τροπαιοῦχος ἀληθὴς καὶ ἀήττητος, τῶν ἀθλητῶν τὸ καύχημα πανένδοξε, στέφος τὸ ἀμάραντον, οὐρανόθεν ἐκτήσω, χαίρων σὺν Ἀγγέλοις τε, καὶ χορεύων ἀπαύστως. ταῖς σαῖς πρεσβείαις σῶζε τοὺς πιστῶς, ἀνευφημοῦντας τὴν θείαν σου ἄθλησιν. Δόξα, καὶ νῦν. Θτ.

Οὐ σιωπήσομεν ποτὲ Θεοτόκε, τὰς δυναστείας σου λαλεῖν οἱ ἀνάξιοι. εἰ μὴ γὰρ σὺ προΐστασο πρεσβεύουσα, τίς ἡμᾶς ἐρρύσατο, ἐκ τοσούτων κινδύνων; τίς δὲ διεφύλαξεν, ἕως νῦν ἐλευθέρους; οὐκ ἀποστῶμεν Δέσποινα ἐκ σοῦ. σοὺς γὰρ δούλους σώζεις ἀεὶ, ἐκ παντοίων δεινῶν.

Σταυροθεοτοκίον. Ὅμοιον.

Τὸν ἐξ ἀνάρχου τοῦ Πατρὸς γεννηθέντα, ἡ ἐπ' ἐσχάτων σε σαρκὶ τετοκυῖα, ἐπὶ Σταυροῦ κρεμάμενον ὁρῶσά σε Χριστὲ, οἴμοι ποθεινότατε, Ἰησοῦ ἀνεβόα, πῶς ὁ δοξαζόμενος, ὡς Θεὸς ὑπ' Ἀγγέλων, ὑπὸ ἀνόμων νῦν βροτῶν Υἱὲ, θέλων σταυροῦσαι; ὑμνῶσε μακρόθυμε.

Ὠδὴ, δ'. Εἰσακήκοα τὴν ἀκοήν.

Προφητείας τὴν χάριν, παθῶν ὡς προκαθάρας τὴν ψυχὴν, διὰ Πνεύματος Ἁγίου εἰληφὼς ἀνεβόησας· δόξα τῇ δυνάμει σου Κύριε.

Ὁ Προφήτης Ἀβδιοὺ, Πνεύματος Ἁγίου ἀστραπῇ, δαδουχούμενος ἐφώτισεν ἡμᾶς τοῦ κραυγάζειν σοι· δόξα τῇ δυνάμει σου Κύριε.

Νυμφοστόλος ἐδείχθης, τῆς Ἐκκλησίας μάκαρ ἐν Σιὼν, προθεσπίσας τὸν Σωτῆρα προελθεῖν, ᾧ κραυγάζομεν· δόξα τῇ δυνάμει σου Κύριε.

Θεοτοκίον.

Τὸν συνάναρχον, καὶ συναΐδιον Λόγον τῷ Πατρὶ, ἀπεγέννησας Ἁγνὴ θεοπρεπῶς, ᾧ κραυγάζομεν· δόξα τῇ δυνάμει σου Κύριε.

Ἄλλος. Τοὺς Οὐρανοὺς ἡ ἀρετή σου.

Ῥητορικὴν ἀδολεσχίαν ἀπωσάμενος, διδαχὰς δὲ Ἀποστόλων προσηκάμενος, τῆς ἀληθείας ἔνδοξε, Μάρτυς ἀληθὴς ἐχρημάτισας.

Ὁ τοῦ πυρὸς εὐτονωτέραν τὴν προαίρεσιν, κεκτημένος, Τυράννων τὴν ἀπόνοιαν, καταβαλὼν ἐκραύγαζες· δόξα τῇ δυνάμει σου Κύριε.

Ὑπὲρ Χριστοῦ μέχρι θανάτου καρτερόψυχε, καὶ πυρὶ καὶ βασάνοις ἀνθιστάμενος, μεγαλοφώνως ἔψαλλες· δόξα τῇ δυνάμει σου Κύριε.

Εὐντονωτάταις προθυμίαις παμμακάριστε, κεχρημένος τὴν πλάνην κατέσβε-

τέσβεσας, καὶ θεοφρόνως ἔψαλλες· δόξα τῇ δυνάμει σου Κύριε.

Θεοτοκίον.

Σωματωθεὶς ἐκ τῆς Παρθένου ὁ ἀσώματος, τοῖς ἀνθρώποις ὡμίλησε. διὸ ἐν πίστει κραυγάζομεν· δόξα τῇ δυνάμει σου Κύριε.

Ὠδὴ, ε'. Ὀρθρίζοντες βοῶμέν σοι Κύριε.

Ὀρθρίσας πρὸς τὸν Κύριον εἴληφας, οὐρανόθεν, τὴν χάριν τοῦ Πνεύματος, τοῦ Παναγίου Θεόπνευστε.

Συλλήπτορα τὸν βίον τὸν ἔνθεον, κεκτημένος, ὁρᾷν κατηξίωσαι, τὸν ἀοράτως νοούμενον.

Ἀνέτειλέ σοι φῶς παμμακάριστε, ὡς Προφήτῃ, καὶ ἡ τούτου σύζυγος, σοὶ εὐφροσύνη δεδώρηται.

Θεοτοκίον.

Βουλήματι τὰ σύμπαντα Παράγνε, ὁ ποιήσας, ἐκ σοῦ πεπλαστούργηται, τὸ καθ' ἡμᾶς ὁ ὑπέρθεος.

Ἄλλος. Ὁ ἀνατείλας τὸ φῶς.

Ὁ ἀναδείξας ἡμῖν, τῶν αὐτοῦ παθημάτων, τὸν Μάρτυρα βοῶντα· δόξα σοι δόξα σοι, Ἰησοῦ Υἱὲ τοῦ Θεοῦ.

Ὑπομονῆς σοι πολλῆς, ὁ μισθὸς καὶ τῆς νίκης, ὁ στέφανος ἐπλάκη. δόξα σοι δόξα σοι, Ἰησοῦ Υἱὲ τοῦ Θεοῦ.

Βέλη ῥημάτων τῶν σῶν, τῶν ἐχθρῶν ἐν καρδίαις, κατέπηξας κραυγάζων· δόξα σοι δόξα σοι, Ἰησοῦ Υἱὲ τοῦ Θεοῦ.

Θεοτοκίον.

Ἅγιον ὄρος Ἁγνὴ, καὶ ὡς σκηνὴν Ὑψίστου, φρονοῦντές σε Παρθένε, δόξα σοι κραυγάζομεν, Θεοτόκε ἡμῶν ἡ ἐλπίς.

Ὠδὴ, ϛ'. Ἐκύκλωσέ με ἄβυσσος.

Δυνάμει Θείου Πνεύματος, ἑώρας Προφῆτα τὰ μέλλοντα, τοὺς τύπους δεχόμενος, τῶν θείων ἐμφάσεων, ὡς ἐν κατόπτρῳ, τῇ τῆς ψυχῆς λαμπρότητι.

Ἐλέωσαι τὸν Κύριον, Προφῆτα παμμάκαρ πρεσβείαις σου, τοῖς πίστει τὴν μνήμην σου, τελοῦσιν αἰτούμενος, τὴν τῶν πταισμάτων, δωρήσασθαι συγχώρησιν.

Ἐλάσθητι τοῖς δούλοις σου, καὶ τούτοις πταισμάτων συγχώρησιν, παράσχου φιλάνθρωπε, ἔχων δυσωποῦντά σε, τὸν σὸν Προφήτην, κόσμῳ σε προαγγείλαντα.

Θεοτοκίον.

Ὁ οὐσιώσας ἅπαντα, τῷ λόγῳ τῆς θείας δυνάμεως, ἀγκάλαις βαστάζεται, ταῖς σαῖς ἀπειρόγαμε· ὃν ἐκδυσώπει, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Ἄλλος. Ἐβόησε, προτυπῶν.

Ῥαπιζέσθω, δεξιᾷ πυρουμένῃ τὰ πρόσωπα, τῶν δαιμόνων, τῶν Πιστῶν δὲ καρδίαι σκιρτάτωσαν, καὶ τῶν Ἀσωμάτων, αἱ χορεῖαι φαιδρῶς εὐφραινέσθωσαν.

Ἀμπρυνέται, τῶν καλῶν σου ἀγώνων τὰ τρόπαια, καὶ τὰς νίκας, καὶ τῶν ἄθλων ὁρῶσα τὰ ἔπαθλα, ἡ τῶν πρωτοτόκων, ἐκλεκτὴ καὶ φωσφόρος ὁμήγυρις.

Ἀνάστητε, οἱ καλοὶ νῦν ζωγράφοι τοῦ Μάρτυρος, τὴν εἰκόνα, ταῖς ὑμῶν εὐτεχνίαις λαμπρύνατε, τὸν ἀγωνοθέτην, ἐν αὐτῇ προφανῶς ἐγχαράττοντες. θ'.

Ἀγάλλεται, ἐπὶ σοὶ Θεομήτορ παράμωμε, ἡ Προμήτωρ, τῆς ἀρχαίας κατάρας τῷ τόκῳ σου, ἐλευθερωθεῖσα, τοῦ θανάτου πικρᾶς κατακρίσεως. Ὁ Εἱρμός. Ἐβόησε, προτυπῶν τὴν ταφήν.

Τῷ αὐτῷ Μηνὶ, ΙΘ'. Μνήμη τοῦ Ἁγίου Προφήτου Ἀβδιοῦ.

δ'. Ἔφησεν ἄντι μέλλον Ἀβδιοῦ πάλιν, Εἰ μὴ τελευτὴν εἶχεν αἰδεῖσθαι τάχα. Ἐννέα καὶ δεκάτῃ βίον Ἀβδιοῦ ἐξεπέρησεν.

Οὗτος δοῦλος Κυρίου ἑρμηνεύεται, ἢ ἐξομολογούμενος. Οὗτος ἦν ἐκ τῆς Συχὲμ ἀγροῦ Βηθαχαρὰμ, ἐδούλευε δὲ τῷ βασιλεῖ τῶν Ἑβραίων Ἀχαὰβ, καὶ μετὰ ταῦτα τῷ Ὀχοζίᾳ, ὅτε ἀπέστειλεν Ὀχοζίας πρὸς τὸν ἅγιον καὶ ἔνδοξον μέγαν Προφήτην Ἠλίαν τοὺς δύο Πεντηκοντάρχους, εἰπεῖν αὐτῷ, κατελθεῖν ἀπὸ τοῦ ὄρους πρὸς αὐτὸν, καὶ διὰ προσευχῆς τοῦ Προφήτου, κατεκάησαν μετὰ τοῦ λαοῦ αὐτῶν, πεσόντος πυρὸς ἐξ Οὐρανοῦ, καὶ καταφαγόντος αὐτούς. Ἀπέστειλε τρίτον καὶ τοῦτον τὸν Προφήτην Ἀβδιοῦ, ἵνα καλέσῃ αὐτὸν, καὶ ἀγάγῃ πρὸς αὐτόν. οὗτος γάρ ἐστιν ὁ τρίτος Πεντηκόνταρχος, οὗ ἐφείσατο Ἠλίας. Ὅς, ἀπελθὼν πρὸς τὸν Προφήτην, ἔπεσεν εἰς τοὺς πόδας αὐτοῦ, καὶ ἐδεήθη αὐτοῦ, ἵνα μὴ κατακαῇ,

τακαὴ, ἐ κατέβη πρὸς τὸν βασιλέα. Καὶ ἀπὸ τότε καταλιπὼν τὸν βασιλέα, ἠκολούθει τῷ Προφήτῃ Ἠλίᾳ, ἐ ἐλειτούργει αὐτῷ. Καὶ γενόμενος αὐτῷ Μαθητὴς, ἐ προφητεύσας πολλὰ, ἀπέθανε, ἐ ἐτάφη ἐν τῷ τάφῳ τῷ Πατέρων αὐτοῦ.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ Ἁγίου Μάρτυρος Βαρλαάμ.

ϛ. Σὺν λιβαφωτῷ Βαρλαὰμ τὸ πῦρ φέρων, Εὔοσμος ὤφθη λιβάνωτος Κυρίῳ.

Βαρλαὰμ ὁ Μάρτυς, ὑπῆρχεν ἀπὸ Ἀντιοχείας τῆς Συρίας. Γέρων δὲ ὢν τὴν ἡλικίαν, διὰ τὴν εἰς Χριστὸν ὁμολογίαν προσήχθη τῷ Ἄρχοντι. Καὶ μὴ πειθεὶς θῦσαι τοῖς εἰδώλοις, τύπτεται βαρέως, ἐ τὰς ὄψεις ἐκριζοῦται. Εἶτα τῷ βωμῷ προσαχθεὶς, βιαίως τὴν χεῖρα ἥπλωσε, ἐ πῦρ ἐπ' αὐτῇ, ἐ λιβανωτὸν δίδεται· ἐνόμισε γὰρ ὁ Ἄρχων, ὅτι εἰ τὰς ἀθρακας μὲν τοῦ λιβανωτοῦ τῷ βωμῷ ἐπιρρίψει, δόξει θυσίαν προσαγαγεῖν τοῖς θεοῖς. Ὁ δὲ αἰσθόμενος ἥρπασε καὶ ἄτρεπτος, εὐτομωτέρας αὐτῷ χαλκᾶ καὶ σιδήρα φαρέτρης τῆς δεξιᾶς, ἕως τὴν ὑποκειμένην σάρκα τὸ πῦρ δαπανῆσαν, εἰς τὴν γῆν ἔπεσε, διαπεσούσης αὐτοῦ τῆς χειρός. Καὶ ὕπνῳ τότε αἱρετισαμένου καταπαῦσαι τὴν χεῖρα, ἢ πρόσωπος παρασαλευθείσης, δόξαι λιβανωτὸν τῷ βωμῷ ἐμβαλεῖν, μὴ γενναίᾳ ἐ φερνῇ τοῦ φρονήματος, ἡ αὐτοῦ ψυχὴ ἐν χερσὶ Θεοῦ παρατίθεται. Τοῦτον ἐ ὁ θεῖος Χρυσόστομος, ἐ ὁ μέγας Βασίλειος, ἐγκωμίοις ἐτίμησαν.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ Ἁγίου Μάρτυρος Ἀζὴ τοῦ Θαυματουργοῦ.

ϛ. Διψητικὴ τις ὡς ἔλαφος εἰς ὕδωρ, Ἀζὴς ὁ Μάρτυς ἔτρεχε πρὸς τὸ ξίφος.

Οὗτος ὢν ἐπὶ τῆς βασιλείας Διοκλητιανοῦ, ἐκ τῆς τοῦ Γσαύρων χώρας ὁρμώμενος, στρατιώτης τὴν τάξιν. Καταλιπὼν οὖν τὴν στρατείαν, ὢν ἐν ταῖς ἐρήμοις, ἐ πολλὰς ἰάσεις καὶ θαύματα ἐπιτελῶν, ὑποτιμῶν κωνωπεῖον μίσθεται. Καὶ παραγὰς τῷ Διοκλητιανῷ, ἐ τὴν εἰς Χριστὸν Πίστιν ὁμολογήσας, παρεδόθη Ἀκυλίνῳ τῷ Ἐπάρχῳ μὲν ἑκατὸν πεντήκοντα στρατιωτῶν, τῷ ἐπὶ τῇ συλλήψει αὐτοῦ γαλεπώτερον, πεπιστώκοτον ἤδη καὶ αὐτῷ τῷ Χριστῷ, θαυματουργήσαντος τοῦ Μάρτυρος ἐν τῷ ἐπαοιδαῖς αὐτὸς, ἐ διὰ προσευχῆς ὕδωρ ἐξαγαγόντος, ἐ διψῶντας αὐτοὺς ποτίσαντος. Τὸν δὲ Ἔπαρχον μὲν τὸν τόπον γαμοῦντα, ἐ τὸν Ἅγιον Ἀζὴν εἰς ἔκπληξιν πολλῶν ὀκνοῦντας μισθοῦ μὴ ἐθέλοντος πληγῶν, ἐ ἐν ξύλῳ αἰωρήσαντος, ἐ σιδηροῖς ὄνυξι ξέσαντος, ἐ ἐμβαλόντος εἰς κάμινον πυρὸς, ἐπεὶ ἡ φλὸξ ἀπεσβέσθη, ἐ ὁ Ἅγιος ἔμεινεν ἀβλαβὴς, ἥτε Γυνὴ ἐ Θυγάτηρ τοῦ Ἐπάρχου, τῇ πίστει προσῆλθον. τότε ὁ Ἔπαρχος ἀποτμηθῆναι πρότερον τὰς κεφαλὰς τῶν ἑκατὸν πεντήκοντα Στρατιωτῶν προσέταξε, μεθ' ὧν ἐ τῆς αὐτοῦ Γυναικὸς, ἐ Θυγατρὸς, ὕστερον δὲ τὸν Ἅγιον τύψας σφοδρῶς, καὶ αὐτὸν διὰ ξίφους τελειωθῆναι ἐκέλευσεν.

Τῇ αὐτῇ ἡμέρᾳ, Οἱ Ἅγιοι ἑκατὸν πεντήκοντα Στρατιῶται ξίφει τελειοῦνται.

ϛ. Τετημένας χεῖρας Χριστὲ πεντηκοντάδας.

Τετρᾶσι χεροῖν γέραιρε πεντηκοντάδι.

Τῇ αὐτῇ ἡμέρᾳ, Οἱ Ἅγιοι δώδεκα Στρατιῶται, ξίφει τελειοῦνται.

ϛ. Στρατεύομαί σοι σήμερον διὰ ξίφους, Τῷ Παμβασιλεῖ δωδεκὰς Στρατὸς λέγει.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ Ἁγίου Μάρτυρος Ἀγαπίου.

ϛ. Καὶμ ἐσταυράχθω Ἀγάπιος θηρίοις, Τῷ πίστιν ἀσάλευτος ἐμίσει Λόγε.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ Ἁγίου Μάρτυρος Ἡλιοδώρου, τοῦ ἐν Μαγιδῷ τῆς Παμφυλίας.

Ἐπὶ τῆς βασιλείας Αὐρηλιανοῦ ἐν Ῥώμῃ, ἡγεμονεύοντος Ἀετίου ἐν Μαγιδῷ πόλει τῆς Παμφυλίας, ὁ μακάριος ἦτος Ἡλιόδωρος, ἐν τῇ αὐτῇ Πόλει ὤν, ἐ τὸν Χριστὸν ἀκηρύττων, διαβάλλεται τῷ Ἄρχοντι. Καὶ παραγὰς, ἐπεὶ μὴ πολλὰς τὰς κολακείας ἐκ ἐπείθη θῦσαι τοῖς εἰδώλοις, πρεμᾶται ἐ ξέεται, ἐ τῆς δριμύτητος τῆς κολάσεως ἱκανῶς καθαψαμένης τοῦ

Ἁγίου, καὶ Κύριε Ἰησοῦ Χριστὲ βοήθει μοι, προσειπόντος, εὐθέως ἐξ Οὐρανοῦ φωνὴ γέγονε λέγουσα· Μὴ φοβοῦ, μετὰ σοῦ γάρ εἰμι. Ταύτης τῆς φωνῆς οἱ τὰς λαμπάδας κατέχοντες ἀκούσαντες, προσέτι καὶ τέσσαρας ἰδόντες Ἀγγέλους, κωλύοντας αὐτοὺς τῆς τῶν κολάσεων ἐπιφορᾶς, ἐπίστευσαν εἰς τὸν Χριστόν. καὶ τὸν ἄρχοντα ἐλέγξαντες, ἐν τῇ θαλάσσῃ ἐρρίφησαν, τοὺς στεφάνους τῆς νίκης ἀναδησάμενοι. Τότε κελεύει βοῦν χαλκοῦν ἐκκαῆναι, καὶ ἐν αὐτῷ βληθῆναι τὸν Μάρτυρα· καὶ βληθέντος, ψυχρὸς παραυτίκα διὰ προσευχῆς ὁ σπινθηροβολῶν βοῦς γέγονεν. Ὅτε δὲ καὶ ψάλλοντος τοῦ Ἁγίου ἔσωθεν τοῦ βοὸς ὁ ἄρχων ᾔσθετο, ἐξέστη. προσεγγίσας δὲ τῷ χαλκουργήματι, καὶ ἰδὼν ὅτι τὸ πρὸ μικροῦ σπινθηροβολοῦν εἰς ἄκραν ψυχρότητα ἀφνηδὸν μετετράπη, φησὶ πρὸς τὸν Ἅγιον· ἀνοσία κεφαλὴ, καὶ τοῦ πυρὸς κατίσχυσαν αἱ μαγεῖαί σου; Καὶ ὁ Ἅγιος· αἱ μαγεῖαί μου, ὁ Χριστός ἐστιν εἶπεν. ἀλλὰ δός μοι τριῶν ἡμερῶν προθεσμίαν, ὅπως καθ' ἑαυτὸν σκέψωμαι τί ὀφείλω ποιῆσαι. Ὁ δὲ Ἅγιος λαβὼν τὴν ἄνεσιν, ἀπῆλθε λάθρα ἐν τῷ Πανθέῳ. καὶ προσευξαμένου, ἀθρόον πάντα τὰ εἴδωλα καταπεσόντα συνετρίβησαν. Τοῦτο μαθὼν ὁ ἄρχων, παρέστησε τῷ βήματι αὐτοῦ τὸν Ἅγιον. καὶ θυμοῦ πλησθεὶς, κρεμασθῆναι αὐτὸν κελεύει, καὶ ἥλους πεπυρωμένους ἐμβαλεῖν κατὰ τῆς κεφαλῆς αὐτοῦ. Ὡς δὲ τῆς δριμείας ταύτης ὀδύνης ᾔσθετο, τὸν Θεὸν καὶ αὖθις εἰς βοήθειαν ἐπεκαλεῖτο. Τότε ὁ ἄρχων ἰδὼν ὅτι οὐ κυριεύεται ὑπὸ τῶν κολάσεων, δεσμευθῆναι τοῦτον προσέταξε, καὶ βαρείας ἁλύσεις ἐπιτεθῆναι αὐτῷ, καὶ πρὸς τὴν Ἀταλέων πόλιν ἄγεσθαι. καὶ ἀχθέντος ἐν τῇ δηλωθείσῃ Πόλει τοῦ Ἁγίου, παραστῆναι τοῦτον ἐκέλευσε. καὶ εἰς λόγους ἀμφοτέρων ἐλθόντων περὶ τῆς εἰς τὰ εἴδωλα θυσίας, ὡς εἶδεν αὐτὸν ἀμετάθετον, κατεδίκασε βληθῆναι εἰς τέσσαρας ὀπὰς ξύλου τάς τε χεῖρας, καὶ πόδας αὐτοῦ. Εἶτα τήγανον σφοδρῶς ἐκπυρώσας, ἐν τούτῳ τὸν Μάρτυρα ἐνίησι. Τοῦ δὲ Ἁγίου Μάρτυρος μέσον τοῦ τηγάνου ἑστῶτος, καὶ προσευχομένου, ἔτι δὲ καὶ τοὺς παρεστῶτας προτρεπομένου εἰσελθεῖν ἐν αὐτῷ, καὶ ἀβλαβεῖς διατηρηθῆναι, εἰσῆλθον καὶ αὐτοί. καὶ πολλοὶ τῶν παρατυχόντων ἐπίστευσαν εἰς τὸν Κύριον, λέγοντες· ἀληθῶς μέγας ἐστὶν ὁ Θεὸς τῶν Χριστιανῶν. Καὶ ὡς εἶδεν ὁ ἡγεμὼν, ὅτι πολλοὶ ἐπίστευσαν εἰς τὸν τοῦ Ἡλιοδώρου Θεὸν, φοβηθεὶς, μήποτε ἁρπάσωσιν αὐτὸν ἐκ τῶν χειρῶν αὐτοῦ, ἐκέλευσε πάλιν ἄγεσθαι αὐτὸν ἐν Μαγιδῷ. Καὶ λαβόντες ἐπορεύοντο, αὐτοῦ προσευχομένου καὶ ψάλλοντος. Καὶ φθάσαντες ἔστησαν πάλιν τὸν Ἅγιον εἰς ἐρώτησιν. Καὶ μετὰ τὸ πολλὰ διαλεχθῆναι, κελεύει τὴν γλῶτταν αὐτοῦ τμηθῆναι, καὶ κρεμασθέντα σπαθίζεσθαι ἐπὶ ὥραις δυσί. Καὶ κημὸν ἔθεντο ἐπ' αὐτῷ, καὶ εἷλκον ἔξω τῆς Πόλεως. Καὶ νεύσας ὁ Ἅγιος τῇ χειρὶ αὐτοῦ πρὸς τοὺς ἕλκοντας αὐτὸν, ἔστη εἰς προσευχήν. καὶ πληρώσας τὴν εὐχὴν, ἀπετμήθη τὴν κεφαλήν.

Τῇ αὐτῇ ἡμέρᾳ, Τῶν Ἁγίων Μαρτύρων, Ἀνθίμου, Θαλαλαίου, Χριστοφόρου, καὶ Εὐφημίας, καὶ τῶν τέκνων αὐτῶν, καὶ τοῦ Ἁγίου Παγχαρίου.

Ταῖς αὐτῶν ἁγίαις πρεσβείαις, ὁ Θεός.

Ὠδὴ, ζ'. Ὁ ἐν καμίνῳ πυρός.

Ὑπερφυὴς ἀληθῶς, τῶν Προφητῶν τῶν σῶν ἡ δόξα· εὐλογητὸς ὁ Θεὸς, ὁ τῶν Πατέρων ἡμῶν.

Μετὰ Θεοῦ κατοικεῖν, ἠξιωμένος ἀναμέλπεις· εὐλογητὸς ὁ Θεὸς, ὁ τῶν Πατέρων ἡμῶν.

Ἐν τοῖς Προφήταις τοῖς σοῖς, τὴν θείαν χάριν σου δεικνύεις· εὐλογητὸς ὁ Θεὸς, ὁ τῶν Πατέρων ἡμῶν. Θεοτοκίον.

Τελυτρωμένοι τῷ σῷ, Παρθένε τόκῳ μελῳδοῦμεν· εὐλογητὸς ὁ Θεὸς, ὁ τῶν Πατέρων ἡμῶν.

Ἄλλος. Ὁ τῶν Πατέρων Θεός.

Μετὰ Μαρτύρων χοροῦ, ὡς ἀήττητος Μάρτυς, κατηξίωσαι Χριστῷ, μεγαλο-

γαλοφώνως κραυγάζω· ἄλογητος ὁ Θεὸς, ὁ τῷ Πατέρῳ ἡμῶν.

Μετὰ λαμπάδων φαιδρῶς, εἰς τὸν Θεῖον νυμφῶνα, εἰσελήλυθας Χριστῷ, μεγαλομαρτυς κραυγάζων· ἄλογητος ὁ Θεὸς, ὁ τῷ Πατέρων ἡμῶν.

Ὑπερωτέραν πυρὸς, δεξιᾷ κεκτημένος, παρασάτης δεξιὸς, τῷ σῷ Δεσπότῃ κραυγάζεις· ἄλογητος ὁ Θεὸς, ὁ τῷ Πατέρων ἡμῶν.

Θεοτοκίον.

Τελουζωμένοι τῇ σῇ, παναχράντῳ γεννήσει, ὑμνοῦμέν σε πιστοὶ, ἀπαύστως βοῶντες· ἄλογητος Παναγνε, ὁ καρπὸς τῆς κοιλίας σου.

Ὠδὴ, ε'. Τὸν ἐκ Πατρὸς πρὸ αἰώνων.

Παρὰ Θεοῦ φωτιζόμενοι, οἱ Προφῆται προθεσπίζουσι, τῶν ἐσομένων τὴν γνῶσιν, θεοφρόνως ἀνακράζοντες. ἱερεῖς ὑμνεῖτε, λαὸς ὑπερυψοῦτε, Χριστὸν εἰς τοὺς αἰῶνας.

Ὥσπερ πυρσὸς ἐν πελάγει, τοῖς ἐν σκότει μάκαρ ἔφανας, ταῖς θείκαῖς φρυκτωρίαις, Ἀβδιοὺ καταυγαζόμενος, τὸν Χριστὸν κραυγάζων, λαὸς ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Θεοτοκίον.

Κατὰ τὴν θείαν οὐσίαν, τῷ Πατρὶ σου ὁμοούσιος, ἡμῖν ὁμόφυλος ὤφθης, σαρκὸς ἐξ ἀπειράνδρου Μητρός. διὸ σε ὑμνοῦμεν, καὶ ὑπερυψοῦμεν, Χριστὲ εἰς τοὺς αἰῶνας.

Ἄλλος. Τὸν ἐν καμίνῳ τῶν πυρός.

Πᾶσαν καθεῖλες τὴν ἐχθρὰν, τὴν παμπλίαν Βαρλαὰμ ἀξιάγαστε, ἔφλεξας εἰδωλικὴν, παμπλίαν κραυγάζων. σὲ ὑπερυψοῦμεν, Χριστὲ εἰς τοὺς αἰῶνας.

Ὡραϊσμένος ἀπρεπῶς, Χριστῷ παρέστης ἀθλητὰ παναοίδιμε, αἵματι μαρτυρικῷ, βεβαμμένην πορφύραν φορῶν, καὶ τὸν Δεσπότην ὑμνῶν εἰς τοὺς αἰῶνας.

Τῆς ἀσεβείας τῷ πυρὶ, πεπυρσευμένος ὡς ἀκάνθας κατέφλεξας, πάσας τὰς δαιμονικὰς, φαντασίας κραυγάζων. ὑμνεῖτε καὶ ὑπερυψοῦτε, Χριστὸν εἰς τοὺς αἰῶνας.

Θεοτοκίον.

Οἱ ἀλογοῦντές σε πιστῶς, ὑπὸ Κυρίου ἀλογοῦνται Παναμωμε. τίκτεις γὰρ τὸν ἄλογον τα, τὸν κτίσαντα Δεσπότην. ὃν ὑπερυψοῦμεν, εἰς πάντας τοὺς αἰῶνας.

Ὁ Εἱρμός.

„ Τὸν ἐν καμίνῳ τοῦ πυρὸς, ἐν Βαβυ-
„ λῶνι τοὺς Παῖδας τῶν Ἑβραίων,
„ διασώσαντα Θεὸν, ἱερεῖς ἀλογεῖτε, λαὸς
„ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ, ϛ'. Σὲ τὸν ὑπὲρ μᾶν.

Τόγῳ θείκῳ, καὶ πράξει κοσμούμενος, ἐπτερώθης τῷ Πνεύματι, Ἀβδιοὺ θεσπέσιε, καὶ τὰ μέλλοντα βλέπειν κατηξίωσαι.

Ἔνθα Προφητῶν, χορείαι σκιρτώμενος, καὶ Ἁγίων λαμπρότητες, δυσώπει τὸν Κύριον, τῶ σωθῆναι τοὺς πίστει ἀφυμνοῦντάς σε.

Ὅλος τῷ Θεῷ, θερμῶς ἀνακείμενος, καθαρῶς προσωμίλησας, ταῖς θείαις ἐμφάσεσιν. ὧν καὶ μῶν ἀπολαύεις παμμακάριστε.

Θεοτοκίον.

Ἐκ τοῦ τοῦ φωτὸς, λυχνίαν ὑμνοῦμεν Ἁγνή. σὲ καὶ πλάκα τῆς χάριτος, τὸν Λόγον σαρκούμενον, δεξαμενὴν εἰδότες μεγαλυνόμεν.

Ἄλλος. Λίθος ἀχειροτμήτος.

Νόμος ἐγνωμίων ἥττᾶται, τῷ τῶν ἀγώνων σε μεγέθει. μόνος ὁ Δεσπότης σε Χριστὸς, δοξάζειν οἶδε θείᾳ λαμπρότητι. ὃν ἐκτενῶς δυσώπησον, ὑπὲρ τῆς πίστεως ἀνυμνούντων σε.

Ὅλον σεαυτὸν τῷ Κυρίῳ, ζῶσαν προσήνεγκας θυσίαν, ὅλος τῆς ἄνω βασιλείας, συγκληρονόμος ὤφθης καὶ μέτοχος, ἐκ σοῦ αὐτῷ γνησίως, μῶν βασιλεύεις παναοίδιμε.

Ὑπὲρ τῆς σῆς Σωτηρ ἀγάπης, αἵματος μέχρι καὶ θανάτου, ξίφει καὶ πυρὶ καὶ βασάνοις, ὁ θεῖος Μάρτυς ἀντιταξάμενος, τῆς παρὰ σοῦ φιλανθρωπίας, ἀθανάτου ἀπελάβετο.

Θεοτοκίον.

Ἐκ τὴν προφασίαν τῶ Κόσμω, ἐ Θεομήτορα Παρθένον, πάσης τῆς ζωῆς μου προφάτην, τῆς σωτηρίας χαίρων προβάλλομαι. σὺ γὰρ Θεὸν γεννήσασα, σώζεις ἰσχύεις τοὺς ὑμνοῦντάς σε. Ὁ Εἱρμός.

Λίθος ἀχειροτμήτως ὄρους, ἐξ ἁλατόμησας.

Εἰς τὸν ᾱ. ᾱ. τῆς Ὀκτωήχου.

Ἡ λοιπὴ Ἀκολουθία τῶ Ὄρθρου, ἐ Ἀπόλ. Εἰς τὴν Λειτουργίαν τὰ Τυπικά, ἐ ἐκ τῶ Καφόρου. Ἡ δὲ λοιπὴ Ἀκολουθία, Ζήτει εἰς Προφήτας, ἐ εἰς Μάρτυρας.

Τῶ αὐτῶ Μηνὶ, Κ'.

Προεόρτια τῆς ἐν τῷ Ναῷ Εἰσόδου τῆς Ὑπεραγίας Θεοτόκου. καὶ τῶ Ὁσίου Πατρὸς ἡμῶν Γρηγορίου τῶ Δεκαπολίτου. ἐ τῶ ἐν Ἁγίοις Πατρὸς ἡμῶν Πρόκλου, Ἀρχιεπισκόπου Κωνσταντινουπόλεως. Ἑσπέρας εἰς τὸ, Κύριε ἐκέκραξα, ἱστῶμεν ᾱ. σ'. καὶ ψάλλομεν ᾱ. προσόμοια τῶν Προεορτίων, ἦχος, α'.

Τῶν ὑραμίων Ταγμάτων.

Παμπαδηφόρε Παρθένου, τὴν Ἀειπάρθενον, φαιδρῶς ὑποποιῆσαι, προφητάνασιν ὄντως, ἐν Πράγματι τὸ μέλλον, Ναὸς γὰρ Θεῦ, ἡ Θεοτόκος ὑπάρχουσα, πρὸς τὸν Ναὸν μετὰ δόξης παρθενικῆς, μηπόθεν ἐμβιβάζεται.

Ἐπαγγελίας ἁγίας, καὶ ὁ καρπὸς ἀληθὴς, ἡ Θεοτόκος ὄντως, ἀρεδέχθη τῷ Κόσμῳ, ὡς παντῶν ὑπερτέρα, ἡ ἀσεβῶς, προσαγομένη ἐν οἴκῳ Θεοῦ, τὴν προσάντλιν τῶν τεκόντων ἀποπληροῦ, σωτηρίαν ἐμὴν Θείῳ Πράγματι.

Ἐπαρμῶν τραφεῖσα, Παρθένε ἄρτον πιστῶς, ἐν τῷ Ναῷ Κυρίου, ἀπεκύησας Κόσμῳ, ζωῆς ἄρτον τὸν Λόγον. ᾧ ὡς Ναὸς, ἐκλεκτὸς καὶ παμάκαρος, προεμνηστεύθης τῷ Πράγματι μυστικῶς, μνμφεύθεῖσα τῷ Θεῷ ἐ Πατρί.

Ἕτερα ᾱ. τῶ Ἁγίου Γρηγορίου. Ὅμοια.

Πᾶς ὑραΐτης σκιωσάσης, ἐν ἀφροσύνῃ οἴκῳ, ἐ σὺ Ἄγγελος Πάτερ, παρεσῶς παῤῥησίᾳ, τῷ Θρόνῳ τῶ Κυρίου, τοῖς ἐπὶ γῆς, ἐκτελοῦσι τὴν μνήμην σου, τῇ ἐγκαινιάτων τὴν λύσιν, καὶ τῇ παθῶν, δωρηθῆναι καθικέτευε.

Πρὸς προσάντλιν τῆ δρεπανῃ, Πάτερ Γρηγόριε, τὰς τῆ παθῶν ἀκανθας, ἐκτεμὼν ἐ μεώσας, ἀρότρῳ ἐγκρατείας, τὴν γῆν τῆς ψυχῆς, κατεβάλω τὰ σπέρματα, τῆς ἀσεβείας ἐν ταύτῃ. δι' ὧν ἡμῖν, ἐκβλαστήσεις ἱαμάτων καρπὸς.

Πρὸς ἀρετῆ σε δοχεῖον, καλοῦμεν Ὅσιε, ὡς ἡσυχίας φίλον, ἀκριβείας ἐργάτην, ἐ φιλίαν σωφροσύνης, ἐ προσάντλης, ἐμβιαίτημα ἄσυλον, καὶ τῆ θαυμάτων ταμεῖον, καὶ πρεσβευτὴν, τῆ τιμώντων σε Γρηγόριε.

Δόξα, ἐ νῦν. ἦχος, δ'.

Σήμερον ὁ Θεοχώρητος Ναὸς, ἡ Θεοτόκος, ἐν Ναῷ Κυρίου προσάγεται, ἐ Ζαχαρίας ταύτην ὑποδέχεται. Σήμερον τὰ τῆ ἁγίων ἅγια ἀγάλλονται, καὶ ὁ χορὸς τῶν Ἀγγέλων μυστικῶς παρηγυρίζει. μεθ' ὧν καὶ ἡμεῖς, ἑορτάζοντες σήμερον, σὺν τῷ Γαβριὴλ ἐκβοήσωμεν· Χαῖρε Κεχαριτωμένη, ὁ Κύριος μετὰ σοῦ, ὁ ἔχων τὸ μέγα ἔλεος.

Εἰς τὸν ᾱ. ᾱ. προσόμοια, τῶ Ἁγίου Πρόκλου, ἦχος, δ'. Ἐδώκας σημείωσιν.

Δογμάτων φαιδρότητι, καὶ τῇ τῶ βίου λαμπρότητι, ἀσεβῶς κατεκόσμησας, Πρόκλε παναοίδιμε, τὴν ἱεραρχίαν, καὶ τῆς Ἐκκλησίας, φύλος ἐδείχθης ἀληθῶς, καταφωτίζων πάντας τοὺς λόγοις σου. Διό σε μακαρίζομεν, καὶ ἐμ ψαλμοῖς τε ἄσμασι, τὴν ἁγίαν ἐ πανσεπτὴν, ἑορτάζομεν μνήμην σου.

ᾱ. Τίμιος ἁμαρτίων Κυρίου ὁ θάνατος.

Παμφῶς ἐδογμάτισας, ἐ θεοφρόνως ἐκήρυξας, Θεοτόκον τὴν ἄχραντον, Κόρην τὴν κυήσασαν, τὸν πρὸ τῶν αἰώνων, Κτίστην καὶ Δεσπότην, Υἱὸν καὶ Λόγον τῶ Πατρὸς, ἐ ἐπ' ἐσχάτων δι' ἡμᾶς ἄνθρωπον, γενόμενον θελήματι, καὶ μὴ τραπέντα τῆς φύσεως, ἐ Νεστόριον ἤλεγξας, ἀσεβῆ ἐ παράφρονα.

℟. Οἱ ἱερεῖς σου, Κύριε, ἐνδύσονται.

Μαράτων ἐξιώτλησας, τὴν χρυσαυγῶν παραιδίμε, τῆς σοφῆς Θεοκήρυκος, ὑπερ ἐν διαδοχος, ἐν τῆς εὐσεβείας, ὥφθης ἐν καθέδρας, ἐπιστηρίζων διδαχαῖς, τῆς ἀληθείας Χριστὸ τὸ ποίμνιον, ἐν τὰ τὰ τὸ ἁγνότατον, ἐν παμσεβάσμιον Λείψανον, ὥσπερ κόσμον τερπνότατον, τῇ Ἐκκλησίᾳ ἀπέδωκας.

Δόξα, ἐν νῦν. Ἦχος, δ.

Δεῦτε πάντες οἱ πιστοὶ, τὴν μόνην ἀμώμητον ἐγκωμιάσωμεν, τὴν ἐκ τῶν Προφητῶν προκηρυχθεῖσαν, καὶ ἐν Ναῷ προσευχθεῖσαν, τὴν πρὸ τῶν αἰώνων προορισθεῖσαν Μητέρα, ἐν ἐπ' ἐσχάτων τῶν χρόνων σαρκωθεῖσαν Θεοτόκον. Κύριε πρεσβείαις αὐτῆς, τὴν εἰρήνην σου παράσχου ἡμῖν, ἐν τὸ μέγα ἔλεος.

Τροπάριον τῶν Ἁγίων. Ἦχος, δ.

Ὁ Θεὸς τῶν Πατέρων ἡμῶν, ὁ ποιῶν ἀεὶ μεθ' ἡμῶν, κατὰ τὴν σὴν ἐπιείκειαν, μὴ ἀποστήσῃς τὸ ἔλεός σου ἀφ' ἡμῶν, ἀλλὰ ταῖς αὐτῶν ἱκεσίαις, εἰρήνην κυβέρνησον τὸν ζωήν ἡμῶν.

Ἕτερον Προεόρτιον. Ἦχος, ὁ αὐτός.

Χαρᾷ προμηνύεται, σήμερον Ἄννα ἡμῖν, τῆς λύπης αὐτίθετον, καρπὸν βλαστήσασα, τὴν μόνην Ἀειπάρθενον, ἣν περ δὴ ἐν προσάγει, τὰς ἀρχὰς ἐκπληρώσα, σήμερον γηθομένη, τῷ Ναῷ τοῦ Κυρίου, ὡς ὄντως Ναὸν τοῦ Θεοῦ Λόγου, καὶ Μητέρα ἁγνήν.

Εἰς τὸν Ὄρθρον, μετὰ τὴν σωτήριον πλοῦ. Καθίσμες, γ. ὁ Προεόρτιος μετὰ τῶν Εἱρμῶν, εἰς ς'. ἐν τῶν Ἁγίων οἱ δύο, αὐτὰ τεσσάρων. Καθίσμα ὁ Προεόρτιος, Ποίημα Γωσήφ. Οὗ ἡ ἀκροστιχίς. Κατὰ ἀλφάβητον.

Ὠδὴ, α'. Ἦχος, δ'. Ὁ Εἱρμός.

„ Ἤνοιξε τὸ στόμα μου, ἐν πληρωθήσε„ται Πνεύματος, ἐν λόγον ἐρεύξο„μαι, τῇ Βασιλίδι Μητρί. καὶ ὀφθήσο„μαι, φαιδρῶς παγηγυρίζων, καὶ ᾄσω „γηθόμενος, ταύτης τὴν ἔισοδον.

Ἅγιον εἰς ἅγια, ἡ Παρθένος ἐν ἄμωμος, οἰκήσαι προέρχεται, ὑπεραγίου Θεοῦ, ὅπως γένηται, Ναὸς ἡγιασμένος, ἐν ταύτῃ προτρέχουσι, Κόραι μετ' αὐτῆς.

Βλαστὴ προαιώνιος, τῶν πρὸ αἰώνων Θεοῦ ἡμῶν, εἰς πέρας προέρχεται, προερχομένην σε, ὡς παρθένον ὑμνοῦσι, εἰς ἅγια ἁγίων, εἰς Λόγου κατοίκησιν, Κόρη παναμώμε.

Ἑρμηνεῖς εὐθεῖαι, σὲ τῆς Θεοῦ τὴν Γερμήτειραν, γενέσθαι μέλλουσαν, ὡς ἀτιθέασιν, εἰς τὰ ἅγια, παρθένων ἁγίων, ὡς ἐχρῆν ὑπῆρξατο, πληροῦντες Παναγνε.

Λυτρώσασθαι Δέσποτα, τὸ ἀθέμιτόν μου καρδίας μου, ἐν φύσεως πάθεσι, πεπιεσμένον. ὅπως πίστευσε, καὶ πόθῳ μακαρίζω, τὴν ἀμακάριστον, ἐν παναμώμητον.

Ἕτερος Κανὼν τοῦ Ἁγίου Γρηγορίου.

Ὠδὴ, α'. Ἦχος, πλ. δ'. Ἁρματηλάτην Φαραώ.

Ἐμπεφραγμένῳ ὑδρωπικῇ τοῦ σώματος, τὴν ταπεινωμένην μου ψυχὴν, σαῖς προσεύχαις Πάτερ, ζώωσον Γρηγόριε. ζωὴν γὰρ μοι ἀπείληφας, τὴν ἀγήρω μεκρώσας, τὰ ἐπὶ γῆς μέλη εὐδόξε, τοῖς ἀσκητικοῖς ἀγωνίσμασιν.

Κατακρατήσας ὑδρωπικῆς τοῦ σώματος, τῆς γεγραυσμένης, ἐκ νεαρᾶς Πάτερ, ἡλικίας ὄργανον, τοῦ Πνεύματος γεγένησαι, τὰς αὐτοῦ ἐνεργείας, περιφανῶς εἰσδεχόμενος, ἐν θεοειδὴς γνωριζόμενος.

Ἔρωτι θείῳ τῆς σαρκὸς τὰς ἕρωτας, ἐμπεπαρμένος, ἐν σεαυτῷ μάκαρ, ἐμνηστεύσω σύζυγον, ἀγνείαν ἧς τέκνα σοι, ἐγεννήθησαν πᾶσαι, αἱ ἀρεταὶ παναοίδιμε, δῶρόν σε Θεοῦ ἐργασάμεναι.

Θεοτοκίον.

Ἡ ἀπὸ γῆς πρὸς Οὐρανὸν δήκουσα, κλίμαξ ὑψίος, δι' ἧς Θεὸς Λόγος, τοῖς βροτοῖς ὡμίλησε, ἀλογημένη Παναγνε, ὑπερμεγέθυτον θαῦμα, ἀκαταμόντον ὅραμα, σῶζε τοὺς εἰς σὲ καταφεύγοντας.

Ἕτερος Κανὼν εἰς τὸν Ἅγιον Πρόκλ

Ὠδὴ, α'. Ἦχος, α'. Σὸν ἡ τροπαιοῦχος δεξιά.

Πράξεσι τε καὶ λόγῳ ἀληθεῖ, τῷ μορφῷ Ἀρχαγγέλων γενόμενος, σύμμορφος θεολήπτε, καὶ σὺν αὐτοῖς τῷ θρόνῳ πα-

παριστάμενος, τῆς σεπτῆς Τριάδος, Πρόκλε δυσώπει σωθῆναι ἡμᾶς.

Ἔχνεσιν ἑπόμενος σοφὲ, τοῦ Χρυσορρήμονος Πάτερ ἀοίδιμε, τούτου τε τὸ ἔνθεον, ἱερωσύνης θεῖον ἔνδυμα, κλῆρον ὡς πατρῷον, ἀπείληφας ἀξιάγαστε.

Πάλαι τὸν Θεὸν ἐπὶ τῆς γῆς, τοῦ Ἡσαΐου βοῶντος ἐν Πνεύματι, ἥξειν ὁ Νεστόριος, φρενοβλαβῶς διαβάλλων τὴν σάρκωσιν, ὑπὸ σοῦ τρισμάκαρ, συνοδικῶς καταβέβληται.

Θεοτοκίον.

Λόγοις θεοπνεύστοις τὴν φρικτὴν, ἐκ τῆς Παρθένου ἐτραίνωσας Σάρκωσιν, Πρόκλε τοῦ Θεοῦ ἡμῶν, καὶ Θεοτόκον ταύτην ἐκήρυξας, δόγμασι πανσόφοις, τῶν Ἀποστόλων ἑπόμενος.

Ὠδὴ, γ'. Ὁ Εἱρμός.

„Ῥοὺς σοὺς ὑμνολόγους Θεοτόκε, ὡς ζῶ-
„σα καὶ ἄφθονος πηγὴ, θίασον συγ-
„κροτήσαντας, πνευματικὸν στερέωσον.
„ἐν τῇ σεπτῇ Εἰσόδῳ σου, στεφάνων δόξης
„ἀξίωσον.

Ἐξάρχουσαι Κόραι τῆς Παρθένου, λαμπάδας κατέχουσαι φαιδρῶς, τὸ μέλλον ὑπογράφουσιν. ἐκ ταύτης γὰρ τεχθήσεται, ὁ φωτισμὸς τῆς γνώσεως, λύων τῆς πλάνης τὴν ζόφωσιν.

Ζηλοῦσα τὴν πάλαι θεοφρόνως, ἡ Ἄννα εὐχὴν ἀποπληροῖ, καὶ σὲ προσαναπίθεται, τῷ ἱερῷ Παράμωμε, ἱερωτάτην σύλληψιν, μέλλουσαν ἔχειν καὶ γέννησιν.

Ἥλιος ἐφήπλωσεν ἀκτῖνας, ὁρῶν τὴν Νεφέλην τοῦ φωτὸς, ἐφαπλουμένην νεύματι, Θεοῦ ἔνδον εἰς ἅγια. ἐξ ἧς ὀμβρήσει ἄφεσιν, τοῖς χερσωθεῖσιν ἐγκλήμασιν.

Θεοῖμε Θεὸς ἐν σοὶ σκηνώσας, δι' οἶκτον Παράχραντε Ἁγνὴ, κλαπέντα βρώσει πρότερον, ἀπάτῃ τῇ τοῦ ὄφεως, καὶ τῆς φθορᾶς τὴν ἄφθαρτον, πάλιν τρυφὴν ἀντιδίδωσιν.

Ἄλλος. Οὐρανίας ἄψιδος.

Ἀρετῶν ἐν τῷ ὄρει, ἀναδραμὼν Ὅσιε, γνόφον θεωρίας, ὑπῆλθες καὶ κατενόησας, ὅσον ἐχώρησας, τὸν ἀκατάληπτον φύσει, φωτισμοῦ ἀνάπλεως, Πάτερ γενόμενος.

Ὁ τεχθεὶς ἐν σπηλαίῳ, διὰ βροτῶν λύτρωσιν, πάλαισε σπηλαίῳ, παμμάκαρ ἐνδιαιτώμενον, φέγγει κατήστραψεν, ἐπουρανίῳ ὡς Παῦλον, φωταυγῆ δεικνύων σε, Πάτερ Γρηγόριε.

Ἠουράνιος πύλη, ἡ τοῦ Χριστοῦ ἄχραντος, Μήτηρ προσβολαῖσε, Δαιμόνων περικυκλούμενον, Πάτερ ἐπτέρωσε, καὶ δυνατὸν ἐν ἰσχύϊ, κατ' αὐτῶν εἰργάσατο, Πνεύματος χάριτι.

Θ'.

Χαῖρε μόνη τεκοῦσα, τὸν τοῦ παντὸς Κύριον. Χαῖρε τὴν ζωὴν, τοῖς ἀνθρώποις ἡ προξενήσασα. Χαῖρε κατάσκιον, καὶ ἀλατόμητον ὄρος. τῶν πιστῶν τὸ στήριγμα, χαῖρε Παράμωμε.

Ἄλλος. Ὁ μόνος εἰδὼς τῆς τῶν βροτῶν.

Φῶς τὸ ἐκ φωτὸς θεοπτικῶς, παμμάκαρ προσλαβόμενος, τῇ Ἐκκλησίᾳ φῶς ἐχρημάτισας. διὸ καὶ φῶς σοι θεῖον ἀνέτειλε, νοητῶς ὡς γέγραπται. ᾧ καταλαμπόμενος, τοὺς ὑμνοῦντας φωτίζεις τὴν μνήμην σου.

Σαλπίσας δογμάτων τῇ βροντῇ, ὡς τείχη καταβέβληκας, Γεριχούντια τῶν αἱρέσεων, τὰ θράση πάντα καὶ τὰ στρατεύματα. καὶ νικήσας τρόπαια, ἀνεστήσω σάρκωσιν, τοῦ Θεοῦ ἐκ Παρθένου κηρύξας τρανῶς.

Πηγῇ τῆς σοφίας προσβαλὼν, τὸ στόμα σου Θεόληπτε, καὶ τῆς τοῦ Πνεύματος ἀρυσάμενος, σοφίας Πρόκλε τὰ θεῖα νάματα, θολεροὺς κατέκλυσας, ποταμοὺς πανόλβιε, Νεστορίου τὰ ἄθεσμα δόγματα.

Θεοτοκίον.

Ὁ ἄνω Πατρὶ Μονογενὴς, ἀφράστως συννοούμενος, μονογενὴς, ἐκ σοῦ κάτω ἄχραντε, ὑπὲρ αἰτίαν καὶ νοῦν γεγέννηται, καὶ θεοῖ τὸν ἄνθρωπον, ἐκ σοῦ παναμώμητε, Θεοτόκε Παρθένε ἀνύμφευτε.

Ὁ Εἱρμός. Ὁ μόνος εἰδὼς τῆς τῶν βροτῶν.

Καθισμα τοῦ Ἁγίου Γρηγορίου. ἦχος, δ'.

Ταχὺ προκατάλαβε.

Ῥῇ θείᾳ λαμπρότητι, καταυγαζόμενος, τὸ σκότος ἐδίωξας, τῶν ψυχοφθόρων

πα-

παθῶν, Γρηγόριε ἀοίδιμε. ἤρθης πρὸς ἀπαθείας, καθαρώτατον ὕψος. ἤγρανας παραδόξως, ἰαμάτων ἀκτῖνας, σκιρτώσας εἰς ἄδυτον φῶς, τῆς Βασιλείας Χριστοῦ.

Δόξα. Ἕτερον, τοῦ Ἁγίου Πρόκλου.

Ὁ αὐτός. Ἑσπερινὸν σήμερον.

Ἐν τῷ ὑψοῦσθαι Κύριος, τῆς Ἐκκλησίας ἀληθῶς σε ἔθετο, ὥσπερ ἀστέρα φαεινὸν, φωταγωγοῦντα τοὺς ψάλλοντας· Πρόκλε τὸ κλέος, Πατέρων ἀοίδιμε.

Καὶ νῦν.

Ἕτερον Προεόρτιον, ὅμοιον.

Εὐφροσύνης σήμερον, ἡ Οἰκουμένη, ἐπληρώθη ἅπασα, ἐν τῇ ἀσήμῳ Ἑορτῇ, τῆς Θεοτόκου κραυγάζουσα· αὕτη ὑπάρχει, σκιὴ ἐπουρανίους.

Ὠδὴ, δ. Ὁ Εἱρμός.

„ Φῶς ἀφεγγίστου θεότητος βλύσω, τῷ „ ἐκ τῆς Παρθένου σαρκώσεως, σὲ τὴν „ ὑψίστου, ὁ Προφήτης Ἀββακοὺμ, κα„ τανοῶν ἐκραύγαζε· δόξα τῇ δυναμεί σου „ Κύριε.

Ἔρασι προκηρύξαντα γλῶσσαι Σεμνὴν, ἔσεσθαι χωρίσασαν φύσεως, τῆς ἀχωρίστου. διὰ τοῦτό σε χοροὶ, παρθενικοὶ προπέμπουσι, λαμπαδηφοροῦντες εἰς ἅγια.

Κλέος ἀπεκύησε Γωακεὶμ, Ἄννη συμβαδίζων τε φέρωσε, σωὴ δωρεὰ, εἰς τὸν ἅγιον Ναὸν, Ναὸν Θεοῦ παράγιε, Ἄχραντε Παρθένε Δέσποινα.

Λύεται ἀπόφασις προγονική. ἰδοὺ γὰρ ἡ ἄμπελος, ἥτις τὸν βότρυν, τὸν ἀκήρατον ἡμῖν, καρποφορήσει φέροντα, οἶνον εὐφροσύνης τοῖς πέρασιν.

Μόνωσε παράνομον ὁ πλάστης, Λόγος εὑρηκὼς κατεσκεύασε, σὲ ἐν μήτρᾳ, ἐργαζόμενος ἡμῶν, τὴν σωτηρίαν Ἄχραντε, χάριτι δὲ ἄφατον ἔλεος.

Ἄλλος. Σύ μοι ἰσχύς, Κύριε.

Ὃν δι' ἡμᾶς, ἐνηνθρώπησε Γρηγόριε, λόγματίσας, ἐνόησε ἀγαθότητι, σὲ δι' αὐτὸν, ἐνόησε καθορῶν, τῆς ἐμεγαλύνης, γονίμου ἠγκαλίσατο, καὶ θεῖον κληρονόμον, τῆς αὐτοῦ Βασιλείας, ἀρεταῖς λαμπρυνθέντα εἰργάσατο·

Διὰ Χριστὸν, τὸν δι' ἡμᾶς πτωχεύσαντα, καὶ παιδίον, Ὅσιε γενόμενον, παιδαγωγὸν ἔδωκας σαυτὸν, μητρὸς κακίᾳ, Θεόφρον Πάτερ γενόμενος, καὶ θείᾳ ταπεινώσει, τὸν ἐχθρὸν τῶν κακίαν, ἐταπείνωσας μάκαρ Γρηγόριε.

Ὄμβροις τῶν σῶν, Πάτερ δακρύων Γρηγόριε, ὡς περ ὄμβροις, θείᾳ ἀρδόμενος, πᾶσαν ἐβλάστησας ἀρετὴν, πᾶσαν εὐκαρπίαν, δικαιοσύνης ἐβλάστησας, ὡς ξύλον καρποφόρον, διεξόδοις ὑδάτων, φυτευθεὶς τῆς τελείας ἀσκήσεως.

Θεοτοκίον.

Μήτηρ Θεοῦ, ἀλογημένη Παρθένε, τῆς ψυχῆς μου, τραύματα θεράπευσον, τὰς ἡδονὰς ἀφεσιν τῆς σαρκός. τῷ ἐσκοτισμένῳ, καρδίᾳ μου φωταγώγησον. ἐρήμασον τὸν νοῦν μου, καὶ παντοίας ἐκ βλάβης, καὶ ἐχθρῶν ἐπηρείας με λύτρωσαι.

Ἄλλος. Ὅρος σε τῇ χάριτι.

Χρυσὸν καθάπερ ἐν πυρὶ ἱερώτατε, τῆς ἐγκρατείας σε σοφὲ, σῶμα καθάρας τὸ σεπτὸν, ὡραῖον ἀπέδειξας, τῷ Ποιητῇ ἱερωσύνης ἀντεύθυσι, κατὰ σολὴ εἰλικρινῶς καὶ χάριτι.

Ῥήματι ὁ Φθόγγος, καὶ δογμάτων ἡ εὐηχος, τῷ διδαγμάτων σε βρομῇ, τῷ Ἐκκλησίαν τῷ Θεῷ, σοφῶς καταθέλγουσα, αἱρετικῶν, ἀποσοβεῖ τῷ θρασύτητι, ἱεροφάντορ Πρόκλε παναοίδιμε.

Γνώσεως τῆς θείας, ἐν μυήσει γενόμενος, ὡς ἱεράρχης ἱερὸς, ἀγαθοδότως ἐφ' ἑξῆς, τοῖς πᾶσι μετέδωκας, τῷ φωτισμῷ, καὶ τῆς ἐνθέου λαμπρότητος, εἰς σωτηρίαν ψυχῶν ἀξιάγαστε.

Θεοτοκίον.

Ἤνθρακα τὸν θεῖον, ἐν μηδενὶ παναμώμητε, εἰσδεξαμένη ὑπὲρ νοῦν, ὁ κατεφλέχθης ἀληθῶς. ἡ βάτος γὰρ πόρρωθεν, συμβολικῶς, τῷ σῷ λοχείᾳ εἰκόνιζεν, εἰς σωτηρίαν ἡμῶν καὶ ἀνάπλασιν.

Ὠδὴ, ε. Ὁ Εἱρμός.

„ Ἐξέστη τὰ σύμπαντα, ἐν τῇ σεπτῇ Ἐ„ σόδῳ σου. σὺ γὰρ ἀπερόγαμε Παρθένε, „ ἐν δόξῃ εἰσῆλθες ἐν τῷ Ναῷ τοῦ Θεοῦ, ὡ-

„ σπερ

,, ὥσπερ καθαρώτατος Ναὸς, πᾶσι τοῖς
,, ὑμνῳδήσε, τῷ εἰρωνίῳ βραβεύσα.

Νεφέλαι ῥαφάτωσαν, δικαιοσύνῳ σήμερον. ὡς ἐν Οὐρανῷ γὰρ ἐφαπλῶται, θεία νεφέλη ἐν τῷ Ναῷ τῆ Θεοῦ. ἥτις ἀποσάξει γλυκασμὸν, πᾶσαν τὴν ψυχῶν ἡμῶν, τῷ πικρίαν ἐξαίρουσα.

Ζήμησε ἡ σύλληψις, ἐζήμησε δὲ ἡ γέννησις, ἐζήμησε ἡ πρόοδος Παρθένε, ἡ εὔδοκος ὅσα, τῆ Ἱερᾷ ἀγωγῇ. ξένα δὲ παράδοξα τὰ σὰ, λόγον ὑπερβαίνοντα, καὶ διάνοιαν ἀ̓χράντε.

Ὅλως σε ἡγίασε, τὸ Πνεῦμα τὸ Παράγιον, εὐδόκησε τῆ Ναῷ διαπρεπῶς, καὶ τεθρεμμένον τροφῷ ἀράμιον, Νύμφην τῆ Πατρὸς περικαλλῆ, ὅθεν ἐχρημάτισας, καὶ τῆ Λόγου Γεννήτρια.

Πρὸς σέ μου τὸν ἄπασαν, ἐλπίδα Κόρη τίθημι. πρὸς τὸ οἰκτίρμονά σε καταφεύγω. βλάβης δαιμόνων δεῖξόν με ἀμέτοχον, τῷ καταπεπωθεῖσάν μου ψυχῶν, καὶ ἁγιασθεῖσαν, ἡδονῶν ἐπικλύσεσιν.

Ἄλλος. Γνα τί με ἀπώσω.

Γεωργίᾳ τῆ λόγου, ἄμπελος κατάκαρπος ἐδείχθης Ὁσία, ἀρετῇ πεπείρας, καὶ μεγίστας προσφέρουσα βότρυας, σωτηρίας οἶνον, πνευματικὸν βλύζοντας Πάτερ, καὶ πιστῶν τὰς καρδίας ἀφραίνοντα.

Ἡ περίδοξος Ῥώμη, Πάτερ ἐξ Ἑώας σε λαμπτῆρα ἄδυτον, δεξαμένη πίστει, ἐφωτίσθη σεπτοῖς σου χαρίσμασι. τὸν Χριστὸν γὰρ εἶχες, ἐν τῇ ψυχῇ καθάπερ φέγγος, τοὺς ὁρῶντάς σε Πάτερ αὐγάζοντα.

Μὸν ἐφέρπουσα ἄφνω, καὶ παρατηροῦντάσι πτέρναν Γρηγόριε, ἐληγόρεις θεία, ἐν ὁδοῖς τῆς ζωῆς πορευόμενος, ὡς Θεοῦ θεράπων, ὡς ἐντολῶν αὐτοῦ ἐργάτης, ἐθαυμάτωσας θερμὲ τῷ Πνεύματος.

Θεοτοκίον.

Προστασία τῷ Κόσμῳ, Μήτηρ Ἀ̓παρθένε σύμε κυβέρνησον, καὶ ὁδήγησόν με, εἰς ἀθεῖαν ὁδὸν ἐκτὸς θυμοῦ, πρὸς δικαιοσύνης, τείνας ὀρθὰς τὸν λογισμόν μου, τῆς ψυχῆς τὰς πορείας ἀθωώσα.

Ἄλλος. Ὁ φωτίσας τῇ ἐλλάμψει.

Φωτοφόρος ὡς λυχνία παμμάκαρ γενόμενος, τῆς ἁγίας Ἐκκλησίας ἐφάρμης ὑπέρμαχος, καὶ Θεοῦ ἐτράφωσας, τῷ ἐκ Παρθένου Παναγίας, γεννήσιν ἄτρεπτον ἐνδοξε.

Πλῶ σαρκώσει τῆ Θεοῦ ἐκ Παρθένου τὸν ἔνδοξον, τῇ δογμάτων ἐν σφενδόνῃ ἐνθεὶς ὡς ἀλλόφυλον, Γολιὰθ κατέβαλες, τῆ Νεοφεῖ τὸν θρασέα, γυμνῶν ὡς πάλαι ὁ Θεῖος Δαβίδ.

Πῶν τῆ Παύλου διδαγμάτων ὑπάρχων ἀπλέως, καὶ τῷ τότε κατιδὼν ὀπτασίαν παφάρισε, Ἐλισσαῖος δεύτερος, ἁπτεφαίνθης χρῖσμα Θεῖον, ἱερωσύνης χριθεὶς μυστικῶς.

Θεοτοκίον.

Οὐ σύγχυσιν, ὑφυρμὸν ἐν τῇ μήτρᾳ ἐδέξατο, τῆς Παρθένου ὁ Θεὸς ἐν σαρκὶ προερχόμενος. ἀλλ' ὃν ἐν μεμένηκε, Θεὸς καὶ ἄνθρωπος ἀτρέπτως, ταῖς ἐνεργείαις δεικνύμενος.

Ὠδὴ, ς'. Ὁ Εἱρμός.

,, Πλῶ θείᾳ ταύτῃ καὶ παντίμῳ, τελεσθῆ-
,, τες ἑορτῇ οἱ Θεόφρονες, τῆς Θεο-
,, μήτορος, δεῦτε τὰς χεῖρας κροτήσωμεν,
,, τὸν ἐξ αὐτῆς τεχθέντα Θεὸν δοξάζον-
,, τες.

Τρωθέντες τῇ θείᾳ χάριτι, οἱ θεῖοι τῆς Παρθένου γεννήτορες, ταύτῃ ὡς ὤμοσαν, Περιστερὰν εἰς τὰ ἅγια, ἀνατεθήναι πόθῳ ἀπατιθέασιν.

Ἕν τῆς μελλούσης εἰσδέχεσθαι, τὸ φῶς τὸ ἐκ φωτὸς προερχόμενον, φῶτα ὑφάπτουσαι, Κόραι σεμναὶ προπορεύονται, φωτοειδῆ πρὸς θεῖον Ναὸν χορεύουσαι.

Τὸ πλήρες δόξης παλάτιον, τὸ μέγα Προφητῶν περιέχημα, Θρόνος ὁ ἅγιος, ἔνδον εἰς ἅγια τίθεται, τῷ Βασιλεῖ τῶν ὅλων ἑτοιμαζόμενος.

Ὑμνῶσου Κόρη τὸν σύλληψιν, ὑμνῶ σου τὸν ἀπόῤῥητον γέννησιν, ὑμνῶ τὸν σκέπωσιν, βλάβης δι' ἧς πάσης ῥύομαι, πρὸς τὸν σὸν γαλήνιον κατεπειγόμενος.

Ἄλλος

Ἄλλος. Ἱλάσθητί μοι Σωτήρ.

Τῇ νεύσει τῇ πρὸς Θεὸν, θεούμενος ἱερώτατε, θεωριῶν μυστικῶν, καὶ θείων ἐλλάμψεων, Προφήτης ὡς ἔνθεος, ὡς Θεοῦ θεράπων, ἠξιώθης θείᾳ χάριτι.

Ἡσύχως σου τὴν ζωὴν, διατελέσας Γρηγόριε, θορύβων βιωτικῶν, ἐδείχθης ἀνώτερος, παθῶν ὑψηλότερος, καὶ τῆς γῆς ἁπάσης, ξένος τε καὶ παρεπίδημος.

Ὡς ἔσοπτρον καθαρὸν, τὴν θείαν αἴγλην ἐπλούτησας. ὡς σκεῦος δὲ ἱερὸν, Ναὸν κατεκόσμησας, τὸν ἄνω Γρηγόριε, καὶ τῶν πρωτοτόκων, Ἐκκλησίαν κατεφαίδρυνας. Θεοτοκίον.

Μαρία τὸ καθαρὸν, τοῦ Βασιλέως παλάτιον, γενόμενόν με λῃστῶν, ἀκάθαρτον σπήλαιον, εὐχαῖς σου καθάρασα, τοῦ ἐκ σοῦ τεχθέντος, Ναὸν ἅγιον ἀνάδειξον.

Ἄλλος. Ἐκύκλωσεν ἡμᾶς.

Μεγάλης ἐπιβὰς καθέδρας Ὅσιε, μεγίστοις κατορθώμασι, κατεκόσμησας αὐτὴν θεοπρεπῶς. ὅθεν συνελθόντες εὐφημοῦμέν σε, Ἀρχιερεῦ, μεγαλοφώνως Πρόκλε ἀοίδιμε.

Ὡς ἄλλην Κιβωτὸν τῇ Ἐκκλησίᾳ Χριστοῦ, τὸ σῶμα τοῦ παμμάκαρος, Χρυσοστόμου ἐναπέδωκας ταῖς σαῖς, Πρόκλε παραινέσεσι καὶ εὔφρανας, τῶν εὐσεβῶν, χοροστασίας τῇ παρουσίᾳ αὐτοῦ.

Κυκλώσαντας ὡς θῆρας ἐξεδίωξας, αἱρέσεων τῆς ποίμνης Χριστοῦ, τοὺς προμάχους ἐν τῇ ῥάβδῳ νοητῶς, τῶν σῶν διδαχῶν Πρόκλε μακάριε, πρὸς δὲ νομὴν, ὀρθοδοξίας τὴν ποίμνην ἴθυνας. Θρ.

Ὡράθης Χερουβὶμ Θεοχαρίτωτε, Παρθένε ὑπερέχουσα. τὸν ἐπ' ὤμων γὰρ ὀχούμενον αὐτῶν, ἄχραντε ἀγκάλαις σου ἐβάστασας. ὅθεν ἀεὶ, σὲ Θεοτόκε πάντες δοξάζομεν. Ὁ Εἱρμός.

Ἐκύκλωσεν ἡμᾶς ἐσχάτη ἄβυσσος.

Κοντακίον Προεόρτιον. ἦχος, δ'.

Ἐπεφάνης σήμερον.

Εὐφροσύνης σήμερον, ἡ Οἰκουμένη, ἐπληρώθη ἅπασα, ἐν τῇ εὐσήμῳ Ἑορτῇ, τῆς Θεοτόκου κραυγάζουσα· Αὕτη ὑπάρχει, σκηνὴ ἐπουράνιος. Ὁ Οἶκος.

Ὁ τῶν ἁπάντων Ποιητὴς, ὁ Πλάστης καὶ Δεσπότης, ἀῤῥήτῳ εὐσπλαγχνίᾳ καμπτόμενος, καὶ μόνῃ φιλανθρωπίᾳ τῇ αὐτοῦ, ὅν περ ταῖς οἰκείαις κατεσκεύασε χερσὶν, ἰδὼν πεσόντα ᾤκτειρε, καὶ ἀναστῆναι τοῦτον εὐδόκησε, πλάσει θειοτέρᾳ καὶ κενώσει τῇ ἰδίᾳ, ὡς ἀγαθὸς φύσει, καὶ ἐλεήμων. Διὸ τὴν Μαριὰμ μεσίτιν λαμβάνει, ὡς Παρθένον καὶ Ἁγνὴν τοῦ μυστηρίου, ἐκ ταύτης τὸ ἡμῶν φορέσαι ὡς ἠβουλήθη. Αὕτη ὑπάρχει Σκηνὴ ἐπουράνιος.

Τῷ αὐτῷ Μηνὶ, Κ'. Μνήμη τοῦ Ὁσίου Πατρὸς ἡμῶν Γρηγορίου τοῦ Δεκαπολίτου.

ᾗ. Χάραξ κύκλωσου καὶ μετὰ ζωῆς τέλος, Ἡ ζῶσα Γρηγόριε τοῦ Θεοῦ χάρις.

Εἰκάδι Γρηγόριος κεκλήσκετο εἰς πόλον ἀρμώ.

Οὗτος ὑπῆρχεν ἐκ τῆς Ἰσαυρίας Δεκαπόλεως, Υἱὸς Σεργίου καὶ Μακαρίας, ἐπὶ τῶν χρόνων τῶν δυσσεβῶν Εἰκονομάχων. Ὀκταετὴς δὲ γενόμενος, εἰς ἐκπαίδευσιν τῶν ἱρῶν γραμμάτων δίδοται. Καὶ τούτων πλήρης γεγονὼς, ταῖς Ἐκκλησίαις ἐσχόλαζε. Τῆς ἥβης δὲ αὐτῷ ἐπανθούσης, πρὸς γάμον ὑπὸ τῶν γονέων ἐκδοθῆναι παρεσκευάζετο. Ὁ δὲ λάθρᾳ φυγὼν, καὶ μάλιστα διὰ τὴν ἐπικρατοῦσαν τῶν Εἰκονομάχων αἵρεσιν, περιήρχετο τόπον ἐκ τόπου τοὺς Μάρτυρας κατασπαζόμενος, καὶ τὴν ὠφέλειαν παρ' ἑαυτῷ θησαυρίζων, τῇ ἐγκρατείᾳ καὶ σκληραγωγίᾳ ἑαυτὸν καθυποβαλὼν, πολλαῖς κακώσεσι, καὶ μάλιστα δαιμονικαῖς ἐπάλαισεν. Ὅθεν καὶ μέγας θαυματουργὸς ἀνεφάνη. Οὗτος καὶ τὴν Ἀσίαν κατέλαβε, καὶ πρὸς τὸ Βυζάντιον ἐπεδήμησε, τῆς ὁμολογίας ἔχων ἐπιθυμίαν ἐπιτυχεῖν. Ἐκεῖθεν πρὸς τὴν Ῥώμην ἀπέπλει. καὶ πᾶσαν τὴν Ἑσπέραν περινοστησάμενος, καὶ θαύμασι καὶ τέρασι πολλοὺς καταπλήξας, πάλιν πρὸς τὸ Βυζάντιον ἔρχεται. Εἶτα πρὸς τὸ τοῦ Ὀλύμπου μέρος μετέστη, καὶ εἰς τὸ ὄρος ἀνῆλθε, καὶ πανυ ἐκτακεὶς καὶ ὑδεριάσας, τῇ φωνῇ

μόνῃ

μόμη τοῖς εἰδώλοις ἐγκωμίζετο. Πάλιν δ' ἀπὸ τῆς ὄρους κατελθὼν τὴν Θεσσαλονίκην κατέλαβεν. Ἐκεῖθέν τε προσβαλὼν τῷ Βυζαντίῳ, καὶ Συμεῶνα τὸν Ὁμολογητὴν καὶ Θεοφόρον ὑπὲρ τῆς Ἁγίων Εἰκόνων εὑρὼν ἐγκεκλεισμένον, καὶ πολλὰ καθικετεύσας καὶ προσκυνήσας, ἐν εἰρήνῃ ἐκοιμήθη, πολλὰ καὶ διάφορα μυρίσματα ἐξ ἀνθρώπων ἀπελάσας.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τῶν ἐν Ἁγίοις Πατρὸς ἡμῶν Πρόκλου, Ἀρχιεπισκόπου Κωνσταντινουπόλεως. Ὃς ἐχθρὸς γέγονε μαθητὴς τοῦ μακαρίου Ἰωάννου τοῦ Χρυσοστόμου, καὶ τοῦ Θρόνου διάδοχος.

Ἡ. Ἔσχε Πρόκλος ἡ ἀρίστη μύσται, Καὶ σὲ ἄνδρα χαίρομεν σοφὸν Χρυσολόγον.

Τῇ αὐτῇ ἡμέρᾳ, Ἄθλησις τοῦ Ἁγίου Μάρτυρος Δασίου, τοῦ ἐν Ῥοδοστόλῳ.

Ἡ. Ἔμελλε ὁ Δάσιος ἀθλήσας ξίφει, Ἀθλητικὸν στέφανον ἁρπάσειν ἐκ ξίφους.

Οὗτος ὢν ἐπὶ Μαξιμιανοῦ, ἐν Πόλει Ῥοδοστόλῳ, τῷ πλησιάζοντι τῷ Ἴστρῳ ποταμῷ. Ἐν δὲ τῇ αὐτῇ Πόλει τοιοῦτον ἔθος ὢν τοῖς Ἕλλησιν, ἐπιτελεῖν τῷ Κρόνῳ ἑορτὴν ἐπισήμως. Πρὸ δὲ τριάκοντα ἡμερῶν τῆς τοιαύτης μυσαρᾶς ἑορτῆς, ἐπελέγοντο τιμὴν τῷ στρατιωτῷ μέσου καὶ ἀνεδεῖν, ἕως ἂν τυχὸν ἀυτὸν εἰς θυσίαν, ἐνδύοντές τε αὐτὸν ἱμάτια Βασιλικὰ, καὶ προσέποντες ἀποπλήρωσιν πᾶσαν ἐπιθυμίαν αὐτῷ, ὡς μὴ τριάκοντα ἡμέρας μέλλοντες αὐτὸν ἐπισφάξειν τῷ βωμῷ τοῦ Κρόνου. Ἐλθόντος δὲ τοῦ κλήρου καὶ ἐπὶ Δάσιον τὸν στρατιώτην, καὶ τῷ συστρατιώτῃ περιφανῶν αὐτῷ, καὶ πρὸς τὰ ὁμοῖα ἐκβιαζομένῳ, ἐκεῖνος ἀγαθῇ λογισμῷ χρησάμενος, ἐσκόπησε τὸ συμφέρον, εἰπὼν ὅτι ἐπεὶ μέλλω θανεῖν, κρεῖττόν μοι δοκεῖ ὡς Χριστιανὸς ὑπὲρ τοῦ Χριστοῦ ἀποθανεῖν. ὅθεν παραστὰς τῷ τοῦ Ἄρχοντος βήματι, παῤῥησίᾳ τὸν Χριστὸν ὡμολόγησε. Διοκλητιανῷ δὲ καὶ Μαξιμιανῷ τοῦτο μαθόντων, πρὸς αὐτὸν ἦλθον. καὶ παῤῥησιασάμενος τὴν ἀσέβειαν, προσάξεσι τῶν πολλὰ τιμωρηθεὶς, τελευταίου τὴν διὰ ξίφους ἐδέξατο τελευτήν.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τῶν Ἁγίων Μαρτύρων, Νικάνδρου Ἐπισκόπου, καὶ Γωνιὴφ Μαθητοῦ αὐτοῦ, καὶ ἑτέρων σὺν αὐτῷ τελειωθέντων ἐν Περσίδι.

Ἡ. Θηγάνεσιν ἅμφω Νικάνδρου, Γωνιὴφ ἅμα,
Φόνῳ μαχαίρας, ὡς Ἀπόστολος λέγει.

Ἡ. Σὺν Ἰωαννῇ καὶ Σαβωρίῳ λίθοις,
Γάνιον κτείνουσιν οἰκέται λίθῳ.

Τὸν Γαθαζὲτ καὶ σὺν Ἄλλοις τρεῖς ἅμα,
Λόγχαις καταντείνουσιν ἐχθροὶ Τριάδος.

Θέκλαν, Βασθαῦ, Δομαχίδα Παρθένους,
Ἄθλος ξίφους ἔδεξεν ἀθλοπαρθένους.

Τούτων ὁ μὲν Νικάνδρος Ἐπίσκοπος ὢν, ἐτῶν ὀγδοήκοντα, ὁ δὲ Γωνιὴφ καὶ αὐτὸς τῇ τοιαύτῃ ἀξίᾳ τετιμημένος, ὑπῆρχεν ἐτῶν ὀγδοήκοντα ἑπτά. Μεθ' ὧν καὶ ἕτεροι Ἐπίσκοποί τε καὶ Ἱερεῖς, καὶ τῆς ἐκ τοῦ ἰδιωτικοῦ τάγματος, καὶ παρθένοι γυναῖκες Ἀσκήτριαι, διαφόρως δοκιμασθέντες, καὶ ἐν διαφόροις κολάσεσιν ἐταθέντες, τὸν τοῦ Μαρτυρίου ἀπηνέγκαντο στέφανον.

Τῇ αὐτῇ ἡμέρᾳ, Τῶν Ἁγίων Μαρτύρων Εὐσταθίου, Θεοπεμπτοῦ, καὶ Ἀματολίου.

Ἡ. Κάρας τριῶν τεμνουσι μικρῶν οἱ πλανῶν, Οὐδὲ εἰς μεκρὸς δεκημυῶτες οἶκτον. ὦ πλανῶν.

Οὗτοι ὑπῆρχον ἐπὶ τῆς βασιλείας Μαξιμιανοῦ, Πατρίδα μὲν ἔχοντες τὴν τῆς Γαλατῶν, Πόλιν δὲ Γάγγραν, Φιλοθέου καὶ Εὐσεβείας ὄντες τέκνα. Ὧν ὁ μὲν Πατὴρ ἐκ τῆς τῆς Γαλατῆς ὥρμητο, ἡ δὲ Μήτηρ ἐκ Νικομηδείας, τὴν θρησκείαν ἀμφότεροι Ἕλληνες. Τεχθέντων δὲ τούτων, καὶ καλῶς αὐξηθέντων, ὁ μὲν Εὐσάθιος γράμμασιν ἐσχόλαζεν· ὁ δὲ Θεοπεμπτος, καὶ Ἀματόλιος, τὸ τοῦ Πατρὸς μετήρχοντο ἐπιτήδευμα, βερισπράκτης γὰρ ἦν. Ἐπεὶ δὲ ὁ Φιλόθεος μετὰ τῶν Τέκνων Ἀματολίου, ἐξ Ἀματόλου πορείαν πρὸς τὴν Νικομήδειαν ἐποιοῦντο, καὶ Λυκιανῷ τῷ Πρεσβυτῇ καὶ Διδασκάλῳ χρῶντο ὁδὸν σωσώδυσαν, ταῖς αὐτοῦ παραινέσεσιν εἴξαντες, ἐπείσθησαν, καὶ ἀμφότεροι ἐβαπτίσθησαν. Καταλαβόντες δὲ τὴν

Νίκαν

Νικομήδειαν, καὶ εἰς ὁμιλίαν τῶ μακαρίᾳ Ἀ μθίμῳ γεμόμενοι, Εὐςάθιος, ἓ Θεοπέσιος ἐβαπτίθησαν. Καὶ ὁ μὲν Πατὴρ αὐτῶν Φιλόθεος, Πρεσβύτερος, ὁ δὲ Τἱὸς αὐτῦ Εὐςάθιος, Διάκονος κεχειροτόνηται. Οὐ πολὺ τὸ ἐν μέσῳ, ἓ τῆ γονέων τὸν βίον ἀπολιπόντων, διαβάλλονται τῷ Μαξιμιανῷ ὡς Χριςιανοὶ, καὶ τυφθέντες βάκλοις, φρουρᾷ ἐγκλείονται. Ἐν ᾗ Ἀ γγέλε θεία ἐπιςασία τῆ δεσμῶν ἀφέθησαν, καὶ βρώσεως μετέσχον. Τῇ δὲ ἑωθεν, θηρίοις διαφόροις προσαναλίσαντες, διέμειναν ἄτρωτοι. Ὅθεν καὶ ἐκδότους αὐτὺς λαβὼν ὁ Ἀ μπώμιος, καὶ τὸν Νίκαιαν καταλαβὼν, ποικίλαις ὑπέβαλε κολάσεσιν. Ἀ μαρτῶνται γὰ ἐπὶ ξύλε, καὶ σιδηροῖς ὄμυξιν ἐπὶ τοσοῦτον ξέονται, ὡς τὸν γὸν πᾶσαν τῷ αἵματι μολυνθῆναι, καὶ εἱρκτῇ ἀπορρίπτονται, καὶ πάλιν θεία ἓ Ἀ γγελικὴ ἐπιφανεία, καὶ ὁ πόνος τῆ πληγῶν ἠφανίθη, καὶ τὰ σώματα αὐτῶν ὑγιῆ ἀποκατέςη. Ταῦτα ἰδὼν ὁ αἱμοβόρος ἐκεῖνος, τὸν διὰ ξίφους ἀπόφασιν ἀπεφἰνατο κατ' αὐτῶν, καὶ ἐρχόμενοι ἐν τῷ τῆς τελειώσεως τόπῳ, αὐθημερὸν τὰς ψυχὰς αὐτῶν, ἐν εἰρήνῃ τῷ Θεῷ ἀπέδωκαν. Ὅθεν οἱ δήμιοι φόβῳ διὰ τὸν Τύραννον συνεχεθέντες, μεκρῶν ὄντων τῶν σωμάτων, τὰς κεφαλὰς ἀπέτεμον.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τῦ Ἁγίε Θεοκτίςε Πατρικίε, τῦ θέσει Εὐνύχε. ὃς ἐπὶ Θεοδώρας Αὐγύςης.

Τῶν αὐτῶν ἁγίων πρεσβεῖαις.

Ὠδὴ, ζ. Ὁ Εἱρμός.

„ Οὐκ ἐλάτρευσαν τῇ κτίσει οἱ Θεόφρο-
„ νες, παρὰ τὸν κτίσαντα, ἀλλὰ πυρὸς
„ ἀπειλὴν, ἀνδρείως πατήσαντες, ἔχαι-
„ ρον ψάλλοντες· ὑπερύμνητε, ὁ τῶν Πα-
„ τέρων Κύριος, ἓ Θεὸς ἀλογητὸς εἶ.

Φωτοφόρως ὡς Ἡλίου εἰσδέχεται, Ναὸς ὁ ἅγιος, ἐνδον ἀγράπτως αν, ἀκτῖνας τοῖς πέρασι, σωτηριώδεις Ἁγνὴ, ὑπεράγιον, Ναὸν γενέσθαι μέλλουσαν, τῦ Τἱῦ Θεῦ Παρθένε.

Χεῖρας ἅπαντες κρατήσατε λυτρώσεως, σύμβολα φέρουσαν, τὴν Ἀ πειρόγαμον, ὁρῶντες Ἀ γγέλε γὰ, χειρὶ ἐκτρέφεται, τὸν ἄρτον, ἄρτον ἡμῖν ὡς μέλλουσαν, ἀπορρήκτως ἀποτίκτειν.

Ψυχαὶ ἅπασαι Δικαίων ὑποχθόνιοι, ἀναγγελίζεσθε, Περιςερὰ ἡ λυσῖν, κατὰ πάντων φέρουσα, κατακλυσμὸν μοντῶ, πεφαιδρῶται, ἓ εἰς ἁγίων ἅγια, ἀνεβᾶς πεισχορεύει.

Ὡς ὡραία τὸν ὡραῖον ἀπεκύησας, τὸν ἀμορφίαν ἡμῶν, προσεπαγόμενον μῦ, εἰς πρώτην ἐμφέρειαν, Κόρη παράμωμε. ᾧ καὶ ψάλλομεν· ὁ τῶν Πατέρων Κύριος, ἓ Θεὸς ἀλογητὸς εἶ.

Ἄλλος. Θεῦ συγκατάβασιν.

Δακρύων προχύσεσι, τῆς ἁμαρτίας τὸ πῦρ κατέσβεσας, ἀπαθείας δὲ ὕδωρ, ἓ ἰαμάτων καθαρὰ ῥεύματα, τοῖς μελῳδῦσι πηγάζεις Γρηγόριε· ἀλογητὸς ὁ Θεὸς, ὁ τῶν Πατέρων ἡμῶν.

Φλογίνῳ ἐν ἅρματι, σεπτῆς ἀγάπης ἓ τελειότητος, ἐπιβὰς πρὸς τὸ ὕψος, ᾠκειώθης ἐν ᾧ ἐκέκτησο, τὸ σὸν κραυγάζων θεόφρον πολίτευμα· ἀλογητὸς ὁ Θεὸς, ὁ τῶν Πατέρων ἡμῶν.

Παθῶν κατεκοίμησας, τὰς τερπνότητας ἀλύπητος πᾶσι. κοιμηθεὶς δὲ τὸν ὕπνον, τὸν τοῖς ἁγίοις Πατέρ ἁρμόζοντα, πρὸς φῶς μετῆλθες κραυγάζων Γρηγόριε· ἀλογητὸς ὁ Θεὸς, ὁ τῶν Πατέρων ἡμῶν.

Θεοτοκίον.

Νεκρὸν χθηματίσαντα, τῇ ἁμαρτίᾳ ἓ ἀπολλύμενον, τῷ ζωῷ ἡ τεκῦσα, Ἁγνὴ Παρθένε ζώωσον σῶσόν με, ἓ τῆς γεέννης ἁρπασον ψάλλοντα· ἀλογητὸς ὁ Θεὸς, ὁ τῶν Πατέρων ἡμῶν.

Ἄλλος. Σὲ μοντῷ, Θεοτόκε κάμνον.

Σῶμα ἓ ψῦχ, ἓ ψυχῷ ἐκάθηρας, τῇ ἀφαιρέσει τῶν παθῶν, Ἱεράρχα Πρόκλε σοφέ. ὅθεν ἐδογμάτισας, σῶμα καὶ ψυχὴν ἓ μῦ, τὸν ἐκ Παρθένε τεχθέντα Θεὸν, δίχα τροπῆς διὰ τὸ σῶσαι, ἡμᾶς ἀναδέξαμενον.

Πῦρ

Πύρ μοντὸν, ταῖς φρεσὶν αὐάψας σου, τὴν φρυγανώδη καὶ σαθρὰν, Νεφοείαν τῆς δυσσεβοῦς, αἵρεσιν κατέφλεξας. ὁθεν σου δεόμεθα, τὰς φρυγανώδεις ἡμῶν ἡδονὰς, ταῖς πρὸς Θεὸν ἱκεσίαις, συμφλέξας ἀποκάθαρον.

Σὺ πρὸς Χριστὸν, κεκτημένος Ἅγιε, τὴν παῤῥησίαν τῆς ἐντεύξεως, ἀφημάρτητος μελῳδικῶς, μιμήσω τὴν ἔνδοξον, πάσης περιστάσεως, ἐκλυτρωθῆναι ἱκέτας, τοὺς αἰνετὸν ἀυμνήσαντας, Θεὸν Πρόκλε θεσπέσιε.

Θεοτοκίον.

Φέρεις Θεὸν, σάρκα περικείμενον, ἐν ταῖς ἀγκάλαις σου Ἁγνὴ, ὥσπερ θρόνος Χερουβικὸς, φέρονται τῷ ῥήματι, πάντα τῆς δυνάμεως. ᾧ μελῳδοῦμεν καὶ λέγομεν· ὁ αἰνετὸς τῷ Πατέρων, Θεὸς καὶ ὑπερένδοξος.

Ὠδὴ, ἡ.

Ἡ ἀκροστιχὶς, τοῦ Ἀλφάβητον.

Ἔχει δὲ ἐν ἑκάστῳ τῷ Τροπαρίῳ αὐτῆς στοιχεῖα τέσσαρα. Ὁ Εἱρμός.

„ Τέκνα Κόρη Παρθένε Ἁγνὴ, εἰπάτω
„ δὴ ὁ Γαβριὴλ, βυλῇ τῇ ψήφῳ ἀρ-
„ χαίαν ἀληθεύων, γεγὼς πρὸς ὑποδοχὴν
„ ἑτοίμην Θεοῦ. Διὰ σοῦ γὰρ ὁ ἀχώρητος βρο-
„ τοῖς σωτὴρ ἐφάνη. διὸ καὶ χαίρων
„ βοῶ· ἀλλογεῖτε πάντα τὰ ἔργα Κυρίου
„ τὸν Κύριον.

Τέκνα σώσεις πρεσβύτα σοφὲ, τῷ Ζαχαρίᾳ Ἄμμα φησί. βυλήσει θείᾳ ᾧ ἔσχον παῖδα σεμνῷ, γεννᾶται ψυχῇ ὑπόδεξαι. Δι' αὐτῆς γὰρ ἔσαι λύτρωσις, εἰς Ναὸν τὸν ἅγιον, αὐάξει ταύτην βοῶν· ἀλλογεῖτε, πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

Εὐλογητὸς μόνος Κύριος, ἐβόησε ὁ Ἱεράξ.

Ζωῆς εἰσόδους μοι ὑποφαίνεις σαφῶς, Ἡμῖν φανερώσας ὑπὲρ μέλει οἰκεῖα, Θεοχώρητον Παλάτιον, Χριστὸς ὁ Βασιλεὺς τῶν πάντων. πρὸς ὃν βοᾷ πᾶσα γῆ· ἀλλογεῖτε, πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

Ὦδε Πρεσβύτα σοφώτατε, ἡ Ἄμμα ἔφησεν ἀλαβῶς, Καλλίστῳ παῖδα, ᾧ δέδωκέ μοι Θεὸς, Λαμπρῶς ὑποδέχου καὶ προφήτευε, Μάρμα μέλλουσαν εἰς πράγματα, προφέρειν τὰ κηρύγματα, μεθ' ὧν βοᾷς Προφήτῃ· ἀλλογεῖτε, πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

Νῦν ἔγνων γνώσαι σαφέστατα, προφρόνως ἔφη ὁ γηραιός. Ξύλον ἐν μέσῳ ὡς ἐκβλαστάσαν ἐκ σοῦ. Ὃν περ ἔξαυθήσει θεῖον ὄντως καρπὸν, Παραδόξως εἰσοικίζονται, τοὺς βροτοὺς ἐξωθουμένους φθορᾶς, ἀναβοῶντας χαρᾶς· ἀλλογεῖτε, πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

Ῥητῶν ἀῤῥήτων μυήσεως, ἡ σὺ ψυχὴ Κορησεμνὴ, Σαφῶς ὑπάρχει ὁ Πρέσβυς ἔφη τεθαῤῥηκώς. Τὸν θεῖον ἐδὼ Παρθένε ἥκεις Ναόν. Τ' ἀγγέλου τεθρόμηκα γόν, βυλῆς μεγάλης Ἄγγελον, κυήσεις ᾧ μελῳδεῖ· ἀλογοῦμεν, πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

Φωτίσω σοι ἀδόμενα Κόρη Ἁγνὴ, περιχαρῶς τῷ Γαβριὴλ. Χαῖρε τῆς πάντων αἰτία μόνη χαρᾶς. Ψυχῶν χαῖρε καθαρτήριον, Ὡς τέξασα τὸν λύτρωσιν ἡμῶν καὶ τὴν ἀνάπλασιν, τῷ μελῳδοῦντων αὐτῷ· ἀλογεῖτε, πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

Ἄλλος. Ἑπταπλασίως κάμινον.

Παῖς πρὸς Θεὸν δεήσεσιν, ἐπιμόρως ἐθήσαμενος, ἐλήφθης παμμάκαρ, τὸ πρὶν ὡς αἰτήμενον. μυκτὸς γὰρ καθάδοντι, ἐπιφανεὶς σοι Ἄγγελος, μάχαιραν φλογίνην, ἐπιδίδωσι πάθη, ἐκτέμνεσθαι καρδίας, καὶ πυρίσε αὔλῳ, καθαίρεσθαι καὶ δόξῃ, φωτίζεσθαι ἀῤῥήτως.

Ὁλολαμπὴς ὡς Ἥλιος, μοναῖς αἰγλοφόροις, φέγγεσι ἀρετῶν περιφανῶς Γρηγόριε, θαυμάτων τε λάμψεσι, περιαυγάζων πᾶσαν τὴν γῆν, καὶ φωταγωγῶν, τοὺς εὐσεβῶς μελῳδοῦντας· οἱ παῖδες εὐλογεῖτε, ἱερεῖς ὑμνεῖτε, λαὸς ὑπερυψοῦτε, Χριστὸν εἰς τοὺς αἰῶνας.

Ἀγγελικῆς ἀκήκοας, ὑμνῳδίας Γρηγόριε, ἔτι ἐνδημῶν, ἐν τῷ θνητῷ σου σώματι. ὑφ' ἧς τὰς αἰσθήσεσσι, τὰς τῆς ψυχῆς σαφῶς ἠδωθείς, καὶ Θεοειδὴς καὶ φωταγὴς ἐγνωρίσθης, κραυγάζων τῷ Δεσπότῃ· ἱερεῖς εὐλογεῖτε, λαὸς ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Θεο-

Θεοτοκίον.

Ἡ τὸν Κριτὴν καὶ Κύριον, ὑπὲρ λόγον κυήσασα, τοῦτον ὡς Υἱόν σου, Παναγία αἴτησαι, ἐν ὥρᾳ τῆς κρίσεως, τῆς καταδίκης καὶ τοῦ πυρὸς, σκότους ἀφεγγοῦς, καὶ τοῦ βρυγμοῦ τῶν ὀδόντων, λυτρώσασθαι τοὺς πίστει, εὐσεβῶς μελῳδοῦντας· λαὸς ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Ἄλλος. Ἐν καμίνῳ Παῖδες Ἰσραήλ.

Ὡς χωνείᾳ τῇ φωτολαμπεῖ, πανένδοξε ἀγνείᾳ, τὰ πάθη τὰ τῆς σαρκὸς, ἀποκαθάρας ὡς χρυσὸς, τοῖς πᾶσιν ἐξήστραψας ἀναμέλπων· πάντα τὰ ἔργα Κυρίου, τὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Ὀργάνῳ παμμάκαρ τῆς σεπτῆς, σοῦ γλώττης θελγομένη, τῷ φθόγγῳ ἡ Ἐκκλησία, τοῦ Θεοῦ τὴν ἐπὶ γῆς, σωτήριον κάθοδον ἀναμέλπει, πᾶσι φωνοῦσα τρανῶς, καὶ ἐκβοῶσα· σὲ ὑπερυψοῦμεν, Χριστὲ εἰς τοὺς αἰῶνας.

Ἄυρα θεία ὤφθης ἀληθῶς, τὸν φθόγγον ἐνηχοῦσα, τοῖς πίστει προσδεχομένοις, τοῦ Θεοῦ τὴν πρὸς ἡμᾶς, σωτήριον σάρκωσιν θεῖε Πρόκλε, Πάτερ παμμάκαρ, καὶ τὴν τοῦ Νεστορίου, δυσσεβῆ ματαίαν, φωνὴν ἀποσοβοῦσα.

Θεοτοκίον.

Συντηρήσας σήμαντρα τῆς σῆς, Παρθένε παρθενίας, ἀλώβητα ὁ Δεσπότης, προεληλυθε Χριστὸς, ἐκ σοῦ ὑπὲρ ἐννοίαν εἰς τὸ σῶσαι, τοὺς βοῶντας· τὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Ὁ Εἱρμός. Ἐν καμίνῳ Παῖδες Ἰσραήλ.

Ὠδὴ, θ'. Ἧς ἡ ἀκροστιχίς. Γωσήφ.

Ὁ Εἱρμός.

„Ἅπας γηγενὴς, σκιρτάτω τῷ πνεύ-
„ματι, λαμπαδουχούμενος. πανηγυ-
„ριζέτω δὲ, ἀύλων νόων φύσις γεραίρου-
„σα, τὴν ἱεραὶ πανήγυριν τῆς Θεομήτο-
„ρος, καὶ βοάτω· χαίροις παμμακάριστε,
„Θεοτόκε Ἁγνὴ Ἀειπάρθενε.

Ἴδε τοῦ Θεοῦ, τὸ ὄρος τὸ ἅγιον, μετὰ λαμπάδων φαιδρῶν, ἔνδον εἰς τὰ ἅγια, βαδίζει λίθος ἐξ οὗ τμηθήσεται, καὶ τοὺς βωμοὺς καὶ ξόανα, δαιμονικὰ λεπτυνεῖ, τοὺς βροτοὺς δὲ, τούτους ἀπεργάσεται, καὶ ναοὺς καὶ σεπτὰ καταγώγια.

Ὤμοσε Θεὸς, καὶ νῦν ἐκπεπλήρωκε, φυλῆς Ἰούδα ἡμῖν, δοὺς τὴν Ἀειπάρθενον. ἧς ἡ κοιλία ξύλον βλαστήσει ζωῆς, θανατηφόρου βρώσεως, ἀπολυτρούμενον, τοὺς τὴν πτῶσιν, βρώσει ὑποκύψαντας, καὶ κλαπέντας ἀπάτῃ τοῦ ὄφεως.

Στόματι λαμπρῷ, ἡ Ἄννα ἐβόησεν ἐν τῷ Ναῷ τοῦ Θεοῦ· σοὶ προσανατίθημι, ἣν μοι παρέσχου Παῖδα ὦ Δέσποτα. ἐξ ἧς δι' οἴκτον ἄφατον, σωματοφόρος ὀφθεὶς, διασώσεις, Κόσμον ὅν περ ἔπλασας, μεγαλύνων αὐτὴν ὡς Μητέρα σου.

Ἤυγασεν ἰδοὺ, ἡμέρα σωτήριος, τοῖς ἐν νυκτὶ τῶν δεινῶν. πύλη ἐπουράνιος, Ναοῦ τὰς πύλας ἀναπετάσασα, μετὰ λαμπάδων πρόεισιν, ἔνδον εἰς ἅγια, ὑφ' ἁγίας, τρέφεσθαι δυνάμεως, εἰς ἁγίαν Θεοῦ κατασκηνώσιν.

Φώτισον Ἁγνὴ, ψυχῆς μου τὰ ὄμματα, φῶς ἡ κυήσασα. μὴ καταλαβέτω με, τῆς ἁμαρτίας σκότος βαθύτατον, μηδὲ βυθὸς καλύψῃ με τῆς ἀπογνώσεως. ἀλλ' αὐτή με, σῶσον καὶ κυβέρνησον, πρὸς λιμένα τοῦ θείου θελήματος.

Ἄλλος. Ἔφριξε πᾶσα ἀκοή.

Ἱδρῶσι τοῖς ἀσκητικοῖς, ἁμαρτίας ἐναπέσβεσας ἄνθρακας. καὶ οὐρανόθεν σαφῶς, πυρὸς ἐν εἴδει χάριν εἰσδέδεξαι, οὐ καταφλέγουσαν σοφὲ, μᾶλλον δὲ δροσίζουσαν, καὶ ἐν ἰσχύϊ σε, δυνατὸν κατὰ παθῶν ἀποφαίνουσαν.

Ὡς ῥόδον ταῖς ἀσκητικαῖς, Πάτερ ἠνθησας κοιλάσι Γρηγόριε, ὡς κρῖνον εὔοσμον. διὸ πηγάζει μύρον ἡδύπνοον, τὰ σὰ ὀστέα δαψιλῶς. ὀσμῆς ζωῆς πλήρεις γὰρ, αἱ σιαγόνες σου, ὡς φιάλαι ἀρωμάτων ἐδείχθησαν.

Σήμερον δῆμος σὺν ἡμῖν, Ἀσκητῶν τε καὶ Ὁσίων εὐφραίνεται, Πατριαρχῶν Προφητῶν, ἐπὶ τῇ μνήμῃ τῇ σῇ Γρηγόριε. συνεορτάζουσιν ἡμῖν, Ἀπόστολοι Μάρτυρες.

τυρες. μεθ' ὧν μνημόνευε, τῆς τιμίας σε πίστεως ἀξιάγαστε.

Ἡ θήκη σῶθα τὸ σεπτὸν, καὶ πολύαθλον σῶμα κατάκειται, θαυμάτων χάριν ἡμῖν, ἀπαντηγάζει Πάτερ Γρηγόριε, καθαγιάζουσα ἡμῶν, ψυχὰς τὰ σώματα, τῆς πλυτησαμένως σε, τὰ προστάτην τὰ θερμὸν ἀντιλήπτορα.

Θεοτοκίον.

Φωνῶ σοι τὸν τὸ Γαβριὴλ, οἱ πιστοὶ πεισχαρῶς προσφθεγγόμεθα. Χαῖρε Παράδεισε, ζωῆς τὸ ξύλον ἀφαβλαστήσασα. Χαῖρε ἡ λύσις τῆς ἀρᾶς, Μαρτύρων σεφάνωμα, Ὁσίων καύχημα, τὰ ἀνθρώπων ἀσεβῶν τὸ κραταίωμα.

Ἄλλος. Τύπον τῆς ἁγνῆς.

Τύπους τὰ σκιὰς παρέδραμες, καὶ τὴν ἀληθειαν Χριστὸν κατέρρησας, ἁγιασθεὶς διὰ λουτροῦ τὸ Βαπτίσματος, Ἱερώτατε χειροθεὶς ἱεράτατος. ὅθεν τὰ Θεοτόκον, τὸν τὸτον τέξασαν ἐκήρυξας.

Πρόπος ἱερὸς τὰ δόγματα, τὸ Χρυσοστόμου μάκαρ ἐμφερμηνεύσας, ζῆλόν τε ἀυτῦ τὸν ἱερὸν τὸν τῆς Πίστεως, ἐξηράξω δογμάτων σε πέλαγος, αἱρέσεων χειμαρρους, ἀποξηραίνοντας ἐν χάριτι.

Ἔστησον ἱερᾶς πρεσβείας σε, τὸ καθ' ἡμῶν κλυδώνιον ἐγειρόμενον, τὰ ἀπέλασον τὸν πειρασμὸν τὰ σκοτόμαιναν, καὶ ἀνθρώπων παντοίων τὸν κάκωσιν, ὡς ἔχων παῤῥησίαν, πρὸς τὸν Σωτῆρα καὶ Θεὸν ἡμῶν.

Θεοτοκίον.

Ὃν ἐν ὑπὲρ μὲν θαυμάτων σε. τὸν τῦ Θεῦ γὰρ Λόγον σάρκα γενόμενον, μόνη τέτοκας ὑπερφυῶς Μητροπάρθενε, τὸν τὰ σύμπαντα θείῳ βελήματι, σοφῶς διακρατῦντα, τὰ κυβερνῶντα τὰ συνέχοντα.

Ὁ Εἱρμός. Τύπον τῆς ἁγνῆς λοχείας σε.

Ἑξαποστειλάριον τὰ Ἁγίου Ἱερηγορίου.

Τῶν Μαθητῶν ἁρώτων σε.

Πλὴν σάρκα καθυπέταξας τῷ ποιήσαντι, τὰ ἄσκησας Θεοφρόνως. ὅθεν τὰ μετάρσιος γενόμενος, ἀπαραλλάκτως ἔλαβες, ἐν Οὐρανοῖς μετ' Ἀγγέλων, αἰνεῖν τὸν πάντων Σωτῆρα.

Ἕτερον τῦ Ἁγίου Πρόκλου.

Τοῖς Μαθηταῖς συνελθωμεν.

Ὡς ἀρετῶν ὁμότροπος, τῦ σοφῦ Χρυσοστόμου, τὰ τῆς ἐκείνου γέγονας, θρόνων ἐνδοξε Πρόκλε, διάδοχος Θεοκήρυξ, καθελὼν Νεστορίου, τῦ δυσσεβῦς τὴν αἵρεσιν, Θεοτόκον κυρίως, τὰ ἀληθῶς, τὴν Ἁγνὴν ἐκήρυξας τὰ Παρθενίου. μεθ' ἧς ὑπὲρ τῆς Ποίμνης σου, τὸν Χριστὸν ἐκδυσώπει.

Ἕτερον Προεόρτιον. Ὁμοιον.

Θεοῦ σοφίας τέμενος, τὰ ὑπέρτερον θρόνον, τῆς Χερουβὶμ ὑπάρχουσαν, τὴν ἁγνὴν Θεοτόκον, ὑποδέξασθαι ταύτην, καὶ σὺν ἡμῖν, ἅδε προεόρτιον τῇ Παρθενίῳ. ἧς ἕνεκεν Χριστὸς ὁ Κύριος, σαρκωθεὶς Κόσμον σώζει.

Εἰς τὸν ᾱ. τῆς Ἁγίων, ᾱ. ἦχ, ά.

Τῶν ὑραμίων ταγμάτων.

Δεῦτε πιστοὶ συνελθόντες, ᾠδαῖς τιμήσωμεν, τὴν ἐκ Μητρὸς ἀγόνου, παραδόξως τεχθεῖσαν, Θεύμυθον Μητέρα, τῦ Ποιητῦ, καὶ σὺν παρθένοις λαμπάσι τε, προσυπαντήσωμεν ταύτῃ ἐν τῷ Ναῷ, εἰσιούσῃ εἰς τὰ ἅγια.

ᾱ. Ἀπεμέχθησονται τῷ Βασιλεῖ.

Καθάπερ αἰθὴρ ποικίλα περιβαλόμενοι, ἐκ γονέων λειμώνων, τῆς τοῦ Πνεύματος Λόγου, ἐπαίνων τὰς ψυχὰς, χαρμονικῶς, τῇ Παρθένῳ συμπλέξωμεν, καὶ προεόρτιον τάτας δῶρον ἀυτῇ, ἐπταξίως προσκομίσωμεν.

ᾱ. Ἀπεμέχθησονται ἐν ἀφροσυνῃ.

Ὑπερεπιζέσασαι πύλαι, καὶ διαιρεθῶσαν, αἱ τῦ Ναῦ Κυρίου, τὰ τὸν οἶκον τῆς δόξης, τὰ μόνην ὑπερτέραν τῆς ὑραμῦ, ὑπὲρ μὲν λεχθεῖσαν, ὑποδεχεσθῶσαν χαίρουσαι τὰ Χριστὸν, τὸν Σωτῆρα ἀνυμνήσασαν.

Δόξα, τὰ νῦν, Ἰδιόμελον, ᾱ. ὁ αὐτός.

Γεωργίου Νικομηδείας.

Ἀγαλλιάσθω σήμερον, ὁ ὑραμὸς ἄνωθεν, τὰ αἱ Νεφέλαι ἀφροσυνῃ ῥαντίσασαν, ἐπὶ τὰ λίαν παράδοξα, μεγαλεῖα τῦ Θεῦ ἡμῶν. Ἰδὲ γὰρ ἡ πύλη ἡ κλ

Ἀμα-

Ἀνατολὰς βλέπουσα, ἀποκυηθεῖσα, ἐκ στείρας ἀκάρπου, ἐξ ἐπαγγελίας, καὶ τῷ Θεῷ ἀφιερωθεῖσα εἰς κατοίκησιν, σήμερον ἐν τῷ Ναῷ, ὡς ἄμωμος προσφορὰ προσάγεται. Ἀγαλλιάσθω ὁ Δαβὶδ κρούων τὴν κιννύραν. ἀπενεχθήσονται φησὶ τῷ Βαλεῖ Παρθένοι ὀπίσω αὐτῆς. αἱ πλησίον αὐτῆς ἀπενεχθήσονται, ἔσω ἐν τῇ Σκηνῇ τοῦ Θεοῦ, ἔνδον τοῦ ἱλαστηρίου αὐτοῦ, ἀνατραφῆναι εἰς κατοίκησιν, τοῦ πρὸ αἰώνων ἐκ Πατρὸς ἀῤῥεύστως γεννηθέντος, εἰς σωτηρίαν τῶν ψυχῶν ἡμῶν.

Ἡ λοιπὴ Ἀκολουθία τοῦ Ὄρθρου, καὶ Ἀπόλυσις.

Εἰς τὴν Λειτουργίαν τὰ Τυπικὰ, καὶ ἐκ τοῦ Κανόνος. Καὶ τὰ λοιπὰ, Ζήτει εἰς Γεράρχας.

Τῷ αὐτῷ Μηνὶ, ΚΑ'.

Ἡ ἐν τῷ Ναῷ Εἴσοδος τῆς Ὑπεραγίας Θεοτόκου. Ἐν τῷ μικρῷ Ἑσπερινῷ, εἰς τὸ, Κύριε ἐκέκραξα, ἱστῶμεν ϛι. δ'. καὶ ψάλλομεν ϛι. προσόμοια. ἦχος, α'.

Τῶν οὐρανίων ταγμάτων.

Ἐκ τοῦ Κυρίου λαβόντες, ἐπαγγελίας καρπὸν, Γωακεὶμ καὶ Ἄννα, τοῦ Θεοῦ τὴν Μητέρα, εὐπρόσδεκτον θυσίαν, ἐν τῷ Ναῷ, προσενήνοχαν σήμερον, καὶ Ζαχαρίας ὁ μέγας Ἀρχιερεὺς, εὐλογήσας ὑπεδέξατο.

Ἡ τῶν ἁγίων Ἁγία, ἐν τοῖς ἁγίοις οἰκεῖν, ἀξίως προσηνέχθη, ὡς θεόδεκτον θῦμα, καὶ ταύτης αἱ Παρθένοι, ταῖς ἀρεταῖς, ἐγκοσμούμεναι ἔμπροσθεν, λαμπαδουχοῦσαι προσέφερον τῷ Θεῷ, ὥσπερ σκεῦος ἱερώτατον.

Ἐξανοιγέσθω ἡ πύλη, τοῦ θεοδόχου Ναοῦ. τὸν γὰρ Ναὸν τοῦ πάντων, Βασιλέως καὶ θρόνον, σήμερον ἐν δόξῃ ἔνδον λαβὼν, Γωακεὶμ ἀνατίθεται, ἀφιερώσας Κυρίῳ τὴν ἐξ αὐτοῦ, ἐκλεχθεῖσαν εἰς Μητέρα αὐτοῦ.

Δευτεροῦντες τὸ α'. Δόξα, νῦν. ἦχος, πλ.

Ὁ Δαβὶδ προανεφώνει σοι ἄχραντε, προορῶν τὴν ἀφιέρωσιν, τῆς Εἰσόδου σου ἐν τῷ Ναῷ. ἐν ᾧ τὰ πέρατα σήμερον ἑορτάζονται, δοξολογοῦσίσε Πανύμνητε. ἡ γὰρ πρὸ τόκου Παρθένος, καὶ μετὰ τόκον μείνασα ἄφθορος, Μήτηρ τοῦ Λόγου τῆς ζωῆς, σήμερον ἐν τῷ Ναῷ εἰσέρχεται, καὶ ὁ Ζαχαρίας εὐφραίνεται, ἀπολαβώνσε Δέσποινα, καὶ τὰ ἅγια τῶν ἁγίων ἀγάλλονται, ὑποδεξάμενάσε, τὴν τροφὸν τῆς ζωῆς ἡμῶν. Διὸ καὶ ἡμεῖς, ψαλμικῶς ἐκβοῶμέν σοι· ὑπὲρ ἡμῶν δυσώπησον, τὸν Υἱόνσου καὶ Θεὸν ἡμῶν, δωρηθῆναι ἡμῖν τὸ μέγα ἔλεος.

Εἰς τὸν στίχον στιχηρά. ἦχος, β'.

Οἶκος τοῦ Εὐφραθᾶ.

Πύλαι τῶν Οὐρανῶν, εἰσδέξασθε Παρθένον, εἰς ἅγια ἁγίων, ἀμόλυντον σκηνήν τε, Θεοῦ τοῦ Παντοκράτορος.

ϛι. Ἀπενεχθήσονται τῷ Βασιλεῖ.

Παρθένοι τὴν Ἁγνὴν, προπέμψατε Παρθένον, φαιδρῶς λαμπαδουχοῦσαι, εἰς ἅγια ἁγίων, ὡς Νύμφην τοῦ Παντάνακτος.

ϛι. Ἀπενεχθήσονται ἐν εὐφροσύνῃ.

Ἄρτον ἡ λογικὴ, πασᾶς τοῦ Θεοῦ Λόγου, χειρὶ θείου Ἀγγέλου, δέχεται κατοικοῦσα, ἁγίων εἰς τὰ ἅγια.

Δόξα, Καὶ νῦν. Ὅμοιον.

Φῶσσε τὸ τριλαμπὲς, ἀνάψαν Θεοτόκε, ἐν τῷ Ναῷ τῆς δόξης, οὐρανίον τροφήν σοι, ἐκπέμπει μεγαλύνουσε. Νῦν ἀπολύεις. Τὸ Τρισάγιον. Τὸ Παναγία Τριάς. Τὴν Πάτερ ἡμῶν. Καὶ τὸ Τροπάριον. Σήμερον τῆς εὐδοκίας Θεοῦ.

Καὶ γίνεται Ἀπόλυσις.

ΤΥΠΙΚΟΝ.

Δεῖ δὲ εἰδέναι, ὡς εἰ τύχῃ ἡ τοιαύτη ἑορτὴ ἐν Κυριακῇ, Προηγοῦνται πάντα τὰ ἀνάστασιμα. Ἐπιτελοῦμεν δὲ ἀγρυπνίαν, ὡς καὶ ἐν ταῖς λοιπαῖς Δεσποτικαῖς, καὶ Θεομητορικαῖς Ἑορταῖς. Ἑσπέρας οὖν εἰς τὴν ἀγρυπνίαν. Μετὰ τὸν προοιμιακὸν ψαλμὸν, Στιχολογοῦμεν τὸ πρῶτον Ἀντίφωνον τὸ, Μακάριος ἀνήρ.

μήρ. Εἰς τὸ, Κύριε ἐκέκραξα, Ἱστῶμεν ϛ. ἡ. Καὶ ψάλλομεν στιχηρὰ προσόμοια δ'. δευτεροῦντες τὸ, α'. ἦχος, α'. Πρὸς τὸ, Ὦ τοῦ παραδόξου θαύματος, ἤγουν τὸ, Σήμερον πιστοὶ χορεύσωμεν. Εἶτα λέγομεν καὶ ταῦτα εἰς ἦχον δ'. πρὸς τὸ, Ὡς γενναῖον ἐν μάρτυσιν. Τῶν ἁγίων εἰς ἅγια. Δευτεροῦντες τὸ, α'. Δόξα, καὶ νῦν. ἦχος, π. δ'. Μετὰ τὸ τεχθῆναί σε Θεόνυμφε. Εἴσοδος. Φῶς ἱλαρόν. Προκείμενον τῆς ἡμέρας. Καὶ τὰ ἀναγνώσματα. Τὸ α'. τῆς Ἐξόδου τὸ ἀνάγνωσμα. Ἐλάλησε Κύριος πρὸς Μωϋσῆν λέγων, ἐν ἡμέρᾳ μιᾷ. Τὸ β'. Βασιλειῶν τρίτης. Ἐγένετο ὡς συνετέλεσε Σολομών. Τὸ τρίτον. Προφητείας Ἱεζεκιήλ. Τάδε λέγει Κύριος, ἔσται ἀπὸ τῆς ἡμέρας. Εἰς τὴν λιτὴν ϛ. Ἰδιόμ. ἦχος, α'. Ἀγαλλιάσθω σήμερον. ἦχος, δ'. Σήμερον ὁ θεοχώρητος ναός. ἦχος, δ'. Δεῦτε πάντες οἱ λαοί. Δόξα, καὶ νῦν, ἦχος, π. α'. Ἐπέλαμψεν ἡμέρα χαρμόσυνος. Εἰς τὸν στίχ. στιχηρὰ προσόμοια, ἦχος, π. α'. πρὸς τὸ, Χαίροις ἀσκητικῶν. Χαίρει ὁ Οὐρανὸς καὶ ἡ γῆ. ϛ. Ἀπενεχθήσονται τῷ Βασιλεῖ. Ἄννα ἡ θεία χάρις σαφῶς. ϛ. Αἱ πλησίον αὐτῆς ἀπενεχθήσονται. Ἔνδον ἐν τῷ ναῷ τοῦ Θεοῦ. Δόξα, καὶ νῦν. ἦχος, π. β'. Σήμερον τὰ στέφη τῶν πιστῶν συνελθόντα. Ἀπολυτίκιον, ἦχος, δ'. Σήμερον τῆς εὐδοκίας Θεοῦ. Λέγεται ἐκ τρίτου. Εἶτα δίδοται συνήθως ὁ εὐλογηθεὶς ἄρτος, ἤτοι τὸ κατακλαστόν. Εἰς τὸν ὄρθρον. Μετὰ τὴν α'. στιχολογ. Κάθισμ. ἦχος α'. Δόξα, καὶ νῦν, τὸ αὐτό. Εἰς δὲ τὴν β'. στιχολογ. Κάθισμ. ἦχος, δ'. Δόξα, καὶ νῦν, τὸ αὐτό. Εἰς τὴν γ'. στιχολογίαν, Κάθισμ. ἦχος, π. δ'. Δόξα, καὶ νῦν, τὸ αὐτό. Οἱ ἀναβαθμοὶ, τὸ α'. ἀντίφωνον, τοῦ Δ'. ἤχου. Προκείμενον, ἦχος, δ'. Ἄκουσον θύγατερ, καὶ ἴδε. στίχ. Ἐξηρεύξατο ἡ καρδία μου. Τὸ, Πᾶσα πνοή. Εὐαγγέλιον κατὰ Λουκᾶν. Ἀναστᾶσα Μαριάμ. Ὁ Πεντηκοστός. Καὶ τὸ Πεντηκοστάριον. ἦχος, β'. Σήμερον ὁ ναὸς ὁ ἔμψυχος. Καὶ λέγομεν καὶ τὸν π. β'. Σήμερον τὰ στέφη. Ζήτει ὀψὲ, εἰς τὸ ἀπὸ στίχου. Κανόνας δύω, ἦχος, ὁ δ'. καὶ ὁ α'. Καταβασίαν δὲ οὖν λέγομεν τὸ, Χριστὸς γεννᾶται δοξάσατε. Ἀπὸ γ'. ᾠδῆς, Κάθισμ. ἦχος, δ'. Πρὸς τὸ, Κατεπλάγη Ἰωσήφ. Ἀναβόησον Δαβίδ. Ἀφ' ϛ'. Κοντάκιον, ἦχος, δ'. Ὁ καθαρώτατος ναὸς τοῦ Σωτῆρος. Ἀναγινώσκομεν δὲ καὶ λόγον, ἐκ τῶν ἐγκωμίων τῆς Θεοτόκου. Μετὰ τὴν θ'. ὀξαποστειλάρια ἐκ γ'. Εἰς τοὺς αἴνους, ἱστῶμεν στιχ. δ'. καὶ ψάλλομεν στιχηρὰ, ἦχος, α'. Τῶν οὐρανίων ταγμάτων. Λαμπαδηφόροι Παρθένοι. Δόξα, καὶ νῦν. ἦχος, β'. Σήμερον τῷ ναῷ προσάγεται ἡ Παράμωμος. Δοξολογία μεγάλη καὶ ἀπόλυσις. Δίδοται δὲ καὶ ἅγιον ἔλεον τοῖς ἀδελφοῖς. Εἰς τὴν Λειτουργίαν τὰ Τυπικὰ, καὶ ἐκ τῶν Κανόνων τῆς ἑορτῆς, ᾠδὴ, γ'. καὶ ϛ'. Εἰς τὴν Εἴσοδον, Τροπάριον. Σήμερον τῆς εὐδοκίας. Καὶ τὸ Κοντάκιον τῆς ἑορτῆς. Προκείμενον, ἦχος, γ'. ᾠδὴ τῆς Θεοτόκου. Μεγαλυνεῖ ἡ ψυχήμου τὸν Κύριον. ϛ. Ὅτι ἐπέβλεψεν ἐπὶ τὴν. Ὁ Ἀπόστολος. Πρὸς Ἑβραίους. Ἀδελφοὶ, εἶχεν ἡ πρώτη σκηνή. Ζήτει Σεπτεμβρίῳ, ἡ. Ἀλληλούϊα, ἦχος, π. δ'. Ἄκουσον θύγατερ. ϛ. Τὸ πρόσωπόν σου λιταναύσουσιν. Εὐαγγέλιον κατὰ Λουκᾶν. Τῷ καιρῷ ἐκείνῳ, εἰσῆλθεν ὁ Ἰησοῦς εἰς κώμην. Ζήτει Σεπτεμβρίῳ, ἡ. Κοινωνικὸν, ἦχος, γ'. Ἀπενεχθήσονται τῷ Βασιλεῖ παρθένοι. Καὶ τὸ, ποτήριον σωτηρίου.

Ἐν δὲ τῷ Μεγάλῳ Ἑσπερινῷ τῶν Εἰσοδίων, ψάλλομεν τὸ α'. Ἀντίφωνον, τὸ, Μακάριος ἀνήρ, εἰς ἦχον, π. δ'. Εἰς τὸ, Κύριε ἐκέκραξα, ἱστῶμεν ϛ. ἡ. καὶ ψάλλομεν, ϛ. προσόμοια, ἦχος, α'.

Ὦ τοῦ παραδόξου θαύματος.

Σήμερον πιστοὶ χορεύσωμεν, ἐν ψαλμοῖς καὶ ὕμνοις, τῷ Κυρίῳ ᾄδοντες, τιμῶντες καὶ τὴν αὐτοῦ, ἡγιασμένην σκηνὴν, τὴν ἔμψυχον κιβωτὸν, τὴν τὸν ἀχώρητον

Λό-

Λόγον χωρήσασαν. προσφέρεται γὰρ Θεῷ, ὑπερφυῶς τῇ σαρκὶ νηπιάζουσα. καὶ Ἀρχιερεὺς ὁ μέγας, Ζαχαρίας δέχεται, ἀφραινόμενος ταύτην, ὡς Θεοῦ κατοικητήριον.

Σήμερον Ναὸς ὁ ἔμψυχος, τῆς ἁγίας δόξης, Χριστοῦ τοῦ Θεοῦ ἡμῶν, ἡ μόνη ἐν γυναιξὶν, ἀλογημένη ἁγνὴ, προσφέρεται τῷ Ναῷ, τῷ νομικῷ κατοικεῖν εἰς τὰ ἅγια. καὶ χαίρουσι σὺν αὐτῇ, Ἰωακεὶμ, καὶ ἡ Ἄννα τῷ πνεύματι. καὶ παρθενικαὶ χορεῖαι, τῷ Κυρίῳ ᾄδουσι, ψαλμικῶς μελῳδοῦσαι, καὶ τιμῶσαι τὴν Μητέρα αὐτοῦ.

Σὺ τῶν Προφητῶν τὸ κήρυγμα, Ἀποστόλων δόξα, καὶ Μαρτύρων καύχημα, καὶ πάντων τῶν γηγενῶν ἡ ἀνακαίνισις, Παρθένε Μήτηρ Θεοῦ. διὰ γὰρ σοῦ τῷ Θεῷ κατηλλάγημεν. διὸ τιμῶμεν τὴν σὴν, ἐν τῷ Ναῷ τοῦ Κυρίου προέλευσιν, καὶ σὺν τῷ Ἀγγέλῳ πάντες, ψαλμικῶς τὸ χαῖρέ σοι, τῇ πανσέμνῳ βοῶμεν, τῇ πρεσβείᾳ σου σωζόμενοι.

Δευτεροῦντες τὸ, α'.

Εἶτα λέγομεν καὶ ταῦτα. ἦχος, δ'.

Ὡς γενναῖον ἐν Μάρτυσιν.

Τῶν ἁγίων εἰς ἅγια, ἡ Ἁγία καὶ ἄμωμος, ἐν Ἁγίῳ Πνεύματι εἰσοικίζεται, καὶ δι' Ἀγγέλου ἐκτρέφεται, τῷ ὄντι ὑπάρχουσα, ἁγιώτατος Ναὸς, τοῦ Ἁγίου Θεοῦ ἡμῶν, τοῦ τὰ σύμπαντα, ἁγιάσαντος ταύτης εἰσοικήσει, καὶ θεώσαντος τὴν φύσιν, τὴν τῶν βροτῶν ὀλισθήσασαν.

Αἱ νεανίδες χαίρουσαι, καὶ λαμπάδας κατέχουσαι, τῆς λαμπάδος σήμερον προπορεύονται, τῆς νοητῆς καὶ εἰσάγουσιν, αὐτὴν εἰς τὰ ἅγια, τῶν ἁγίων ἱερῶς, προδηλοῦσαι τὴν μέλλουσαν, αἴγλην ἄρρητον, ἐξ αὐτῆς ἀναλάμψαι καὶ φωτίσαι, τοὺς ἐν σκότει καθημένους, τῆς ἀγνωσίας ἐν Πνεύματι.

Ἐνθομένη ὑπόδεξαι, Ζαχαρία ἐβόησεν, Ἄννα ἡ πανεύφημος, ἣν ἐκήρυξαν, Θεοῦ Προφῆται ἐν Πνεύματι, καὶ ταύτην εἰσάγαγε, εἰς τὸν ἅγιον Ναὸν, ἱερῶς ἀνατρέφεσθαι. ὅπως γένηται, τοῦ Δεσπότου τῶν ὅλων, θεῖος θρόνος, καὶ παλάτιον καὶ κλίνη, καὶ φωταυγὲς ἐνδιαίτημα.

Δευτεροῦντες τὸ α'. Δόξα, ἦνιν, ἦχ, πα'.

Μετὰ τὸ τεχθῆναί σε, Θεόνυμφε Δέσποινα, παρεγένου ἐν Ναῷ Κυρίου, τοῦ ἀνατραφῆναι εἰς τὰ ἅγια τῶν ἁγίων, ὡς ἡγιασμένη. τότε καὶ Γαβριὴλ ἀπεστάλη πρὸς σὲ τὴν Πανάμωμον, τροφὴν κομίζων σοι. Τὰ οὐράνια πάντα ἐξέστησαν, ὁρῶντα τὸ Πνεῦμα τὸ Ἅγιον ἐν σοὶ σκηνῶσαν. Διὸ ἄσπιλε ἀμόλυντε, ἡ ἐν Οὐρανῷ καὶ ἐπὶ Τῆς δοξαζομένη, Μήτηρ Θεοῦ, σῶζε τὸ γένος ἡμῶν.

Εἴσοδος. Φῶς ἱλαρόν. Προκείμενον τῆς ἡμέρας, καὶ τὰ Ἀναγνώσματα.

Τῆς Εἴσοδου τὸ Ἀνάγνωσμα.

Κεφ. Ἐλάλησε Κς πρὸς Μωϋσῆν λέγων· μ'. 1. Ἐν ἡμέρᾳ μιᾷ τοῦ Μηνὸς τοῦ πρώτου, στήσεις τὴν Σκηνὴν τοῦ Μαρτυρίου. Καὶ θήσεις τὴν Κιβωτὸν τοῦ Μαρτυρίου, καὶ σκεπάσεις αὐτὴν τῷ καταπετάσματι. Καὶ εἰσοίσεις τὴν Τράπεζαν καὶ τὴν Λυχνίαν, καὶ θήσεις τὸ Θυμιατήριον τὸ χρυσοῦν, εἰς τὸ θυμιᾶν ἐναντίον τῆς Κιβωτοῦ τοῦ Μαρτυρίου. Καὶ ἐπιθήσεις τὸ κάλυμμα τοῦ καταπετάσματος, ἐπὶ τὴν θύραν τῆς Σκηνῆς τοῦ Μαρτυρίου. Καὶ λήψῃ τὸ ἔλαιον τοῦ χρίσματος, καὶ χρίσεις τὴν Σκηνὴν, καὶ πάντα τὰ ἐν αὐτῇ, καὶ ἁγιάσεις αὐτὴν, καὶ πάντα τὰ σκεύη Ἐδ.) αὐτῆς, καὶ ἔσται ἁγία. Καὶ ἁγιάσεις τὸ 31.) Θυσιαστήριον, καὶ ἔσται τὸ Θυσιαστήριον ἅγιον τῶν ἁγίων. Καὶ ἐποίησε Μωϋσῆς πάντα ὅσα ἐνετείλατο αὐτῷ Κύριος, οὕτως ἐποίησε. Καὶ ἐκάλυψεν ἡ νεφέλη τὴν Σκηνὴν τοῦ Μαρτυρίου, καὶ δόξης Κυρίου ἐπλήσθη ἡ Σκηνή. Καὶ οὐκ ἠδυνήθη Μωϋσῆς εἰσελθεῖν εἰς τὴν Σκηνὴν τοῦ Μαρτυρίου, ὅτι ἐπεσκίαζεν ἐπ' αὐτὴν ἡ Νεφέλη, καὶ δόξης Κυρίου ἐπλήσθη ἡ Σκηνή.

Βασιλειῶν τρίτης τὸ Ἀνάγνωσμα.

Κεφ. Ἐγένετο, ὡς συνετέλεσε Σολομὼν η'. 1. τοῦ οἰκοδομῆσαι τὸν Οἶκον Κυρίου, καὶ ἐξεκκλησίασε πάντας τοὺς Πρεσβυτέρους Ἰσραὴλ ἐν Σιὼν, τοῦ ἀνενεγκεῖν τὴν Κιβωτὸν τῆς διαθήκης Κυρίου, ἐκ πόλεως (Ἐδ. 4.) Δαβὶδ αὐτὴ ἐστὶ Σιών. Καὶ ἦραν οἱ Ἱερεῖς τὴν Κιβωτὸν, καὶ τὸ Σκήνωμα τοῦ

Μαρτυρίου, καὶ πάντα τὰ σκεύη τὰ ἅγια, τὰ ἐν τῷ Σκηνώματι τοῦ Μαρτυρίου. Καὶ ὁ Βασιλεὺς καὶ πᾶς Ἰσραὴλ, ἔμπροσθεν τῆς Κιβωτοῦ. καὶ εἰσφέρουσιν οἱ Ἱερεῖς τὴν Κιβωτὸν τῆς Διαθήκης Κυρίου, εἰς τὸν τόπον αὐτῆς, εἰς τὸ Δαβὶδ τοῦ οἴκου, εἰς τὰ Ἅγια τῶν Ἁγίων, ὑπὸ τὰς πτέρυγας τῶν Χερουβίμ. (Ἐδ. 9.) Ὅτι τὰ Χερουβὶμ, διαπεπετασμένα ταῖς πτέρυξιν ἐπὶ τὸν τόπον τῆς Κιβωτοῦ, καὶ περιεκάλυπτον τὰ Χερουβὶμ ἐπὶ τὴν Κιβωτὸν, καὶ ἐπὶ τὰ ἅγια αὐτῆς ἐπάνω. Καὶ οὐκ ἦν ἐν τῇ Κιβωτῷ, πλὴν αἱ δύω πλάκες λίθιναι, πλάκες τῆς διαθήκης, ἃς ἔθηκεν ἐκεῖ Μωϋσῆς, ἐν Χωρὴβ ἃς διέθετο Κύριος. Καὶ ἐγένετο, ὡς ἐξῆλθον οἱ Ἱερεῖς ἐκ τοῦ ἁγίου, καὶ ἡ Νεφέλη ἔπλησε τὸν Οἶκον Κυρίου. Καὶ οὐκ ἠδύναντο οἱ Ἱερεῖς στῆναι λειτουργεῖν ἀπὸ προσώπου τῆς νεφέλης, ὅτι ἔπλησεν ἡ δόξα Κυρίου τὸν Οἶκον Κυρίου.

Προφητ. Ἰεζεκιὴλ τὸ Ἀνάγνωσμα.

Κεφ. μγ'. 27. Τάδε λέγει Κύριος. ἔσται ἀπὸ τῆς ἡμέρας τῆς ὀγδόης, καὶ ἐπέκεινα, ποιήσουσιν οἱ Ἱερεῖς ἐπὶ τὸ Θυσιαστήριον τὰ ὁλοκαυτώματα ὑμῶν, καὶ τὰ τοῦ σωτηρίου ὑμῶν, καὶ προσδέξομαι ὑμᾶς, λέγει Κύριος Κύριος. (Κεφ. μδ'. 1.) Καὶ ἐπέστρεψέ με κατὰ τὴν ὁδὸν τῆς πύλης τῶν ἁγίων τῆς ἐξωτέρας, τῆς βλεπούσης κατὰ ἀνατολάς. καὶ αὕτη ἦν κεκλεισμένη. Καὶ εἶπε Κύριος πρός με· Υἱὲ ἀνθρώπου, ἡ πύλη αὕτη κεκλεισμένη ἔσται, οὐκ ἀνοιχθήσεται, καὶ οὐδεὶς οὐ μὴ διέλθῃ δι' αὐτῆς. Ὅτι Κύριος ὁ Θεὸς τοῦ Ἰσραὴλ, εἰσελεύσεται δι' αὐτῆς. καὶ ἔσται κεκλεισμένη. διότι ὁ Ἡγούμενος οὗτος κάθηται ἐν αὐτῇ τοῦ φαγεῖν ἄρτον ἐνώπιον Κυρίου. κατὰ τὴν ὁδὸν τοῦ Αἰλὰμ τῆς πύλης εἰσελεύσεται, καὶ κατὰ τὴν ὁδὸν αὐτοῦ ἐξελεύσεται. Καὶ εἰσήγαγέ με κατὰ τὴν ὁδὸν τῆς πύλης τῆς πρὸς βορρᾶν κατέναντι τοῦ Οἴκου, καὶ εἶδον, καὶ ἰδὸ πλήρης δόξης ὁ οἶκος Κυρίου.

Εἰς τὴν Λιτὴν, π. ἰδιομελα. ἦχος, α'.

Γεωργίου Νικομηδείας.

Ἀγαλλιάσθω σήμερον, ὁ Οὐρανὸς ἄνωθεν, καὶ αἱ νεφέλαι εὐφροσύνην ῥανάτωσαν, ἐπὶ τὰ λίαν παράδοξα, μεγαλεῖα τοῦ Θεοῦ ἡμῶν. Ἰδοὺ γὰρ ἡ πύλη, ἡ κατὰ Ἀνατολὰς βλέπουσα, ἀποκυηθεῖσα, ἐκ στείρας ἀκάρπου, ἐξ ἐπαγγελίας, καὶ τῷ Θεῷ ἀφιερωθεῖσα εἰς κατοίκησιν, σήμερον ἐν τῷ Ναῷ, ὡς ἄμωμος προσφορὰ προσάγεται. Ἀγαλλιάσθω ὁ Δαβὶδ, κρούων τὴν κιννύραν. ἀπενεχθήσονται φησὶ, τῷ Βασιλεῖ Παρθένοι ὀπίσω αὐτῆς, αἱ πλησίον αὐτῆς ἀπενεχθήσονται. ἔσω ἐν τῇ σκηνῇ τοῦ Θεοῦ, ἔνδον τοῦ ἱλαστηρίου αὐτοῦ, ἀνατραφῆναι εἰς κατοίκησιν, τοῦ πρὸ αἰώνων ἐκ Πατρὸς ἀρρεύστως γεννηθέντος, εἰς σωτηρίαν τῶν ψυχῶν ἡμῶν.

Ἦχος, δ'. Τοῦ αὐτοῦ.

Σήμερον ὁ θεοχώρητος Ναὸς, ἡ Θεοτόκος, ἐν Ναῷ Κυρίου προσάγεται, καὶ Ζαχαρίας ταύτην ὑποδέχεται. σήμερον τὰ τῶν ἁγίων ἅγια ἀγάλλονται, καὶ ὁ χορὸς τῶν Ἀγγέλων, μυστικῶς πανηγυρίζει. Μεθ' ὧν καὶ ἡμεῖς ἑορτάζοντες σήμερον, σὺν τῷ Γαβριὴλ ἐκβοήσωμεν· Χαῖρε Κεχαριτωμένη, ὁ Κύριος μετὰ σοῦ, ὁ ἔχων τὸ μέγα ἔλεος.

Ὁ αὐτός.

Λεῦτε πάντες οἱ λαοὶ, τὴν μόνην ἀμώμητον ἐγκωμιάσωμεν. Τὴν ἐκ τῶν Προφητῶν προκηρυχθεῖσαν, καὶ ἐν Ναῷ προσενεχθεῖσαν· Τὴν πρὸ αἰώνων προορισθεῖσαν Μητέρα, καὶ ἐπ' ἐσχάτων τῶν χρόνων, ἀναδειχθεῖσαν Θεοτόκον. Κύριε πρεσβείαις αὐτῆς, τὴν εἰρήνην σου παράσχου ἡμῖν, καὶ τὸ μέγα ἔλεος.

Δόξα, καὶ νῦν. ἦχος, π. α'.

Λεόντος Μαΐστορος.

Ἐπέλαμψεν ἡμέρα χαρμόσυνος, καὶ ἑορτὴ πανσεβάσμιος. Σήμερον γὰρ ἡ πρὸ τόκου Παρθένος, καὶ μετὰ τόκον Παρθένος μείνασα, ἐν Ναῷ ἁγίῳ προσάγεται. Καὶ χαίρει Ζαχαρίας ὁ Πρέσβυς, ὁ γενέτης τοῦ Προδρόμου, καὶ βοᾷ γηθοσύνως. Ἤγγικεν ἡ προσδοκία τῶν θλιβομένων, ἐν Ναῷ ἁγίῳ ὡς ἁγία, ἀφιερωθῆναι εἰς κατοίκησιν τοῦ Παντάνακτος. Εὐφραινέσθω Ἰωακεὶμ ὁ Προπάτωρ, καὶ ἡ Ἄννα ἀγαλλιάσθω, ὅτι προσήνεγκαν Θεῷ, ὡς τριετίζουσαν

δάμα-

δάμαλιν, τὸν ἄμωμον Δέσποτην. Μητέρες συγχάρητε, Παρθένοι σκιρτήσατε, καὶ Στεῖραι συγχορεύσατε. ὅτι ὡς ἔφεξεν ἡμῖν τὸν Οὐρανῶν Βασιλέα, ἡ προορισθεῖσα Παστοφόρος. χαίρετε λαοὶ καὶ ἀγαλλιᾶσθε.

Καὶ αἱ σωκίδες δ' χαὶ παρὰ τῶ Γερέως.

Εἰς τὸν ἅ. ἅ. προσόμοια.

Ἦχος, ἅ. ά.

Χαίροις ἀσκητικῶν ἀληθῶς.

Χαίρει ὁ Οὐρανὸς καὶ ἡ Γῆ, τὴν Οὐρανὸν τὸν μόνον πορεύομενον, ὁρῶντες εἰς δεῖον Οἶκον, ἁγιαζόμενον σεπτῶς, τὸν Παρθένον μόνον καὶ ἄμωμον. Πρὸς ὃν ἐκπλήττομαι, Ζαχαρίας ἐβόησε· Πύλη Κυρίου, τὸν Ναὸν ὑπαοίγουσαι, πύλας χαίρουσα, ἐν αὐτῷ περιχόρευε. ἔγνων γὰρ καὶ πεπίστευκα, ὡς ἤδη ἡ λύτρωσις, ἐπιδημήσει προδήλως, τῷ Ἰσραὴλ καὶ τεχθήσεται, ἐκ σοῦ Θεὸς Λόγος, ὁ δωρούμενος τῷ Κόσμῳ, τὸ μέγα ἔλεος.

Ἅ. Ἀπεμεχθήσονται τῷ Βασιλεῖ.

Γραμμα ἡ θεία χάρις σαφῶς, χαριτωθεῖσαν τὴν ἀγνὴν Ἀειπάρθενον, προσάγει μετ' εὐφροσύνης, εἰς τὸν Ναὸν τοῦ Θεοῦ, προσκαλεσαμένη προπορεύεσθαι, αὐτῆς τὰς Νεανίδας, λαμπαδηφόρους καὶ λέγουσα. Ἄπιθι τέκνον, τῷ ἰδιοτρόπῳ γεμήθητι, καὶ ἀγάθημα, καὶ ὡῴδες θυμίαμα. Εἴσελθε εἰς τὰ ἄδυτα, καὶ γνῶθι μυστήρια, καὶ ἑτοιμάζου γενέσθαι, τοῦ Ἰησοῦ οἰκητήριον, τερπνὸν καὶ ὡραῖον, τῷ παρέχοντος τῷ Κόσμῳ, τὸ μέγα ἔλεος.

ἅ. Ἀπεμεχθήσονται ἐν εὐφροσύνῃ.

Ἔνδον ἐν τῷ Ναῷ τοῦ Θεοῦ, ὁ θεοχώρητος Ναὸς ἁγιάζεται, Παρθένος ἡ Παναγία, καὶ Νεανίδες αὐτῆς, μετὰ λαμπαδηφόροι προπορεύονται. Σκιρτᾷ γενεθλιορῶν, ἡ συζυγία ἡ ἄνωθεν, Ἰωακεὶμ τε, καὶ ἡ Ἄννα χορεύοντες, ὅτι ἔτεκον, τὸν τὸν Κτίστην κυήσασαν. Ἣτις περιχορεύουσα, εἰς θεῖα σκηνώματα, καὶ προφθεμένη Ἀγγέλων, διὰ χειρὸς ἡ παράμωμος, Χριστοῦ ὤφθη Μήτηρ, τῷ παρέχοντος τῷ Κόσμῳ, τὸ μέγα ἔλεος.

Δόξα, καὶ νῦν. Ἦχος, ἅ. β'.

Σεργίου Ἀρχιεπισκόπου.

Σήμερον τὰ σύμφωνα τῷ προφητικῷ σωτηρίῳ τάγματα, πνευματικῶς παρεγένοντο, καὶ τὸν Θεόπαιδα Παρθένον καὶ Θεοτόκον, ἐν Ναῷ Κυρίου προσαγομένην, εὐσεβῶς ἀνευφημήσωμεν. Τὸν προεκλεχθεῖσαν ἐκ πασῶν τῶν γενεῶν, εἰς κατοικητήριον τοῦ Παντοκράτορος Χριστοῦ, καὶ Θεοῦ τῶν ὅλων. Παρθένοι, λαμπαδηφορήσασαι προπορεύεσθε, τῆς Ἀειπαρθένου τιμῶσαι, τὴν σεβασμίαν πρόοδον. Μητέρες, λύπην πᾶσαν ἀποθέμεναι, χαρμονικῶς συνακολουθήσατε, τὸν Μητέρα τοῦ Θεοῦ γενομένην, καὶ τῆς χαρᾶς τοῦ Κόσμου τὸν πρόξενον. Ἅπαντες οὖν χαρμονικῶς, τὸ χαῖρε συνᾴδοντες τῷ Ἀγγέλῳ ἐκβοήσωμεν, τῇ Κεχαριτωμένῃ, τῇ ἀεὶ παρεδρεύσῃ, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Ἀπολυτίκιον. Ἦχος, δ'.

Σήμερον τῆς εὐδοκίας Θεοῦ τὸ προοίμιον, καὶ τῆς τῶν ἀνθρώπων σωτηρίας ἡ προκήρυξις. Ἐν Ναῷ τοῦ Θεοῦ γὰρ ὡς Παρθένος δείκνυται, καὶ τὸν Χριστὸν τοῖς πᾶσι προκαταγγέλλεται. Αὐτῇ καὶ ἡμεῖς μεγαλοφώνως βοήσωμεν· Χαῖρε τῆς οἰκονομίας τοῦ Κτίστου ἡ ἐκπλήρωσις.

Ἐκ Τριῴου.

Ἡ εὐλόγησις τῶν ἄρτων, καὶ Ἀναγνῶσεις εἰς τὸν λόγον τῆς Ἑορτῆς.

Εἰς τὸν Ὄρθρον, μετὰ τὰ ά. πλ. β. καὶ ἦχ. ά.

Χορὸς Ἀγγελικός.

Δικαίως ὁ καρπὸς, Ἰωακεὶμ καὶ τῆς Ἄννης, προσφέρεται Θεῷ, Ἱερῷ ἐν ἁγίῳ, σαρκὶ μηπιάζουσα, ἡ τροφὸς τῆς ζωῆς ἡμῶν. Ὧν εὐλόγησον, ὁ ἱερὸς Ζαχαρίας, ταύτῃ ἅπαντες, ὡς τῆς Κυρίου Μητέρα, πιστῶς μακαρίσωμεν.

Δόξα, καὶ νῦν. Πάλιν τὸ αὐτό.

Εἰς τὴν β'. πλ. β. καὶ ἦχ. δ'.

Ταχὺ προκατάλαβε.

Δαβὶδ προοδοποίησον, ἐν τῷ Ναῷ τοῦ Θεοῦ, καὶ χαίρων ὑπόδεξαι, τὸν Βασιλέα ἡμῶν, καὶ ταύτην ἐκβόησον· Εἴσελθε ἡ Κυρία, εἰς Ναὸν Βασιλέως. Εἴσελθε ἧς ἡ δόξα, κεκρυμμένως φέρεται. ἐξ ἧς

μέλι ἢ γάλα μέλλει πηγάσαι, πᾶσι τὸ Φῶς ὁ Χριστός.

Δόξα, καὶ νῦν. Πάλιν τὸ αὐτό.

Εἰς τὴν γ'. ἀλλό. κα. ἦχ. δ'.

Κατεπλάγη Ἰωσήφ.

Πρὸ συλλήψεως Ἁγνὴ, καθηγιάσθης τῷ Θεῷ, ἢ τεχθεῖσα ἐπὶ γῆς, δῶρον προσήχθης νῦν αὐτῷ, ἀποπληροῦσα πατρῴαν ἐπαγγελίαν. Τῷ θείῳ δὲ Ναῷ, ὡς θεῖος ὄντως Ναὸς, ἐκ βρέφους καθαρῶς, μετὰ λαμπάδων φαιδρῶν, ἀποδοθεῖσα ὤφθης δοχεῖον, τοῦ ἀπροσίτου ἢ θείου Φωτός. Μεγάλη ὄντως, ἡ πρόοδός σου, μόνη Θεόνυμφε ἢ Ἀειπάρθενε.

Δόξα, ἢ νῦν. Πάλιν τὸ αὐτό.

Μετὰ τὸν Πολυέλεον, κα. ἦχ. πλ.

Τὸ προσταχθὲν μυστικῶς.

Ἀγαλλιάσθω ὁ Δαβὶδ ὁ ὑμνογράφος, καὶ χορευέτω Ἰωακεὶμ σὺν τῇ Ἄννῃ, ὅτι γόνος ἅγιος ἐξ αὐτῶν προῆλθε, Μαρία ἡ φωτοφόρος θεία λαμπὰς, καὶ χαίρει εἰσερχομένη ἐν τῷ Ναῷ, ἣν καὶ βλέπων εὐλόγησεν, ὁ Βαραχίου Υἱὸς, ἢ χαίρων ἀνεκραύγαζε· Χαῖρε θαῦμα παγκόσμιον.

Δόξα, ἢ νῦν. Πάλιν τὸ αὐτό.

Οἱ Ἀναβαθμοὶ, τὸ α'. Ἀντίφωνον τοῦ τετάρτου ἤχου.

Προκείμενον. ἦχος, δ'.

Ἄκουσον θύγατερ, καὶ ἴδε, ἢ κλῖνον τὸ οὖς σου.

ἢ. Ἐξηρεύξατο ἡ καρδία μου λόγον ἀγαθόν.

Τὸ, Πᾶσα πνοή.

Εὐαγγέλιον κατὰ Λουκᾶν.

Ἐν ταῖς ἡμέραις ἐκείναις, ἀναστᾶσα Μαριάμ. Ὁ Ν'. Εἶθ' οὕτω.

Δόξα. ἦχος, β'.

Σήμερον, ὁ Ναὸς ὁ ἔμψυχος, τοῦ μεγάλου Βασιλέως, ἐν Ναῷ εἰσέρχεται, αὐτῷ ἑτοιμασθῆναι, εἰς θείαν κατοίκησιν. λαοὶ ἀγαλλιᾶσθε.

Καὶ νῦν. τὸ αὐτό.

Εἶτα ἢ. Ἐλέησόν με ὁ Θεός.

Καὶ ψάλλομεν ἰδιόμελον. ἦχος, δ'.

Σήμερον ὁ θεοχώρητος Ναός.

Ζήτει εἰς τὴν Λιτήν.

Ὁ Ἱερεύς. Σῴσον ὁ Θεὸς τὸν λαόν σου. Καὶ Ψάλλομεν Κανόνας δύω, Γεωργίου, ἦχος ὁ δ'. εἰς ς'. ἢ Βασιλείου ὁ α'. εἰς η'.

Ὁ Κανὼν τοῦ Κυρίου Γεωργίου.

Οἷυ ἡ ἀκροστιχίς.

Σὺ τὴν χάριν Δέσποινα τῷ λόγῳ, δίδου.

Ὠδὴ, α'. ἦχος, δ'. Ὁ Εἱρμός.

„Ἀνοίξω τὸ στόμα μου, ἢ πληρωθήσε-„ται Πνεύματος, ἢ λόγον ἐρεύξο-„μαι, τῇ Βασιλίδι Μητρὶ, καὶ ὀφθήσο-„μαι, φαιδρῶς πανηγυρίζων, καὶ ᾄσω „γηθόμενος, ταύτης τὴν Εἴσοδον. Δίς.

Σοφίας παράχραντε, σὲ Θησαυρὸν ἐπιστάμεθα, ἢ χάριτος βρύουσαν, πηγὴν ἀέννασον, τὰς τῆς γνώσεως, αἰτοῦμεν σου ῥανίδας, ἐπόμβρισον Δέσποινα, τοῦ ἀνυμνεῖν σε ἀεί.

Ὑπέρτερος Πάναγνε, τῶν Οὐρανῶν χρηματίσασα, Ναὸς ἢ Παλάτιον, ἐν τῷ Ναῷ τοῦ Θεοῦ, ἀνατίθεσαι, αὐτῷ ἑτοιμασθῆναι, εἰς θείαν κατοίκησιν, τῆς παρουσίας αὐτοῦ.

Τὸ φῶς ἀνατείλασα, ἡ Θεοτόκος τῆς χάριτος, πάντας κατελάμπρυνε, ἢ συνηγάγετο, τὴν ὑπέρλαμπρον, αὐτῆς κατακοσμῆσαι, πανήγυριν ᾄσμασι, δεῦτε συνδράμωμεν.

Ἡ πύλη ἡ ἔνδοξος, ἡ λογισμοῖς ἀδιόδευτος, τὰς πύλας διάρασα, τὰς τοῦ Ναοῦ τοῦ Θεοῦ, νῦν προτρέπεται, ἡμᾶς συνεισελθόντας, τὰ θεῖα θαυμάσια, κατατρυφῆσαι αὐτῆς.

Ὁ Κανὼν τοῦ Κυρίου Βασιλείου, εἰς τὴν αὐτὴν Ἑορτήν.

Ὠδὴ, α'. ἦχος, α'.

Ὠδὴν ἐπινίκιον, ᾄσωμεν πάντες.

Συνδράμωμεν σήμερον, τῇ Θεοτόκῳ, τιμῶντες ἐν ᾄσμασι, ἢ πανηγυρίσωμεν, πνευματικὴν ἑορτήν. ἐν τῷ Ναῷ γὰρ τῷ Θεῷ, δῶρον προσφέρεται.

Ὠδαῖς ἀνυμνήσωμεν, τῆς Θεοτόκου, τὴν ἔνδοξον πρόοδον. τῷ Ναῷ γὰρ σήμερον, ὡς καὶ Ναὸς τοῦ Θεοῦ, προσφέρεται προφητικῶς, δῶρον πολύτιμον.

Ἄννα ἡ ἄμεμπτος, ἠγαλλιᾶτο, ὡς δῶρον πολύτιμον, τῷ Θεῷ προσφέρουσα, ἐν τῷ Ναῷ μητρικῶς. Γωακεὶμ δὲ σὺν αὐτῇ, πανηγυρίζει φαιδρῶς.

Λαβὶδ ὁ Προπάτωρσε, ὕμνησε πάλαι, Παρθένε Θεόνυμφε, Θυγατέρα λέγωνσε, τοῦ Βασιλέως Χριστοῦ. ὃν ἡ τεκοῦσα μητρικῶς, βρέφος ἐθήλασας.

Σαρκὶ τριετίζουσα, ἡ Θεοτόκος, Κυρίῳ προσάγεται. Ζαχαρίας ταύτην δὲ, ὁ ἱερεὺς τοῦ Θεοῦ, δεξάμενος ἐν τῷ Ναῷ, χαίρων ἀνέθετο.

Παρθένοι χορεύσατε, λαμπαδηφόροι, ἐξάρξατε σήμερον, καὶ Μητέρες ᾄσατε, τῇ Βασιλίδι Μητρὶ, προσερχομένῃ τῷ Ναῷ, τοῦ Βασιλέως Χριστοῦ.

Δόξα.

Φριὰς ὁμοούσιε, Πάτερ καὶ Λόγε, καὶ Πνεῦμα τὸ Ἅγιον, σὲ πιστῶς δοξάζομεν, ὡς Ποιητὴν τοῦ παντὸς, καὶ σοὶ βοῶμεν εὐσεβῶς, σῷσον ἡμᾶς ὁ Θεός.

Καὶ νῦν.

Βαφῆς ἐξ αἱμάτων σου, τὴν ἀλουργίδα, φορέσας Παράχραντε, προελθὼν ἀνέπλασεν, ὁ Βασιλεὺς καὶ Θεὸς, τὸ γένος ἅπαν τῶν βροτῶν, τῇ εὐσπλαγχνίᾳ αὐτοῦ.

Καταβασία.

„Χριστὸς γεννᾶται δοξάσατε. Χριστὸς „ἐξ Οὐρανῶν ἀπαντήσατε. Χριστὸς „ἐπὶ γῆς ὑψώθητε. ᾄσατε τῷ Κυρίῳ, „πᾶσα ἡ γῆ, καὶ ἐν εὐφροσύνῃ, ἀνυμνήσα„τε λαοὶ, ὅτι δεδόξασται.

Ὠδὴ, γ'. Ὁ Εἱρμός.

„Τοὺς σοὺς ὑμνολόγους Θεοτόκε, ὡς ζῶ„σα καὶ ἄφθονος πηγὴ, θίασον συγ„κροτήσαντας, πνευματικὸν στερέωσον, „ἐν τῇ σεπτῇ Εἰσόδῳ σου, στεφάνων δόξης „ἀξίωσον.

Νυμφοστόλος σήμερον ἐδείχθη, τερπνὸς τῆς Παρθένου ὁ Ναὸς, καὶ θάλαμος δεχόμενος, τὴν ἔμψυχον παστάδα Θεοῦ, τὴν καθαρὸν καὶ ἄμωμον, καὶ λαμπροτέραν πάσης κτίσεως.

Λαβὶδ προεξάρχων τῆς χορείας, σκιρτᾷ καὶ χορεύει σὺν ἡμῖν, καὶ Βασιλίδα κράζει σε, πεποικιλμένην Ἄχραντε, παρισταμένην Πάναγνε, ἐν τῷ Ναῷ τῷ Βασιλεῖ καὶ Θεῷ.

Ἐξ ἧς ἡ παράβασις προῆλθεν, ἡ πάλαι τῷ γένει τῶν βροτῶν, ἐκ ταύτης ἡ ἀνόρθωσις, καὶ ἀφθαρσία ἤνθησεν, ἡ Θεοτόκος σήμερον, προσαγομένη ἐν τῷ οἴκῳ Θεοῦ.

Σκιρτῶσιν Ἀγγέλων στρατηγίαι, καὶ πάντων ἀνθρώπων ἡ πληθὺς, καὶ πρὸ προσώπου Πάναγνε, προτρέχουσίσου σήμερον, λαμπαδηφόροι κράζουσαι, τὰ μεγαλεῖά σου ἐν οἴκῳ Θεοῦ.

Ἄλλος. Στερεωθήτω ἡ καρδία μου.

Πανηγυρίσωμεν φιλέορτοι, καὶ συνευφρανθῶμεν τῷ πνεύματι, ἐν τῇ ἁγίᾳ Ἑορτῇ, εὐωχούμενοι σήμερον, Θυγατρὸς τοῦ Βασιλέως, καὶ Μητρὸς τοῦ Θεοῦ ἡμῶν.

Γωακεὶμ εὐφραίνου σήμερον, καὶ ἀγάλλου Ἄννα τῷ πνεύματι, τὴν γεννηθεῖσαν ἐξ ὑμῶν, τῷ Κυρίῳ προσάγοντες, τριετίζουσαν ὡς δάμαλιν, σεμνὴν τὴν Πανάμωμον.

Τὸ τοῦ Θεοῦ κατοικητήριον, ἐν Ναῷ ἁγίῳ προσφέρεται, ἡ Θεοτόκος Μαριὰμ, τῇ σαρκὶ τριετίζουσα, καὶ αὐτῇ λαμπαδουχοῦσιν, αἱ Παρθένοι προτρέχουσαι.

Ἡ τοῦ Θεοῦ ἀμνὰς ἡ ἄσπιλος, ἡ περιστερὰ ἡ ἀμόλυντος, ἡ Θεοχώρητος σκηνὴ, τὸ τῆς δόξης ἁγίασμα, ἐν σκηνώματι ἁγίῳ, κατοικεῖν ἠρετίσατο.

Ἡ τριετίζουσα τῷ σώματι, καὶ πολυετὴς ἐν τῷ πνεύματι, ἡ πλατυτέρα Οὐρανῶν, καὶ τῶν ἄνω Δυνάμεων, ὑπερτέρα εὐφημείσθω, ἐν ᾠδαῖς ἡ Θεόνυμφος.

Τῆς Θεοτόκου ἑορτάζοντες, τὴν ἐν τοῖς ἀδύτοις προέλευσιν, λαμπαδουχοῦντες νοητῶς, ἐν φαιδρότητι σήμερον, καὶ ἡμεῖς σὺν ταῖς Παρθένοις, τῷ Ναῷ πλησιάσωμεν.

Οἱ ἱερεῖς Θεοῦ ἐνδύσασθε, τὴν δικαιοσύνην ἐν χάριτι, καὶ ὑπαντήσατε φαιδρῶς, τὰς εἰσόδους παρέχοντες, Θυγατρὶ τοῦ Βασιλέως, καὶ Θεοῦ εἰς τὰ ἅγια.

Δόξα.

Φῶς ὁ Πατὴρ, φῶς ὁ Υἱὸς αὐτοῦ, καὶ τὸ Πνεῦμα φῶς τὸ Παράκλητον. ὡς γὰρ

Η'-

Ἡλίου δὲ ἐξιόντος, ἡ Τριὰς ἀπαστράπτουσα, θεϊκῶς λαμπαδουχεῖ, καὶ σωτηρεῖ τὰς ψυχὰς ἡμῶν. Καὶ νῦν.

Γὲ οἱ Προφῆται προεκήρυξαν, Κιβωτὸν σεμνὴ ἁγιάσματος, Θυμιατήριον χρυσοῦν, καὶ Λυχνίαν καὶ Τράπεζαν, καὶ ἡμᾶς ὡς Θεοχώρητον, Σκιᾷ σὺν αὐτοῖς μέσε.

Κατάβασια.

» Φῶς πρὸ τοῦ αἰῶνος, ἐκ Πατρὸς γεννηθέντι ἀρρήτως Υἱῷ, καὶ ἐπ' ἐσχάτων ἐκ Παρθένου, σαρκωθέντι ἀσπόρως, Χριστῷ τῷ Θεῷ βοήσωμεν· ὁ αὐγάσας τὸ κέρας ἡμῶν, Ἅγιος εἶ Κύριε.

Καὶ. Ἦχος, δ. Κατεπλάγη Γωσήφ.

Γραφὴν σοφὸν Δαβὶδ, τίς ἡ παρῆσα Ἑορτὴ, ὧν ἀμνήμησας ποτὲ, ἐν τῷ βιβλίῳ τοῦ Ψαλμῳδοῦ, ὡς Θυγατέρα Θεόπαιδα καὶ Παρθένον ἀπεμεχθήσονται φῶτες, τῷ Βασιλεῖ μυστικῶς, Παρθένοι ὀπίσω αὐτῆς, καὶ αἱ πλησίον αὐτῆς. καὶ θαυμαστῶν ἐργάζεται καὶ παγκόσμιον, τὴν Ἑορτὴν τοῖς κραυγάζουσιν· ἡ Θεοτόκος, ἡμῖν ἐπέστη, τῆς σωτηρίας ἡ πρόξενος.

Δόξα, τὸ αὐτό. Καὶ νῦν.

Ἕτερον. Ὅμοιον.

Ἡ ἁμαρτὼς ἁμαρτὰς, καὶ ἀκηλίδωτος παστὰς, ἐν τῷ οἴκῳ τοῦ Θεοῦ, ἡ Θεοτόκος Μαριὰμ, μετ' εὐφροσύνης εἰσάγεται παραδόξως. ὧν Ἄγγελοι Θεοῦ, δορυφοροῦσι πιστῶς, καὶ πάντες οἱ πιστοὶ, μακαρίζουσιν ἀεὶ, καὶ ἀκαταπαύστως μεγάλῃ φωνῇ· ἡμῶν ἡ δόξα, καὶ σωτηρία, σὺ ὑπάρχεις Παρθένε.

Ὠδὴ, δ. Ὁ Εἱρμός.

» Νῦν ἀνεῳγέσθω θεία βυλλὶς, τὴν » ἐκ τῆς Παρθένου σαρκώσεως, σοῦ » τοῦ Υἱοῦ, ὁ Προφήτης Ἀββακούμ, » καταυγάζει· δόξα τῇ δυνάμει » σου Κύριε.

Βυλλὶς ἀδιόδευτον ὁ τοῦ Θεοῦ, οἶκος εἰσδέχομαι σήμερον, ἔπαυσε πᾶσαν, τὴν λατρείαν τοῦ νόμου· ὡς ἀληθῶς ἐπέφανε, κράζων τοῖς ἐν γῇ ἡ ἀλήθεια.

Ὄρος τὸ κατάσκιον ὁ προορῶν, πάλαι Ἀββακὼμ προεκήρυξεν, ἁγνὸν χωρῶ σαν, τὸν ἀδύτων τοῦ Ναοῦ, ὡς ἀληθῶς ἐπέφανε, καὶ κατακαλύπτει τὰ πέρατα.

Ἅπαντα παράδοξα πᾶσα ἡ γῆ, ξένα καὶ ἀλλόκοτα πράγματα. πῶς ἡ Παρθένος δι' Ἀγγέλου τὴν τροφὴν, εἰσδεχομένη σύμβολα, τῆς οἰκονομίας νομίζεται.

Ναὸς καὶ παλάτιον καὶ Οὐρανὸς, ἔμψυχος ὀφθεῖσα Θεόνυμφε, τοῦ Βασιλέως, ἐν Ναῷ τῷ νομικῷ, ἀφιερῶσαι σήμερον, τύπῳ προκυρήξαντες.

Ἄλλος. Ἐν Πράγματι προβλέπων.

Προφῆται Ἡσαΐα, προφητεύσατε ἡμῖν, ἡ Παρθένος τίς ὄψει, καὶ ἔχουσα γαστέρα; ἡ δὲ Ἰούδα τῆς ῥίζης ἀναφυεῖσα, καὶ γεννηθεῖσα ἐκ Δαβὶδ τοῦ Βασιλέως, ὥσπερ ματος ἁγίου καρπὸς ἀνέλειε.

Ἐξάρξατε Παρθένοι, καὶ ἄσατε ᾠδὰς, ταῖς χερσὶ κατέχουσαι, λαμπάδας τῆς Ἁγίας, καὶ Θεοτόκου τὴν πρόοδον μοῦ ἀπιούσης, ἐν Ναῷ τῷ τοῦ Κυρίου παραδόξως, ἅμα σοὶ ἡμῖν ἑορτάζουσαι.

Ἰωακεὶμ καὶ Ἄννα, ἀφαιρεθὲ μοι, ἐν Ναῷ προσάγοντες, Κυρίῳ τὴν ἁγίαν, Θεοῦ Μητέρα, Χριστῷ τῷ παμβασιλέως γεμισομένην, ἐξ ὑμῶν δὲ γεννηθεῖσαν, οἷον τερετίζουσαν Δάμαλιν.

Τὰ τῷ ἁγίῳ, ὑπάρχουσα σεμνὴ, ἐν Ναῷ ἠγάπησας, ἁγίων κατοικεῖν, καὶ τοῖς Ἀγγέλοις Παρθένε προσομιλοῦσα, προσεκαρτέρεις παραδόξως θραφθῆναι, ἄρτον δεχομένη, Τροφὲ τῆς ζωῆς.

Πεκότες παρ' ἐλπίδα, τὸν ἄληπτον ἁγνὸν, ἀσεβῶς ὑπέσχοντο, Θεῷ προσαγαγεῖν. καὶ ἐκπληρῶσι παρέχοντες ὡς περ ὄντα, τὴν γεννηθεῖσαν ἐξ ἀνδρὸς Ἰωακεὶμ τε, σήμερον καὶ Ἄννα ἐν οἴκῳ Θεοῦ.

Βλαστήσει ἡ ῥάβδος, ποτὲ τοῦ Ἀαρὼν, προτυπώσασα ἄληπτε, τὸν θεῖον τόκετόν, ὅτι ἀσπόρως συλλήψῃ, καὶ ἀφθαρήσῃ, καὶ μὴ τόκον παρθενεύουσα ὀφθήσῃ, βρέφος γαλαχθῶσα τὸν πάντων Θεόν.

Παρθένοι τῇ Παρθένῳ, Μητέρες τῇ Μητρὶ, ἀσεβῶς προσδράμετε, τιμῶσαι σὺν ἡμῖν, τὴν γεννηθεῖσαν ὡς ἔμψυχον ἱερεῖον, καὶ τῷ τεκόσῃ τῷ Θεῷ καρ-

καρποφορῦσαν, πάντες καὶ φαιδρῶς ἑορτάσωμεν.

Δόξα.

Μριάδα τοῖς προσώποις, Μονάδα τῇ μορφῇ, εὐσεβῶς δοξάσωμεν, Θεὸν ἀληθινὸν, ὃν ἀνυμνοῦσιν Ἀγγέλων καὶ Ἀρχαγγέλων, ταξιαρχίαι, ὡς τῆς κτίσεως Δεσπότην, ἅπαντες πιστῶς προσκυνοῦντες ἀεί.

Καὶ νῦν.

Τέκετε ἀπαύστως, παράχραντε ἁγνὴ, ὃν σαρκὶ ἐκύησας, Υἱόν σου καὶ Θεὸν, ἐκ πολυτρόπων παγίδων τοῦ Διαβόλου, καὶ ἐκ παντοίων πειρασμῶν ἐπερχομένων, πάντας λυτρωθῆναι τοὺς δούλους σου.

Καταβασία.

„Ῥάβδος ἐκ τῆς ῥίζης Γεσσαὶ, καὶ ἄν-
„θος ἐξ αὐτῆς Χριστὲ, ἐκ τῆς Παρ-
„θένου ἀνεβλάστησας, ἐξ ὄρους ὁ αἰνετὸς,
„κατασκίου δασέος, ἦλθες σαρκωθεὶς ἐξ
„ἀπειράνδρου, ὁ ἄϋλος καὶ Θεός. δόξα τῇ δυ-
„νάμει σου Κύριε.

Ὠδὴ, ε'. Ὁ Εἱρμός.

„Ἐξέστη τὰ σύμπαντα, ἐν τῇ σεπτῇ Εἰ-
„σόδῳ σου. σὺ γὰρ Ἀπειρόγαμε Παρ-
„θένε, ἔνδον εἰσῆλθες ἐν τῷ Ναῷ τοῦ
„Θεοῦ, ὥς περ καθαρώτατος Ναὸς, πᾶσι
„τοῖς ὑμνοῦσί σε, τὴν εἰρήνην βραβεύουσα.

Ἁγίασμα ἔνδοξον, καὶ ἱερὸν ἀνάθημα, σήμερον ἡ Πάναγνος Παρθένος, ἀνατεθεῖσα ἐν τῷ Ναῷ τοῦ Θεοῦ, τῷ Παμβασιλεῖ ἡμῶν Θεῷ, μόνῳ εἰς ἐνοίκησιν, συντηρεῖται ὡς οἶδεν αὐτός.

Μὸ κάλλος Παράχραντε, τὸ τῆς ψυχῆς σου βλέπων ποτὲ, πίστει Ζαχαρίας ἀνεβόα· σὺ εἶ τὸ λύτρον, σὺ εἶ ἡ πάντων χαρά. σὺ εἶ ἡ ἀνάκλησις ἡμῶν, δι' ἧς ὁ ἀχώρητος, χωρητός μοι ὀφθήσεται.

Ὦ τῶν ὑπὲρ ἔννοιαν, θαυμάτων σου παράχραντε. ξένη σου ἡ γέννησις ὑπάρχει, ξένος ὁ τρόπος ὁ τῆς αὐξήσεως. ξένα καὶ παράδοξα τὰ σὰ, πάντα Θεονύμφευτε, καὶ βροτοῖς ἀνερμήνευτα.

Αὐχνία πολύφωτος, ὑπάρχουσα Θεόνυμφε, σήμερον ἐξέλαμψας ἐν οἴκῳ, τῷ τοῦ Κυρίου, καὶ καταυγάζεις ἡμᾶς, τοῖς σεπτοῖς χαρίσμασιν Ἁγνὴ, τοῖς τῶν θαυμασίων σου, Θεοτόκε πανύμνητε.

Ἄλλος. Τὸ φαεινὸν ἡμῖν ἐξανάτειλον.

Λαμπροφορήσωμεν οἱ ὀρθόδοξοι, πάντες συντρέχοντες, καὶ δοξάζοντες τὴν Θεομήτορα, ὅτι Κυρίῳ, σήμερον προσφέρεται, ὡς θῦμα εὐπρόσδεκτον.

Ἀγαλλιάσθωσαν οἱ Προπάτορες, σήμερον Δέσποινα, καὶ εὐφραινέσθω ἡ Τεκοῦσά σε, σὺν τῷ Πατρί σου. ὅτι ὁ καρπὸς αὐτῶν, Κυρίῳ προσάγεται.

Μὴν πολυώνυμον καὶ περίδοξον, ἄμωμον δάμαλιν, ὡς ἐν σαρκὶ κυοφορήσασαν, τὸν θεῖον μόσχον, πάντες ἀνυμνήσωμεν, πιστῶς ἑορτάζοντες.

Μὰ τῆς νυμφεύσεως ἀπογράφονται, θεῖα συμβόλαια, τῆς ὑπὲρ νοῦν κυοφορίας σου, Ἁγνὴ Παρθένε, σήμερον ἐν Πνεύματι, ἁγίῳ ἐν οἴκῳ Θεοῦ.

Ἐξανοιγέσθωσαν τὰ προπύλαια, δόξης Θεοῦ ἡμῶν, καὶ δεχέσθωσαν τὴν ἀπειρόγαμον, Θεοῦ Μητέρα, ὥς περ τριετίζουσαν, ἀμίαντον δάμαλιν.

Μὸ πολυτίμητον καὶ κατάσκιον, ὄρος ὑμνήσωμεν, καὶ Ἀειπάρθενον, Θεοῦ Μητέρα γενομένην. αὐτὴ γὰρ ἐξήστραψε, τὸ φῶς ἐν τοῖς πέρασι.

Δόξα.

Μὴν ὑπεράρχιον καὶ ἀΐδιον, μίαν Θεότητα, δοξολογοῦντες προσκυνήσωμεν, τρισὶ προσώποις, φύσει ἀδιαίρετον, καὶ δόξῃ ἰσότιμον.

Καὶ νῦν.

Αἱμένα εὔδιον καὶ ἀπόρθητον, τεῖχος κεκτήμεθα, τὴν πρεσβείαν σου ἐν περιστάσεσι, Θεοκυήτωρ, πάντοτε λυτρούμενοι, κινδύνων καὶ θλίψεων.

Καταβασία.

„Θεὸς ὢν εἰρήνης, Πατὴρ οἰκτιρμῶν,
„τῆς μεγάλης βουλῆς σου τὸν Ἄγγε-
„λον, εἰρήνην παρεχόμενον, ἀπέστει-
„λας ἡμῖν. ὅθεν θεογνωσίας, πρὸς φῶς
„ὁδηγηθέντες, ἐκ νυκτὸς ὀρθρίζοντες,
„δοξολογοῦμέν σε φιλάνθρωπε.

Ὠδὴ, ϛ'. Ὁ Εἱρμός.

„Μὴν θείαν ταύτην καὶ πάντιμον, τε-
„λοῦντες ἑορτὴν οἱ Θεόφρονες, τῆς

„Θεο-

„ Θεομήτορος, δεῦτε τὰς χεῖρας κροτή-
„ σωμεν, τὸν ἐξ αὐτῆς τεχθέντα Θεὸν
„ δοξάζοντες.

Ὁ πάντα φέρων τῷ ῥήματι, εὐχῆς τῆς τῶν Δικαίων ἐπήκουσε. διὸ στειρώσεως, λύσας τὴν νόσον ὡς εὔσπλαγχνος, τὴν τῆς χαρᾶς αἰτίαν τούτοις δεδώρηται.

Τρωρίσαι θέλων ὁ Κύριος, τοῖς ἔθνεσιν αὐτοῦ τὸ σωτήριον, τὴν Ἀπειρόγαμον, νῦν ἐξ ἀνθρώπων παρέλαβε, καταλλαγῆς σημεῖον καὶ ἀναπλάσεως.

Ὡς οἶκος οὖσα τῆς χάριτος, ἐν ᾧ οἱ θησαυροὶ ἐναπόκεινται, τῆς ἀπορρήτου Θεοῦ, οἰκονομίας παράχραντε, ἐν τῷ Ναῷ μετέσχες τῆς ἀκηράτου τρυφῆς.

Διάδημά σε βασίλειον, δεξάμενος Ναὸς Θεονύμφευτε, κατεφαιδρύνετο, καὶ ὑπεχώρει τοῖς κρείττοσι, τῶν προρρηθέντων βλέπων ἐν σοὶ τὴν ἔκβασιν.

Ἄλλος. Τὸν Προφήτην Ἰωναῦ.

Ἑορτάσωμεν πιστοὶ, Ἑορτὴν πνευματικὴν, τὴν Μητέρα τοῦ Θεοῦ, ἀνυμνοῦντες εὐσεβῶς. ὑπάρχει γὰρ, ἁγιωτέρα τῶν οὐρανίων Νοῶν.

Ἐν ᾠδαῖς πνευματικαῖς, εὐφημήσωμεν πιστοὶ, τὴν Μητέρα τοῦ Φωτὸς, ὅτι σήμερον ἡμῖν, ἐπέφανε, προερχομένη ἐν τῷ Ναῷ τοῦ Θεοῦ.

Ἡ ἀμίαντος ἀμνὰς, καὶ ἁγνὴ περιστερὰ, προσηνέχθη κατοικεῖν, ἐν τῷ οἴκῳ τοῦ Θεοῦ, ἡ ἄμωμος, προορισθεῖσα γενέσθαι Μήτηρ Θεοῦ.

Ἐν Ναῷ τῷ νομικῷ, τὰς εἰσόδους ἐκτελεῖ, ὁ Ναὸς ὁ τοῦ Θεοῦ, ἡ οὐρανίος σκηνή. ἐξ ἧς ἡμῖν, τοῖς ἐν τῷ σκότει τὸ φῶς ἐξέλαμψεν.

Νηπιάζουσα σαρκὶ, καὶ τελεία τῇ ψυχῇ, ἡ ἁγία Κιβωτὸς, ἐν τῷ οἴκῳ τοῦ Θεοῦ, εἰσέρχεται, κατατρυφῆσαι τῆς θείας χάριτος.

Ἐκ παντοίων πειρασμῶν, καὶ κινδύνων ψυχικῶν, ἐλευθέρωσον ἡμᾶς, τοὺς προστρέχοντας εἰς σὲ, Πανύμνητε, ταῖς σαῖς πρεσβείαις, Μήτηρ Χριστοῦ τοῦ Θεοῦ.

Δόξα.

Ὁ Πατὴρ καὶ ὁ Υἱὸς, καὶ τὸ Πνεῦμα τὸ εὐθὲς, τρισυπόστατε Μονὰς, καὶ ἀχώριστε Τριὰς, ἐλέησον, τοὺς προσκυνοῦντας τὸ θεῖον κράτος σου.

Καὶ νῦν.

Ἐν γαστρί σου χωρητὸς, ὁ ἀχώρητος παντὶ, Θεομῆτορ γεγονὼς, προελήλυθεν ἐκ σοῦ, παράχραντε, διπλοῦς τῇ φύσει, Θεὸς καὶ Ἄνθρωπος.

Καταβασία.

„ Ἐπλάγχνων Ἰωναῦ, ἔμβρυον ἀπήμε-
„ σεν, ἐνάλιος θὴρ οἷον ἐδέξατο. τῇ
„ Παρθένῳ δὲ, ἐνοικήσας ὁ Λόγος, καὶ σάρ-
„ κα λαβὼν, διελήλυθε φυλάξας ἀδιάφ-
„ θορον. ἧς γὰρ οὐχ ὑπέστη ῥεύσεως, τὴν
„ τεκοῦσαν κατέσχεν ἀπήμαντον.

Κοντάκιον, ἦχος, ὁ.

Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Ὁ καθαρώτατος Ναὸς τοῦ Σωτῆρος, ἡ πολυτίμητος, παστὰς καὶ Παρθένος, τὸ ἱερὸν θησαύρισμα τῆς δόξης τοῦ Θεοῦ, σήμερον εἰσάγεται, ἐν τῷ οἴκῳ Κυρίου, τὴν χάριν συνεισάγουσα, τὴν ἐν Πνεύματι Θείῳ. ἣν ἀνυμνοῦσιν Ἄγγελοι Θεοῦ, αὕτη ὑπάρχει Σκηνὴ ἐπουράνιος.

Ὁ Οἶκος.

Ψῶν ἀπορρήτων τοῦ Θεοῦ, καὶ θείων μυστηρίων, ὁρῶν ἐν τῇ Παρθένῳ, τὴν χάριν δηλουμένην, καὶ πληρουμένην ἐμφανῶς, χαίρω, καὶ τὸν τρόπον ἐννοεῖν ἀμηχανῶ, τὸν ξένον καὶ ἀπόρρητον, πῶς ἐκλελεγμένη ἡ ἄχραντος, μόνη ἀνεδείχθη ὑπὲρ ἅπασαν τὴν κτίσιν, τὴν ὁρατὴν καὶ τὴν νοουμένην. διὸ ἀνευφημεῖν βουλόμενος ταύτην, καταπλήττομαι σφοδρῶς νοῦν τε καὶ λόγον. ὅμως δὲ τολμῶν, κηρύττω καὶ μεγαλύνω. Αὕτη ὑπάρχει σκηνὴ ἐπουράνιος.

Τῷ αὐτῷ Μηνὶ, ΚΑ'. Ἡ ἐν τῷ Ναῷ τῆς Θεομήτορος Εἴσοδος.

ἅ. Ἔνδον τρέφει σε Γαβριὴλ Ναοῦ Κόρη.
Ἥξει δὲ μικρὸν καὶ τὸ χαῖρέ σοι λέγων.
Βῇ ἱερὸν Μαρίη τέμενος παρὰ εἰκάδι πρώτη.

Αὕτη ἡ ἐν τῷ Ναῷ τῆς Θεομήτορος Εἴσοδος Ἑορτὴν τοῖς εὐσεβέσιν εἰργάσατο θαυμαστὴν καὶ παγκόσμιον, ἐκ ταύτης τῆς ὑποθέσεως λαβοῦσα τὴν ἀφορμήν.

Ἡ

Ἡ γὰρ παναοίδιμος Ἄννα, ὡς μικροῦ τὸν βίον ὅλον ἐν ἀπαιδίᾳ διήνυε, καθ' ὃν καιρὸν μετὰ τοῦ σώφρονος Ἰωακεὶμ, νηστείαις καὶ δεήσεσι τὸν Δεσπότην τῆς φύσεως καθικέτευεν, οἶκτον τῆς αὐτῆς ἀτεκνίας λαβόντα, Παῖδα χαρίσασθαι, ἐπαγγελλομένη, εἰ τῆς αἰτήσεως τύχοιεν, τὸ τικτόμενον Παιδίον εὐθὺς αὐτῷ ἀναθεῖναι. Καὶ δὴ τεκοῦσα τὴν πρόξενον τῆς σωτηρίας τοῦ τῶν ἀνθρώπων γένους, τὴν καταλλαγήν τε Θεοῦ πρὸς ἀνθρώπους, καὶ αἰτίαν τῆς ἀναπλάσεως τοῦ πεπτωκότος Ἀδὰμ, καὶ τῆς αὐτοῦ ἐγέρσεως καὶ θεώσεως, τὴν Παναγίαν Θεοτόκον Μαρίαν, ταύτην τρίτον ἤδη χρόνον ἄγουσαν ἀπὸ τῆς αὐτῆς παραδόξου γεννήσεως, κατὰ τὴν ὑπόσχεσιν ἄγουσι πρὸς τὸ Ἱερὸν, καὶ τοῖς Ἱερεῦσι παραδιδόασιν. Ἣν καὶ λαβόντες οὗτοι, τάχα βουλήσει Θεοῦ ὑπηρετοῦντες, τοῦ μέλλοντος ὅσον οὔπω ἐξ αὐτῆς τίκτεσθαι, ἐπὶ διορθώσει καὶ σωτηρίᾳ τοῦ παντὸς, εἰς τὸν ἐνδότατον τοῦ Ναοῦ ἐμβιβάζουσι, χρόνους ὁλοκλήρους δώδεκα ἐκεῖσε διατρίβειν αὐτὴν μόνην, ὅπου τοῦ ἐνιαυτοῦ ἅπαξ τοῖς Ἱερεῦσιν εἰσιέναι ἀφώριστο. Ἣ καὶ διὰ παντὸς πρὸς τὸ τοιοῦτον ἐνδιαιτωμένη, καὶ τροφῇ οὐρανίῳ ὑπὸ Ἀγγέλου ξενοπρεπῶς διατρεφομένη ἕως τοῦ θείου Εὐαγγελισμοῦ, καὶ τῶν ὑπερφυῶν μηνυμάτων, Θεὸν σαρκοῦσθαι τῶν διδασκόντων, ὑπὸ φιλανθρωπίας εὐδοκήσαντα, Κόσμον ἀπολλύμενον ἀνασῶσαι. ἣ καὶ ἐνηυλίζετο, καὶ ἐνδιητᾶτο, Θείας ἐπιφανείας ἀξιουμένη, καὶ τροφὴν οὐρανίον ἀδιαλείπτως δεχομένη, Ἀγγέλου ἐπὶ τῇ ταύτης, ὡς ἔφην, ἀποστολῇ καθυπηρετοῦντος, εἰς δόξαν Θεοῦ. ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας, Ἀμήν.

Ὠδὴ, ζ. Οὐκ ἐλάτρευσαν τῇ κτίσει.

Ἰδοὺ σήμερον ἐπέλαμψε τοῖς πέρασιν, ἔαρ εὐφρόσυνον, καταφαιδρυνὸν ἡμῶν, ψυχὴν καὶ διάνοιαν, καὶ νοῦν τῇ χάριτι, ἡ πανήγυρις, τῆς Θεοτόκου σήμερον, μυστικῶς εὐωχηθῶμεν.

Δορυφορείτωσαν σήμερον τὰ σύμπαντα, τῇ Βασιλίδι Μητρὶ, ὁ Οὐρανὸς καὶ ἡ γῆ, Ἀγγέλων τὰ τάγματα, καὶ τῶν βροτῶν ἡ πληθὺς, καὶ βοάτωσαν· ἐν τῷ Ναῷ εἰσάγεται, ἡ χαρὰ καὶ ἡ λύτρωσις.

Ὁ τοῦ γράμματος παρέδραμεν ἐξέλιπε, νόμος καθάπερ σκιὰ, καὶ αἱ τῆς χάριτος, ἀκτῖνες ἐπέλαμψαν, ἐν τῷ Ναῷ τοῦ Θεοῦ. εἰσαχθείσης σου, Παρθενομῆτορ Ἄχραντε, ἐν αὐτῷ εὐλογημένη.

Ὑποτέτακται τῷ τόκῳ σου Πανάχραντε, ὡς Ποιητῇ καὶ Θεῷ, ὁ Οὐρανὸς καὶ ἡ γῆ, καὶ τὰ καταχθόνια, καὶ πᾶσα γλῶσσα βροτῶν. ὅτι Κύριος, ὁμολογεῖ ἐπέφανεν, ὁ Σωτὴρ τῶν ψυχῶν ἡμῶν.

Ἄλλος. Ἡ κάμινος Σωτήρ.

Χορεύσωμεν φιλέορτοι σήμερον, ὑμνήσωμεν τὴν Ἄχραντον Δέσποιναν, Ἰωακεὶμ καὶ Ἄνναν, ἐπαξίως γεραίροντες.

Προφήτευσον ὁ λέγων ἐν Πνεύματι, ἀχθήσονται Παρθένοι ὀπίσω σου, ἀπενεχθήσονταί σοι, εἰς Ναὸν τῇ Βασιλίδι Μητρί.

Ἠγάλλοντο Ἀγγέλων τὰ τάγματα, ἠυφραίνοντο Δικαίων τὰ Πνεύματα, ὅτε Θεοῦ ἡ Μήτηρ, εἰς τὰ ἅγια προήγετο.

Καὶ σώματι καὶ Πνεύματι ἔχαιρε, σχολάζουσα Μαρία ἡ ἄμωμος, ἐν τῷ Ναῷ Κυρίου, ὥσπερ σκεῦος ἱερώτατον.

Λαμβάνουσα τροφὴν τὴν οὐρανίον, προέκοπτε σοφίᾳ καὶ χάριτι, ἡ γενομένη Μήτηρ, κατὰ σάρκα τοῦ Σωτῆρος Χριστοῦ.

Εἰσέφερον Ναοῦ εἰς ἐνδότατον, οἱ σώφρονες Πατέρες σου Ἄχραντε, ἀνατραφῆναι ξένως, εἰς κατοίκησιν Χριστοῦ τοῦ Θεοῦ.

Δόξα.

Δοξάσωμεν Τριάδα ἀχώριστον, ὑμνήσωμεν τὴν μίαν Θεότητα, σὺν τῷ Πατρὶ τὸν Λόγον, καὶ τὸ Πνεῦμα τὸ Πανάγιον. Καὶ νῦν.

Ἱκέτευε, ὃν ἔτεκες Κύριον, ὡς εὔσπλαγχνον τῇ φύσει ὑπάρχοντα, Θεογεννήτωρ σῶσαι, τὰς ψυχὰς τῶν ἀνυμνούντων σε. Καταβασία.

„ Οἱ Παῖδες εὐσεβείᾳ συντραφέντες, δι
„ σεβοῦς προστάγματος καταφρ
„ τες, πυρὸς ἀπειλὴν οὐκ ἐπτοήθησα

„ ἐν μέσῳ τῆς φλογὸς, ἑστῶτες ἔψαλλον·
„ ὁ τῶν Πατέρων, Θεὸς εὐλογητὸς εἶ.

Ὠδὴ, ἡ. Ἧς ἡ ἀκροστιχὶς,
Κατὰ ἀλφάβητον. Ὁ Εἱρμός.

„ Ἄκουε Κόρη Παρθένε ἁγνή. εἰπά-
„ τω δὴ ὁ Γαβριὴλ, Βουλὴν ὑψίστου,
„ ἀρχαίαν ἀληθινήν. Γενοῦ πρὸς ὑποδο-
„ χὴν, ἑτοίμη Θεοῦ. Διὰ σοῦ γὰρ ὁ ἀχώ-
„ ρητος, βροτοῖς συναναστρέφεται. διὸ καὶ
„ χαίρων βοῶ· εὐλογεῖτε, πάντα τὰ ἔρ-
„ γα Κυρίου τὸν Κύριον.

Ἄχραντον Ναὸν ἐν οἴκῳ Θεοῦ, προ-
σάγουσα Ἄννα ποτὲ, Βοῶσα ἔφη,
ἐν πίστει τῷ Ἱερεῖ. Γονὴν τὴν ὑπὸ Θεοῦ,
δοθεῖσαν κἀμοὶ, Δεδεγμένος νῦν εἰσάγα-
γε, ἐν τῷ Ναῷ τοῦ Κτίστουσου, καὶ χαίρων
ψάλλε αὐτῷ· εὐλογεῖτε, πάντα τὰ ἔργα
Κυρίου τὸν Κύριον.

Ἔφησεν ἰδὼν τῇ Ἄννῃ ποτὲ, ἐν Πνεύ-
ματι ὁ Ζαχαρίας. Ζωῆς Μητέρα,
εἰσάγεις ἀληθινήν. Ἥν περ τηλαυγῶς οἱ
Προφῆται Θεοῦ, Θεοτόκον προεκήρυξαν, καὶ
πῶς Ναὸς χωρήσει αὐτὴν; διὸ θαυμάζων
βοῶ· εὐλογεῖτε, πάντα τὰ ἔργα Κυρίου
τὸν Κύριον.

Ἱκέτις Θεοῦ κατέστην ἐγὼ, ἀντέφησεν
Ἄννα αὐτῷ, Καλοῦσα τοῦτον, ἐν πί-
στει καὶ προσευχῇ, Λαβεῖν τῆς ἐμῆς ὠδῖ-
νος καρπὸν, Μετὰ τόκον δὲ τὸ κύημα,
προσάγειν τῷ παρέχοντι. Διὸ σκιρτῶσα
βοῶ· εὐλογεῖτε, πάντα τὰ ἔργα Κυρίου
τὸν Κύριον.

Νόμιμον ὄντως τὸ ἔργον ἐστὶν, ὁ Ἱερεὺς
ἔφη αὐτῇ. Ξένον δὲ πάντῃ, τὸ
πρᾶγμα καταμοῦ, Ὁρῶν τὴν προσαγο-
μένην ἐν οἴκῳ Θεοῦ, Παραδόξως ὑπερβαί-
νουσαν, τὰ ἅγια τῇ χάριτι. διὸ καὶ χαίρων
βοῶ· εὐλογεῖτε, πάντα τὰ ἔργα Κυρίου
τὸν Κύριον.

Ῥιώννυμαι ἔφη ἡ Ἄννα αὐτῷ, μανθάνου-
σα ἅπερ λαλεῖς. Συνεὶς γὰρ ταῦτα τῷ
Πνεύματι τοῦ Θεοῦ, Τρανῶς τὰ τῆς Παρθέ-
νου ἐκήρυξας. Ὑποδέχου οὖν τὴν ἄχραντον, ἐν
[illegible]ῷ τοῦ Κτίστουσου, καὶ χαίρων ψάλλε αὐ-
[illegible]λογεῖτε, πάντα ἔργα Κυ[illegible] τὸν Κύριον.

Φωσφόρος ἡμῖν ἀνῆψε λαμπὰς, ἐβόη-
σεν ὁ Ἱερεὺς, Χαρὰν μεγίστην ἐκ-
λάμπουσαν ἐν Ναῷ. Ψυχαὶ Προφητῶν
συνευφραινέσθωσαν. Ὡς παράδοξα θεώ-
μεναι, τελούμενα ἐν οἴκῳ Θεοῦ, καὶ ἐκβοά-
τωσαν νῦν· εὐλογεῖτε, πάντα τὰ ἔργα
Κυρίου τὸν Κύριον.

Ἄλλος. Ὃν φρίττουσιν Ἄγγελοι.

Εὐφραίνεται σήμερον, φαιδρῶς Ἰωακεὶμ,
καὶ Ἄννα ἡ ἄμεμπτος, Κυρίῳ τῷ Θεῷ,
προσφέρει θυσίαν τὴν δοθεῖσαν αὐτῇ, ἐξ
ἐπαγγελίας, ἁγίαν Θυγατέρα.

Καυχῶνται οἱ Ἅγιοι, Δαβὶδ καὶ Γεσσαί.
Ἰούδας σεμνύνεται. ἐκ ῥίζης γὰρ αὐ-
τῶν, ἐβλάστησε γόνος ἡ Παρθένος ἁγνή.
ἐξ ἧς ἐγεννήθη, Θεὸς ὁ πρὸ αἰώνων.

Μαρία ἡ ἄχραντος, καὶ ἔμψυχος σκηνὴ,
προσφέρεται σήμερον, ἐν οἴκῳ τοῦ
Θεοῦ, καὶ δέχεται ταύτην, Ζαχαρίας χερ-
σὶν, ὡς ἡγιασμένον, κειμήλιον Κυρίου.

Ὡς πύλην σωτήριον, καὶ ὄρος νοητὸν, ὡς
κλίμακα ἔμψυχον, τιμήσωμεν πι-
στοὶ, τὴν ὄντως Παρθένον, καὶ Μητέρα
Θεοῦ, τὴν εὐλογηθεῖσαν, χερσὶ τῶν Ἱερέων.

Προφῆται, Ἀπόστολοι, καὶ Μάρτυρες
Χριστοῦ, Ἀγγέλων τὰ τάγματα, καὶ
πάντες γηγενεῖς, τιμήσωμεν ὕμνοις, τὴν
Παρθένον ἁγνὴν, ὡς εὐλογημένην, Μη-
τέρα τοῦ Ὑψίστου.

Ναῷ σε προσέφερον, πανάχραντε Ἁγνὴ,
οἱ θείως τεκόντες σε, ὡς θῦμα καθα-
ρὸν, καὶ ξένως αὐλίζῃ, ἐν ἀδύτοις Θεῷ,
προετοιμασθῆναι, εἰς κατοικίαν Λόγου.

Εὐλογοῦμεν Πατέρα, Υἱὸν, καὶ Ἅγιον
Πνεῦμα, τὸν Κύριον.

Ὑμνείσθω Τρισάγιος, Πατὴρ καὶ ὁ Υἱὸς,
καὶ Πνεῦμα τὸ Ἅγιον, ἀμέριστος Μο-
νὰς, ἡ μία Θεότης, ἡ κρατοῦσα δρακὶ, τὴν
σύμπασαν κτίσιν, εἰς πάντας τοὺς αἰῶνας.

Καὶ νῦν.

Ὁ ἄναρχος ἄρχεται, ὁ Λόγος ἐν σαρ-
κὶ, τεχθεὶς ὡς ηὐδόκησε, Θεός τε καὶ
βροτὸς, ἐκ Κόρης Παρθένου, ἀναπλάττων
ἡμᾶς, τοὺς πρὶν πεπτωκότας, δι' ἄκραν
εὐσπλαγχνίαν.

Κα-

Καταβασία.

„Θαύματος ὑπερφυοῦς ἡ δροσοβόλος, ἐξεικόνισε κάμινος τύπον. οὐ γὰρ οὓς ἐδέξατο φλέγει Νέους, ὡς οὐδὲ πῦρ, τῆς Θεότητος Παρθένου, ἣν ὑπέδω νηδύν, διὸ ἀνυμνοῦντες ἀναμέλψωμεν· εὐλογείτω ἡ κτίσις πᾶσα τὸν Κύριον, καὶ ὑπερυψούτω εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ, θ'. Ἧς ἡ ἀκροά. κτ. Ἀλφάβητον,

Ἀντιστρόφως. Μεγαλυνάριον.

Ἄγγελοι τὴν Εἴσοδον τῆς Πανάγνου, ὁρῶντες ἐξεπλήττοντο, πῶς ἡ Παρθένος εἰσῆλθεν, εἰς τὰ ἅγια τῶν ἁγίων.

Ὁ Εἱρμός.

„Ὡς ἐμψύχω Θεοῦ Κιβωτῷ, Ψαυέτω μηδαμῶς χεὶρ ἀμυήτων. Χείλη δὲ πιστῶν, τῇ Θεοτόκῳ ἀσιγήτως, Φωνὴν τοῦ Ἀγγέλου ἀναμέλποντα, ἐν ἀγαλλιάσει βοάτω· ὄντως ἀνωτέρα πάντων, ὑπάρχεις Παρθένε Ἁγνή.

Ἄγγελοι τὴν Εἴσοδον τῆς Πανάγνου, ὁρῶντες ἐξεπλήττοντο, πῶς μετὰ δόξης εἰσῆλθεν, εἰς τὰ ἅγια τῶν ἁγίων.

Ὡς ὑπερλαμπρὸν Θεοτόκε ἁγνὴ, Ψυχῆς τὸ καθαρὸν ἔχουσα κάλλος. Χάριν δὲ Θεοῦ, ἐμπιπλαμένη οὐρανόθεν, Φωτὶ ἀϊδίῳ καταυγάζεις ἀεὶ, τοὺς ἐν εὐφροσύνῃ βοῶντας· ὄντως ἀνωτέρα πάντων, ὑπάρχεις Παρθένε Ἁγνή.

Ἄγγελοι τὴν Εἴσοδον τῆς Παρθένου, ὁρῶντες ἐξεπλήττοντο, πῶς παραδόξως εἰσῆλθεν, εἰς τὰ ἅγια τῶν ἁγίων.

Ὑπερίπταται Θεοτόκε Ἁγνὴ, Τὸ θαυμάσου, τὴν δύναμιν τῶν λόγων. Σῶμα γὰρ ἐν σοὶ, κατανοῶ ὑπὲρ λόγον, Ῥοῆς ἁμαρτίας ἀνεπίδεκτον. ὅθεν εὐχαριστῶς βοῶ σοι· ὄντως ἀνωτέρα πάντων, ὑπάρχεις Παρθένε Ἁγνή.

Ἄγγελοι καὶ ἄνθρωποι τῆς Παρθένου, τὴν Εἴσοδον τιμήσωμεν, ὅτι ἐν δόξῃ εἰσῆλθεν, εἰς τὰ ἅγια τῶν ἁγίων.

Παραδόξως προδιετύπου Ἁγνὴ, Ὁ νόμος σε σκηνὴν καὶ θείαν στάμνον, Ξένην κιβωτὸν, καὶ καταπέτασμα καὶ ῥάβδον, Ναὸν ἀκατάλυτον, καὶ πύλην Θεοῦ. ὅθεν ἐκδιδάσκει σοι κράζειν· ὄντως ἀνωτέρα πάντων, ὑπάρχεις Παρθένε Ἁγνή.

Ἄγγελοι τὴν Εἴσοδον τῆς Παρθένου, ὁρῶντες κατεπλήττοντο, πῶς θεαρέστως εἰσῆλθεν εἰς τὰ ἅγια τῶν ἁγίων.

Μελῳδῶν σοι προεκελάδει Δαβὶδ, Λαλῶν σε Θυγατέρα Βασιλέως, Κάλλει ἀρετῶν, ἐκ δεξιῶν παρισταμένην, Ἰδὼν τοῦ Θεοῦ πεποικιλμένην σε. ὅθεν προφητεύων ἐβόα· ὄντως ἀνωτέρα πάντων, ὑπάρχεις Παρθένε Ἁγνή.

Ἄγγελοι σκιρτήσατε σὺν Ἁγίοις, Παρθένοι συγχορεύσατε. ἡ γὰρ Θεόπαις εἰσῆλθεν, εἰς τὰ ἅγια τῶν ἁγίων.

Θεοδόχον προθεωρῶν Σολομὼν, Ἠνίξατό σε πύλην Βασιλέως, Ζῶσάντε πηγὴν ἐσφραγισμένην, Ἐξ ἧς τὸ ἀθόλωτον ἡμῖν προῆλθεν, ὕδωρ τοῖς ἐν πίστει βοῶσιν· ὄντως ἀνωτέρα πάντων, ὑπάρχεις Παρθένε Ἁγνή.

Ἄγγελοι καὶ ἄνθρωποι τὴν Παρθένον, ἐν ὕμνοις μεγαλυνώμεν. θεοπρεπῶς γὰρ εἰσῆλθεν, εἰς τὰ ἅγια τῶν ἁγίων.

Διανέμοις τῶν χαρισμάτων τὴν σὴν, Γαλήνην Θεοτόκε τῇ ψυχῇ μου, Βρύουσα ζωὴν, τοῖς σὲ τιμῶσι κτ. χρέος, Αὐτὴ περιέπουσα καὶ σκέπουσα, καὶ διατηροῦσα βοᾷν σοι· ὄντως ἀνωτέρα πάντων, ὑπάρχεις Παρθένε Ἁγνή.

Ἄλλος. Τὴν φωτοφόρον νεφέλην.

Μεγάλυνον ψυχή μου, τὴν προσενεχθεῖσαν, ἐν τῷ Ναῷ Κυρίου, καὶ εὐλογηθεῖσαν, χερσὶ τῶν Ἱερέων.

Ἐκ τῶν Δικαίων προῆλθεν, Ἰωακεὶμ καὶ τῆς Ἄννης, ἐπαγγελίας ὁ καρπὸς, ἡ θεόπαις Μαρία, καὶ ὡς θυμίαμα δεκτὸν, σαρκὶ νηπιάζουσα προσφέρεται, Ἱερῷ ἐν ἁγίῳ, ὡς ἁγία, εἰς τὰ ἅγια οἰκεῖν.

Τὴν νηπιάζουσαν φύσει, καὶ ὑπὲρ φύσιν Μητέρα, ἀναδειχθεῖσαν τοῦ Θεοῦ, εὐφημήσωμεν ὕμνοις. ἐν τῷ Ναῷ τῷ νομικῷ. Κυρίῳ γὰρ σήμερον προσφέρεται. εἰς ὀσμὴν εὐωδίας, τῶν Δικαίων, ὡς καρπὸς πνευματικός.

Σὺν

Σὺν τῷ Ἀγγέλῳ τὸ χαῖρε, τῇ Θεοτόκῳ προσφόρως, ἀναβοήσωμεν πιστοί. χαῖρε πάγκαλε Νύμφη, χαῖρε Νεφέλη φωτεινή. ἐξ ἧς ἡμῖν ἔλαμψεν ὁ Κύριος, τοῖς ἐν σκότει ἀγνοίας, καθημένοις. χαῖρε πάντων ἡ ἐλπίς.

Ἡ τῶν Ἁγίων ἁγία, καὶ Θεομήτωρ Μαρία, ταῖς ἱκεσίαις σου Ἁγνὴ, ἐλευθέρωσον ἡμᾶς, ἐκ τῶν παγίδων τοῦ ἐχθροῦ, καὶ πάσης αἱρέσεως καὶ θλίψεως, τοὺς πιστῶς προσκυνοῦντας, τὴν εἰκόνα, τῆς ἁγίας σου μορφῆς.

Ὕμνον ἐπάξιον πᾶσα, τῇ Θεοτόκῳ ἡ κτίσις, σὺν τῷ Ἀγγέλῳ Γαβριὴλ, ἀνακράζει βοῶσα· χαῖρε ἡ Μήτηρ τοῦ Θεοῦ, δι' ἧς ἐλυτρώθημεν Παράμωμε, τῆς ἀρχαίας κατάρας, γεγονότες ἀφθαρσίας κοινωνοί.

Τῶν Χερουβὶμ ὑπερτέρα, τῶν Σεραφὶμ ἀνωτέρα, καὶ πλατυτέρα Οὐρανῶν, ἀνεδείχθης Παρθένε, ὡς τὸν ἀχώρητον παντὶ, ἐν μήτρᾳ χωρήσασα Θεὸν ἡμῶν, καὶ τεκοῦσα ἀφράστως, ὃν δυσώπει, ἐκτενῶς ὑπὲρ ἡμῶν.

Δόξα.

Μεγάλυνον ψυχήμου, τῆς Τρισυποστάτου, καὶ ἀδιαιρέτου Θεότητος τὸ κράτος.

Τὴν Τρισυπόστατον φύσιν, καὶ ἀδιαίρετον δόξαν, τὴν ἐν Θεότητι μιᾷ, ὑμνουμένην ἀπαύστως, ἐν Οὐρανῷ καὶ ἐπὶ γῆς, Τριάδα ἀχώριστον δοξάσωμεν, σὺν Υἱῷ τὸν Πατέρα, καὶ τὸ Πνεῦμα προσκυνοῦντες εὐσεβῶς.

Καὶ νῦν.

Μεγάλυνον ψυχήμου τὴν τιμιωτέραν, καὶ ἐνδοξοτέραν, τῶν ἄνω στρατευμάτων.

Ὑπὸ τὴν σὴν εὐσπλαγχνίαν, τοὺς καταφεύγοντας πίστει, καὶ προσκυνοῦντας εὐσεβῶς, τὸν Υἱόν σου Παρθένε, Θεογεννῆτορ ὡς Θεὸν, τοῦ Κόσμου καὶ Κύριον ἱκέτευε, ἐκ φθορᾶς καὶ κινδύνων, λυτρωθῆναι, καὶ παντοίων πειρασμῶν.

Κατοβασία.

„ Μυστήριον ξένον, ὁρῶ καὶ παράδοξον.
„ Οὐρανὸν τὸ σπήλαιον, θρόνον
„ Χερουβικὸν τὴν Παρθένον, τὴν φάτ-
„ νην χωρίον, ἐν ᾧ ἀνεκλίθη ὁ ἀχώρη-
„ τος, Χριστὸς ὁ Θεός. ὃν ἀνυμνοῦντες με-
„ γαλύνομεν.

Ἐξαποστειλ. Γυναῖκες ἀκουτίσθητε.

Ἣν πάλαι προκατήγγειλε, τῶν Προφητῶν ὁ σύλλογος, στάμνον καὶ ῥάβδον καὶ πλάκα, καὶ ἀλατόμητον ὄρος, Μαρίαν τὴν Θεόπαιδα, πιστῶς ἀνευφημήσωμεν. σήμερον γὰρ εἰσάγεται, εἰς τὰ ἅγια τῶν ἁγίων, ἀνατραφῆναι Κυρίῳ.

Ἐκ τρίτου.

Εἰς τοὺς Αἴνους, ἱστῶμεν ἦ. δ'. καὶ ψάλλομεν ἦ. ἦχ. α'.

Τῶν οὐρανίων ταγμάτων.

Λαμπαδηφόροι Παρθένοι, τὴν Ἀειπάρθενον, φαιδρῶς ὁδοποιοῦσαι, προφητεύουσιν ὄντως, ἐν πνεύματι τὸ μέλλον. Ναὸς γὰρ Θεοῦ, ἡ Θεοτόκος ὑπάρχουσα, πρὸς τὸν Ναὸν μετὰ δόξης παρθενικῆς, νηπιόθεν ἐμβιβάζεται.

Ἐπαγγελίας ἁγίας, καὶ ὁ καρπὸς εὐκλεὴς, ἡ Θεοτόκος ὄντως, ἀνεδείχθη τῷ Κόσμῳ, ὡς πάντων ὑπερτέρα, ἡ εὐσεβῶς, προσαγομένη ἐν οἴκῳ Θεοῦ, τὴν προσευχὴν τῶν τεκόντων ἀποπληροῖ, συντηρουμένη θείῳ Πνεύματι.

Ἐπουρανίῳ τραφεῖσα, Παρθένε ἄρτῳ πιστῶς, ἐν τῷ Ναῷ Κυρίου, ἀπεκύησας Κόσμῳ, ζωῆς ἄρτον τὸν Λόγον, ᾧ ὡς Ναὸς, ἐκλεκτὸς καὶ παράμωμος, προεμνηστεύθης τῷ Πνεύματι μυστικῶς, νυμφευθεῖσα τῷ Θεῷ καὶ Πατρί.

Ἐξανοιγέσθω ἡ πύλη, τοῦ Θεοδόχου Ναοῦ. τὸν γὰρ Ναὸν τοῦ πάντων, Βασιλέως καὶ θρόνον, σήμερον ἐν δόξῃ, ἔνδον λαβὼν, Ἰωακεὶμ ἀνατίθεται, ἀφιερώσας Κυρίῳ τὴν ἐξ αὐτοῦ, ἐκλεχθεῖσαν εἰς Μητέρα αὐτοῦ.

Δόξα, καὶ νῦν. ἦχ. β'.

Λέοντος Μαΐστορος.

Σήμερον τῷ Ναῷ προσάγεται, ἡ παράμωμος Παρθένος, εἰς κατοικητήριον τοῦ Παντάνακτος Θεοῦ, καὶ πάσης τῆς ζωῆς ἡμῶν τροφοῦ. σήμερον τὸ καθαρώτατον ἁγίασμα, ὡς τριετίζουσα δάμαλις, εἰς τὰ ἅγια τῶν ἁγίων εἰσάγεται. ταύτῃ ἐκβοή-

σω-

σωμεν, ὡς ὁ Ἄγγελος· Χαῖρε μόνη ἐν γυναιξὶν εὐλογημένη.

Δοξολογία Μεγάλη, καὶ Ἀπόλυσις.

Δίδοται καὶ ἅγιον ἔλαιον τοῖς Ἀδελφοῖς.

Εἰς τὴν Λειτουργίαν, Τυπικὰ, καὶ ἀπὸ τοῦ Κανόνος, Ω, δὴ γ'. καὶ ϛ'.

Κοινωνικόν. Ποτήριον σωτηρίου.

Δεῖ εἰδέναι, ὅτι ἑορτάζεται ἡ παροῦσα Ἑορτὴ, ἄχρι τῆς εἰκοστῆς πέμπτης τοῦ παρόντος Μηνός.

Τῷ αὐτῷ Μηνὶ, ΚΒ.

Τοῦ Ἁγίου Ἀποστόλου Φιλήμονος, καὶ τῶν σὺν αὐτῷ, καὶ τῆς Ἁγίας Μάρτυρος Κικιλίας. Ἑσπέρας, εἰς τὸ Κύριε ἐκέκραξα, ἱστῶμεν ἀ. ϛ'. καὶ ψάλλομεν ἀ. τῆς Ἑορτῆς. ἦχος, πλ.

Ὦ τοῦ παραδόξου θαύματος.

Ὦ τοῦ παραδόξου θαύματος, προϋπογράφεται νῦν, τὸ ἐσόμενον ἄρρητον, ἐν συμβόλοις σήμερον, ὁρατοῖς τὰ νοούμενα. ἡ φῶς γὰρ Κόσμῳ, θεῖον ἐκλάμψασα, νυμφαγωγεῖται, πρὸς Ναὸν ἔνθεον, ἣν εὐφημήσωμεν, ὡς Ναὸν Θεότητος ὑπερφυῆ, ἅγιον ἀείφωτον, τοῦ φωτοδότου Χριστοῦ.

Ὄντως ἀπαρχὴν εὐπρόσδεκτον, Ἰωακεὶμ ὁ σοφὸς, σὺν τῇ Ἄννῃ προσήνεγκαν, τῷ καταξιώσαντι, Θεῖον δοῦναι καρπὸν αὐτοῖς, τὴν Θεόπαιδα, Κόρην Μαρίαν σαφῶς, δι' ἧς τῆς λύπης, ἠλάθη ὄφλημα. ἣν ἀνυμνήσωμεν, εὐσεβῶς γηθόμενοι· τῆς γὰρ χαρᾶς, πρόξενος γεγένηται, παντὶ τῷ Κόσμῳ αὐτή.

Δεῦτε μυστικῶς συνδράμωμεν, καὶ προεξάρξωμεν νῦν, ταῖς λαμπᾶσι τῆς πίστεως, καταλαμπρυνόμενοι, τῆς Παρθένου τὴν πρόοδον. εἰς γὰρ Ναὸν, ἐνδόξως εἰσέρχεται, τοῦ Βασιλέως, μνηστευθεῖσα τῷ Πνεύματι, ἧς ἑορτάσωμεν, τὴν τερπνὴν πανύγυριν, θεοπρεπῶς, πάντες εὐωχούμενοι, ἐν τῇ Εἰσόδῳ αὐτῆς.

Ἕτερα ἀ. τῶν Ἁγίων. ἦχος, β.

Ὅτε ἐκ τοῦ ξύλου σε.

Κλῆμα, τῆς ἀμπέλου τῆς ζωῆς, ἔνδοξε Φιλήμον ὑπάρχων, οἶνον ἀπέσταξας, θείας ἐπιγνώσεως, ταῖς ἐν ὀδύνῃ ψυχαῖς, καὶ καρδίας ἐπεύφρανας, τὰς σκυθρωπαζούσας, πλάνης ἀμαυρότητι, περικειμένας τε, ζόφῳ τῆς εἰδωλομανίας. ὅθεν γηθοσύνως τὴν μνήμην, σοῦ τὴν θεαυγῆ πανηγυρίζομεν.

Πόλις, τῶν Γαζέων σε τιμᾶ, φῶς τῆς ἐπιγνώσεως μάκαρ, διὰ σοῦ βλέψασα. ἡ Κολασσαέων δὲ, τὸ θεῖον σῶμά σου, ὥσπερ ὄλβον κατέχουσα, τρυγᾷ τὰς ἰάσεις, καὶ τὴν ἀναβλύζουσαν, χάριν ἑκάστοτε. ὅθεν, ἐκτελεῖσου τὴν μνήμην, περισωζομένη κινδύνων, ἔνδοξε Φιλήμον τῇ πρεσβείᾳ σου.

Πίστει, σὺν Ἀπφίᾳ τῇ σεμνῇ, Ἄρχιππον σοφὸν ἱεράρχην, ἀνευφημήσωμεν, μέλποντες Φιλήμονα, καὶ τὸν Ὀνήσιμον, ἱεροὺς Θεοκήρυκας, σεπτοὺς διδασκάλους, πλάνην τὴν πολύθεον, τοὺς ἐκριζώσαντας, λόγῳ, καὶ φυτεύσαντας πᾶσι, γνῶσιν ἀληθείας τιμῶντες, τούτων εὐσεβῶς τὴν μνήμην πάντοτε.

Δόξα, τῶν Ἁγίων. ἦχος, πλ. β'.

Δεῦτε συμφώνως ἀνυμνήσωμεν, τοὺς αὐτόπτας τοῦ Λόγου, καὶ μύστας τῶν θαυμάτων αὐτοῦ, Φιλήμονα καὶ Ὀνήσιμον, Ἀπφίαν καὶ Ἄρχιππον, τοὺς Ἀποστόλους Χριστοῦ· χαίρετε, ἐκβοῶντες αὐτοῖς, τῆς οἰκουμένης φωστῆρες, Κολασσαέων πρόβολοι. Χαίρετε, Ἀγγέλων ὁμοδίαιτοι, οἱ τὴν πλάνην τῶν εἰδώλων, ἀνδρικῶς καταστρεψάμενοι, καὶ Χριστὸν Σωτῆρα κηρύξαντες, καὶ τῆς πλάνης τοὺς ἀνθρώπους ἀπαλλάξαντες. διὸ ὡς παριστάμενοι τῷ θρόνῳ τῆς ἁγίας Τριάδος, πρεσβεύσατε, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. ἦχος, α'.

Γεωργίου Νικομηδείας.

Ἀγαλλιάσθω σήμερον, ὁ Οὐρανὸς ἄνωθεν, καὶ αἱ νεφέλαι εὐφροσύνην ῥανάτωσαν, ἐπὶ τὰ λίαν παράδοξα, μεγα-

λεῖα τοῦ Θεοῦ ἡμῶν. ἰδοὺ γὰρ ἡ πύλη, ἡ κατὰ ἀνατολὰς βλέπουσα, ἀποκυηθεῖσα, ἐκ στείρας ἀκάρπου, ὀξ ἐπαγγελίας, καὶ τῷ Θεῷ ἀφιερωθεῖσα εἰς κατοίκησιν, σήμερον ἐν τῷ Ναῷ, ὡς ἄμωμος προσφορὰ προσάγεται. Ἀγαλλιάσθω ὁ Δαβὶδ κρούων τὴν κιννύραν. ἀπενεχθήσονται φησὶ, τῷ Βασιλεῖ παρθένοι ὀπίσω αὐτῆς, αἱ πλησίον αὐτῆς ἀπενεχθήσονται, ἔσω ἐν τῇ σκηνῇ τοῦ Θεοῦ, ἔνδον τοῦ ἱλαστηρίου αὐτοῦ, ἀνατραφῆναι εἰς κατοίκησιν, τοῦ πρὸ αἰώνων ἐκ Πατρὸς, ἀῤῥεύστως γεννηθέντος, εἰς σωτηρίαν τῶν ψυχῶν ἡμῶν.

Εἰς τὸν ἅ. ἅ. τῆς Ἁγίας. ἦχ, δ'.

Ἔδωκας σημείωσιν.

Σῶμα ἀκηλίδωτον, καὶ λογισμὸν ἀπαράδεκτον, ἡδονῶν διετήρησας, καὶ νύμφη ἀκήρατος, τῷ πεποιηκότι, σεαυτὴν προσῆξας, πεποικιλμένην ἱερῶς, τῷ μαρτυρίῳ ἀειμακάριστε. διὸ καὶ προσελάβετο, πρὸς φωτεινότατον θάλαμον, καὶ νυμφῶνα ἀκήρατον, Κικιλία πανεύφημε.

Ῥόδοις ἡδυπνόοις σε, εὐωδιάσας ὁ Κύριος, αἰσθητῶς σεμνοπάρθενε, ζωγροῖ μεσιτείᾳ σου, ἀδελφῶν δυάδα, ἐνοσφισαμένην, τούτων εὐχῇ σου ἐκτενεῖ. ὅθεν λιπόντες, δυσῶδες σέβασμα, τοὺς πλάνης ἠξιώθησαν, τοῦ ἐκ Παρθένου νεανίδος, μύρου θείου δι' ἄφατον, κενωθέντος χρηστότητα.

Ἡλούτου κατεφρόνησας, τὸν ἐπουράνιον στέργουσα, καὶ μνηστῆρος ἠλόγησας, Παρθένων ἐν τάγμασι, σεαυτὴν πανσόφως, ἀριθμησαμένη, καὶ προσενήνοχας σαυτὴν, τῷ οὐρανίῳ νυμφίῳ πάνσεμνε, ἀθλήσασα στερρότατα, καὶ τὴν ὀφρὺν τοῦ ἀλάστορος, ἀνδρικῶς συμπατήσασα, ἀθλητῶν τὸ ἀγλαΐσμα.

Ἕτερα ἅ. τῆς Ἑορτῆς. ἦχ, β.

Οἶκος τοῦ εὐφραθᾶ.

Σήμερον ψαλμικῶς, τὰ στίφη τῶν παρθένων, ἀνάψαντα λαμπάδας, φαιδρῶς ὁδοποιοῦσι, τὴν μόνην παναμώμητον.

ἅ. Ἀπενεχθήσονται τῷ Βασιλεῖ.

Ὄρος τὸ νοητὸν, ἡ Τράπεζα ἡ θεία, ἡ Γέφυρα ἡ Στάμνος. Προφῆτα ὑποδέχου, τὴν μόνην Παναμώμητον.

ἅ. Ἀπενεχθήσονται ἐν εὐφροσύνῃ.

Πύλας τοῦ ἱεροῦ, διάρας Ζαχαρία, Προφῆτα ὑποδέχου, Θεοῦ τὴν θείαν πύλην, τὴν μόνην Ἀειπάρθενον.

Δόξα καὶ νῦν. ἦχ, β'.

Σήμερον τῷ Ναῷ προσάγεται, ἡ πανάμωμος Παρθένος, εἰς κατοικητήριον τοῦ παντάνακτος Θεοῦ, καὶ πάσης τῆς ζωῆς ἡμῶν Τροφοῦ. σήμερον, τὸ καθαρώτατον ἁγίασμα, ὡς τριετίζουσα Δάμαλις, εἰς τὰ ἅγια τῶν ἁγίων εἰσάγεται. ταύτῃ ἐκβοήσωμεν, ὡς ὁ Ἄγγελος· Χαῖρε μόνη, ἐν γυναιξὶν εὐλογημένη.

Ἀπολυτίκιον τῆς Ἑορτῆς, καὶ τῶν Ἁγίων Ἀποστόλων. ἦχ, γ'. Ἀπόστολοι ἅγιοι.

Εἰς τὸν Ὄρθρον, μετὰ τὴν συνήθη ἅλλο. ὁ Κανὼν τῆς Ἑορτῆς, καὶ τῶν Ἁγίων.

Οὗ ἡ ἀκροστιχίς.

Χριστὸν φιλοῦντα δοξάσω σε Φιλῆμον.

Ὠδὴ, α'. ἦχ, β'.

Δεῦτε λαοὶ, ᾄσωμεν.

Χοροβατῶν, χαρμονικῶς τὰ οὐράνια, ἱερουργὲ σκηνώματα, χάριν παράσχου μοι, τὴν ἁγίαν σου μνήμην, ἐνθέως ἀνυμνοῦντι. σὺ γὰρ δεδόξασαι.

Ῥείθροις τῶν σῶν, λόγων καρδίας κατήρδευσας, καὶ γεωργεῖν οὐράνια, μάκαρ νοήματα, παρεσκεύασας πίστει, Ἀπόστολε Φιλῆμον, ἀξιοθαύμαστε.

Ἱερουργῶν, τὸ ἱερὸν Εὐαγγέλιον, ταῖς ἀστραπαῖς τοῦ Πνεύματος, ψυχὰς ἐφώτισας, λυτρωσάμενος σκότους, τῆς εἰδωλομανίας, σοφὲ Ἀπόστολε.

Θεοτοκίον.

Σὲ προφητῶν, πάλαι ὁ θεῖος κατάλογος, πολυειδέσιν Ἄχραντε, συμβόλοις πόῤῥωθεν, προεχάραξεν ὄντως, τὴν μόνην τὸν Δεσπότην, ἀποκυήσασαν.

Ἕτερος Κανὼν τῆς Ἁγίας.

Ὠδὴ, α'. ἦχ, α'. Χριστὸς γεννᾶται.

Χριστοῦ παναγίου τέμενος, Χριστοῦ φωτοειδὲς ἐνδιαίτημα. Χριστοῦ ναὲ καθαρώτατε, ἔνδοξε Κικιλία, Μάρτυς σεμνὴ,

μὴ, ταῖς σαῖς ἱκεσίαις, φωταγώγησον ἡμᾶς, τὰς ἀϋμνήτας σε.

Χριστὸ τὸ κάλλος ποθήσασα, Χριστοῦ κραταιωθεῖσα τῷ ἔρωτι, Χριστὸ προσαγαῖς πειθήσασα, Κόσμῳ καὶ τοῖς ἐν κόσμῳ, Μάρτυς σεμνὴ, πᾶσιν ἐμεκράνθης, ἐ ζωῆς τῆς αἰωνίου κατηξίωσαι.

Ψυχὴν ἀμόλυντον φέρουσα, καὶ σῶμα καθαρὸν καὶ ἀγνότατον, Χριστῷ τῷ Θεῷ μεμυμφόυσαι, ἀμωμότατε τηρήσει, ἐ καθαρᾷ, Μάρτυς εἰς αἰῶνας, εἰς μυμφῶνα μόνον θεομακάρισε.

Ῥυσθῶσι Κόρη παράμωμε, παθῶν ἐπικρατείας τὰς δήλως σε, τὴν σὴν ἐκτενῶς ἱκέτιν, Κύριον ἐ Δεσπότην, ὃν ἐκ τῆς σῆς, Παρθένε αἱμάτων, ἐσωμάτωσας ἡμῖν, προσομιλήσαντα.

Ὠδὴ, γ. Στερέωσον ἡμᾶς ἐν σοὶ Κύριε.

Τὰ πάθη τῆς Χριστῆς ἐ τὴν αὐτάσειαν, κηρύττων ἀφέγησας ὡς ἐκ ταφῆς, ἀπιστίας ἐ νεκρώσεως, τὰς ἀνθρώπους Φιλήμων ἀξιάγασε.

Ὁμήσιμον τὸν θεῖον ἐ Φιλήμονα, Ἀπφίαν ἐ Ἄρχιππον τὰς ἀγέρας, τὰς φωτίζοντας τὰ πέρατα, ἱεραῖς μελῳδίαις εὐφημήσωμεν.

Νοὸς τὸ ὀπτικὸν αἰακαθάρτους, τῆς θείας ἐτύχετε θεοπτίας, καὶ καρδίας ἐπιστρέψατε, πλανωμένας, πρὸς γνῶσιν ἱερώτατοι. Θεοτοκίον.

Φανεῖσα καθαρὰ ἐ παμακήρατος, ἐδέξω ἐν μήτρᾳ τὸν Θεὸν Λόγον, τὸν καθάραντα τὴν φύσιν ἡμῶν, ῥυπωθεῖσαν Παρθενὲ ἁμαρτήμασιν.

Ἄλλος. Γῷ πρὸ τῷ αἰῶνος.

Μὸν ἐκ τῆς Παρθένου, σαρκωθέντα ἀφράστως Χριστὸν τὸν Θεὸν, καθαρωτάτῃ διανοίᾳ ἐκζητῆσα ἐβόας αὐτῷ, σὺ ὀπίσω Δέσποτα, προσεκολλήθην, ἐ σὺ τῇ ὀργῇ, ψυχήν μου συνέδησα.

Ἔχουσα παῤῥησίαν, ἐπαγρύπνιον προῖκά τε μεμνῆσαι, τῆς ἐπιγείου ὡς προσκαίρου, ἐ φθαρτῆς Κικιλία, Ἁγνὴ Μάρτυς κατεφρόνησας, τὴν παρθενίαν πηρῶσα Χριστῷ, ἄσπιλον ἀμόλυντον.

Ἔρωτι αὐλῷ, τὰς ἐμύλους ἐμάρανας ἔρωτας, ἐ τὸν μνηστῆρα ζωηρρύτοις, καὶ παμσόφοις σε λόγοις, σὺν σοὶ παρθενεύειν ἔπεισας. μεθ' ὧν σωνήφθης Ἀγγέλων χοροῖς, Μάρτυς ἀξιάγασε. Δόξ.

Ἡ ἀγεωργήτως, ὡς κατάκαρπος Ἄμπελος Ἀχράντε, ἐ συλλαβοῦσα ἐ τεκοῦσα, τὸν ἀκήρατον Βότρυν, Χριστὸν οἶνον ἀποστάζοντα, θεογνωσίας ἡμῖν ὡς Θεὸν, αἴτησαι σωθῆναι ἡμᾶς.

Καὶ. τῆ Ἁγίᾳ Φιλήμονος. Ἦχος, πλ. Τὴν Σοφίαν ἐ Λόγον.

Τῷ ἀρότρῳ τὸν λόγον καλλιεργοῦσα, Χριστοῦ σωθεῖσα καρδίας Γεωργὲ, τὴν θείαν ἐπίγνωσιν, γεωργεῖν παρεσκεύασας. καὶ καθελοῦσα τεμένη, εἰδώλων ἀνήγειρας, Ἐκκλησίας μάκαρ, εἰς δόξαν τοῦ Κτίσαντος. ὅθεν σωελθόντες, τὸν ἁγιάσαντα μνήμην, Φιλήμονα δοξάζομεν, ἱερῶς φωτιζόμενοι, ἐ συμφώνως βοῶμέν σοι· πρέσβευε Χριστῷ τῷ Θεῷ, τὴν πταισμάτων ἄφεσιν δωρήσασθαι.

Ἕτερον τῆς Ἁγίας, Ἦχος, α. Τὸν παφλαγόνα Σωτῆρα.

Νυμφίον ἀληθῶς, τὸν Χριστὸν κεκτημένη, νυμφίου σαρκικοῦ, ἐβδελύξω τὸν πόθον. ἐ τοῦτον προσεμνήσθης, τῷ Θεῷ διὰ πίστεως, ἐραθλήσαντα, σὺν σοὶ ἱερῶς Κικιλία, ἐ τὸν σέβασμον, ἀπολαβόντα τῆς νίκης, μεθ' ὧν ἡμῶν μέμνησο.

Τῆς Ἑορτῆς. Ὅμοιον.

Δικαίως ὁ καρπὸς, Γωακεὶμ ἐ τῆς Ἄννης, προσφέρεται Θεῷ, Ἱερῷ ἐν ἁγίῳ, σαρκὶ μητριάζουσα, ἡ τροφὸς τῆς ζωῆς ἡμῶν. ἰὼ ἀλόγησον, ὁ Ἱερὸς Ζαχαρίας, ταύτῃ ἅπαντες, οἱ γηγενεῖς μὴ φοβοῦ, πιστῶς μακαρίσωμεν.

Ὠδὴ, δ. Τὸν μῦθόν σε ἀκούσας.

Τῷ σταυρῷ τῷ Σταυρῷ πτερύσσομαι, διεπέρασας ἀχειμάστως, τὸ χαλεπὸν πέλαγος, τῷ πειρασμῷ τοῦ βίου, μάκαρ πολλοὺς, κυβερνήσας θαλαττεύοντας, πρὸς σωτηρίας ὅρμον θεία χάριτι.

Λαμπτῆρας φωταυγεῖς προβαλλόμενα θεία πόλις Κολασσαέων, τὸν

Ἄρχιππον, Φιλήμονά τε, καὶ Ἀπφίαν σαφῶς, καὶ Ὀνήσιμον τὸν ἔνδοξον, φωταγωγοῦντας Κόσμου τὰ πληρώματα.

Ὁ Θεῖος ποταμὸς ἀνέβλυσε, τῆς καρδίας σου θεορρήμον, καὶ ποταμοὺς ἔστησε, καὶ ῥεύματα τῆς ἀθείας, ψυχὰς ἐκτακείσας δὲ τῷ καύσωνι, τῆς ἀγνωσίας ἤρδευσεν ἐν χάριτι.

Θεοτοκίου.

Ὑμνῶσε ἀληθῶς πανύμνητε, ὑπερύμνητον Θεὸν Λόγον, ὑπερφυῶς τέξασαν, καὶ δέομαι, τῆς ταπεινῆς μου ψυχῆς θεραπεῦσαι τὰ νοσήματα, ὡς ἀγαθὴ ὑπάρχουσα θεόνυμφε.

Ἄλλος. Ῥάβδος ἐκ τῆς ῥίζης Ἰεσσαί.

Ἄγγελος φωτὸς σοὶ παρεστὼς, καὶ φύλαξ δεδομένος σοι, φωτί σε θείῳ κατελάμπρυνε, ῥυόμενός σε παντὸς, ἐναντίου ἔνδοξε, ἄφθορον ἁγνὴν διατηροῦντι, εὐαρεστοῦσαν Χριστῷ, πίστει Κικιλία καὶ χάριτι.

Θείαις σου πεισθεῖσα διδαχαῖς, εἰδώλων τὸ βαθύτατον, ὦ Κικιλία σκότος ἔλιπε, Βαπτίσματι θεουργῷ, προσελθὼν γηθόμενος, Βαλλεριανὸς ὁ γενναιόφρων, καὶ φωτισθεὶς τὴν ψυχὴν, φέγγος Μαρτυρίου ἀπήστραψε.

Θάλαμον θαλάμου καθαρὸν, ἠλλάξω τὸν οὐράνιον, τοῦ ἐπιγείου ἀξιάγαστε. εἰς ὃν οἰκεῖς ἐν χαρᾷ, παρθενίας κάλλεσι, καὶ μαρμαρυγαῖς ταῖς τῆς ἁγνείας, ἠγλαϊσμένη φαιδρῶς, Μάρτυς Κικιλία θεόνυμφε.

Θεοτοκίου.

Ῥάβδον σε Παρθένε Ἀαρὼν, ἀνίκμως ἐκβλαστήσασαν, προεξεικόνισεν ἀνθήσασαν, τὸν φυτουργὸν τοῦ παντός. ὃν δυσώπει πάντοτε, πάντων εὐσεβῶν τὰς διανοίας, τὸν φόβον τὴν ἑαυτοῦ, Δέσποινα φυτεῦσαι Πανάμωμε.

Ὠδὴ, ε'. Ὁ τοῦ φωτὸς χορηγός.

Νενοσηκότας ὁρῶν, τῇ σηπεδόνι τῶν δεινῶν ἔνδοξε, τῷ δραστικῷ λόγῳ σου ἰάσω, Φιλήμον τῆς ποτὲ, εἰδωλομανίας, σφοδρῶς κινδυνεύοντας.

Πᾶς οὐρανίους ὁδοὺς, τοῖς πλανηθεῖσι χαλεπῶς ἔδειξας, ὡς ἀπλανὴς ὁδηγὸς Φιλήμων, καὶ μόνην τὴν ὁδὸν, Χριστὸν ἀγαπῆσαι, ὁσίως ὡδήγησας.

Ἄγει φαιδραὶ ἑορτὴν, Κολασσαέων ἡ σεπτὴ σήμερον, περιχαρῶς Χριστοῦ Ἐκκλησία, τὸν θεῖον Ἄρχιππον, καὶ τὸν θεηγόρον, τιμῶσα Φιλήμονα.

Θεοτοκίου.

Δέσποινα σῷσον ἡμᾶς, χειμαζομένους χαλεπῷ κλύδωνι, τῶν πειρασμῶν καὶ τῶν ἀνημέρων, Βαρβάρων ἐκδρομαῖς, καὶ ταῖς τῶν Δαιμόνων, δεινοῖς ἐπιθέσεσιν.

Ἄλλος. Θεὸς ὢν εἰρήνης.

Αὐτρόν σου τὸ θεῖον, Βαλλεριανὲ, ἐκζητοῦντος ὡράθησοι Ἄγγελος, τὸν νοῦν καὶ τὴν καρδίαν σου, φωτίζων ἱερῶν, λογίων ἀναπτύξει, καὶ πείθων οὐρανίαις, συναφθῆναι χορείαις, ἐπὶ τῆς γῆς ἀγωνισάμενον.

Φηροῦσι παρθένον, καὶ σῶμα καὶ νοῦν, συνδουμένοις τε θείῳ ἐν Πνεύματι, στεφάνους ὁρατοὺς ὑμῖν, ἀπέστειλε Χριστὸς, ἐκ ῥόδων ἡδυπνόων. αὐτοῦ γὰρ εὐωδία, καὶ τῆς πίστεως ὄντως, πανευκλεέστατοι γεγόνατε.

Λυσώδη Τιβούρτιε, πλανὴν λιπὼν, ἀντελάβου ὁδμῆς θείας γνώσεως, καὶ τρίβον τὴν ἀπάγουσαν, ζωὴν πρὸς ἀληθῆ, προθύμως ἐπορεύθης, πιστεύσας ὁλοψύχως, τῇ Τριάδι καὶ ταύτης, ὑπεραθλήσας προθυμότατα.

Θεοτοκίου.

Ἁγίων Ἀγγέλων, Παρθένε Ἁγνὴ, ὑπερέχουσα ὤφθης κυήσασα, βουλῆς μεγάλης Ἄγγελον, Θεὸν Ἐμμανουὴλ, βροτοὺς ἐπουρανίους, αὐτοῦ τῇ καταβάσει, ἐργαζόμενον Κόρη, δι' εὐσπλαγχνίαν ἀδιήγητον.

Ὠδὴ, ϛ'. Ἐν ἀβύσσῳ πταισμάτων.

Οὐρανὸς ὤφθης πᾶσι φθεγγόμενος, δόξαν τὴν σωτήριον, τοῦ σε δοξάσαντος, καὶ Μαθηταῖς συντάξαντος, ἑβδομήκοντα μάκαρ πανόλβιε.

Ξενωθεὶς τῆς Πατρίδος τῷ ξένῳ σου, λόγῳ ξενωθέντας, Θεοῦ ἐσαγηνεύσας, καὶ τῆς Σιὼν οἰκήτορας, Ἱεράρχα Φιλήμον ἀνέδειξας.

Ἀρε-

Ἀρεταῖς ἱεραῖς ἀπαστράπτουσα, καὶ περιφανῶς τὸν Θεὸν θεραπεύσασα, πρὸς Οὐρανοὺς ἀνέδραμες, σὺν Ἀγγέλοις Ἀπφία χορεύουσα.

Θεοτοκίον.

Σωματοῦται ὁ Λόγος ἐν μήτρᾳ σου, καὶ δι' εὐσπλαγχνίαν, γνωρίζεται ἄνθρωπος, ἵνα Θεὸν τὸν ἄνθρωπον, ἀπεργάσηται Κόρη Πανάμωμε.

Ἄλλος. Σπλάγχνων Γωναῖν.

Χεῖρας πρὸς Θεὸν, προθύμως ἐπάραντες, τοὺς εἰδωλικοὺς ναοὺς κατέρραξαν, καὶ συνέτριψαν, καὶ βυθῷ ἀπωλείας παρέπεμψαν, τῶν δαιμόνων τὰς ἐπάρσεις οἱ στερρότατοι. νίκης, ὅθεν ἐκομίσαντο, εὐπρεπῆ καὶ φαιδρὰ διαδήματα.

Ἄρνες λογικοὶ, ὑπάρχοντες ἅγιοι, θηρίων ὁρμὰς οὐκ ἐπτοήθητε, οὐκ ἐνείματε, ἀλογώτατον σέβας τοῖς δαίμοσιν, οὐ θυσίαν προσηνέγκατε ὀλέθριον. μᾶλλον, ἑαυτοὺς δὲ θύματα, καθαρὰ τῷ Θεῷ προσηγάγετε.

Πόθος σε Θεοῦ, καὶ ἔρως ἐγκάρδιος, καὶ θεία στοργὴ, ὅλην ἀνέφλεξε, καὶ εἰργάσατο, μετὰ σώματος ἔνδοξε Ἄγγελον. ὑποκλίνεις γὰρ αὐχένα προθυμότατα, ξίφει, καὶ τὴν γῆν τοῖς αἵμασι, καὶ ψυχῇ τὸν ἀέρα ἡγίασας.

Θεοτοκίον.

Ἔστη μέχρι σοῦ, Παρθένε ὁ θάνατος. ζωὴν γὰρ Χριστὸν ἐκυοφόρησας, τὸν δωρούμενον, καθαρῶς εἰς αὐτὸν τοῖς πιστεύουσι, τὴν ἀθάνατον καὶ θείαν ἀγαλλίασιν. τοῦτον, Παναγία αἴτησαι, λυτρωθῆναι κινδύνων τοὺς δούλους σου.

Ὁ Εἱρμός.

Σπλάγχνων Γωναῖν, ἔμβρυον ἀπήμεσεν.

Κοντάκιον τῆς Ἁγίας. ἦχος, δ'.

Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Μὴν νυμφευθεῖσαν, τῷ Χριστῷ ἑκουσίως, καὶ στολισθεῖσαν, ἀρεταῖς τὴν καρδίαν, θεοπρεπῶς ὑμνήσωμεν πιστῶν ἡ πληθύς. αὕτη γὰρ κατηόχυνεν, Ἀλμακίου τὸ θράσος, λάμψασα ὡς Ἥλιος, μέσον τῶν ἐκζητούντων. καὶ μετὰ ταῦτα ὤφθη τοῖς ἐν γῇ, στήριγμα θεῖον, τὴν Πίστιν κρατύνασα.

Ὁ Οἶκος.

Ἀρχὴ ἐλπίδος ἀγαθοῦς, ἐδόθη τοῖς Ἁγίοις, ὀξαίρετα τοῦ πράττειν, κατάπληκτα μεγάλα, ἅπερ καὶ θαύματα ἐστὶ θαυμάζεσθαι ἀξίως. μεθ' ὧν καὶ τὴν τῆς Παρθένου Κικιλίας ἀρετὴν, καὶ ἄσπιλον λαμπρότητα, πῶς ἀπεκδυσαμένη, τὸν ἄρχοντα ἔφυγε τοῦ σκότους, καὶ δραμοῦσα πρὸς τὴν πάλην τοῦ ἐχθροῦ, ἔστη ἐρρωμένη ἀπτοήτως, καὶ ἡμεῖς τοῦ θαύματος τούτου, γεγονότα ἀληθῆ πράγματα, φῶμεν· πῶς διὰ Χριστὸν, ἐπτέρνησε τὸν βελίαρ, τὴν Πίστιν κρατύνασα.

Τῷ αὐτῷ Μηνὶ, ΚΒ'. Μνήμη τῆς Ἁγίας Μάρτυρος Κικιλίας, Βαλλεριανοῦ, καὶ Τιβουρτίου.

ἦ. Λουτροῦ φέρεις ἔκκουσιν ὦ Κικιλία,
Λούῃ δὲ λουτρὸν αἵματος διὰ ξίφους.
Βαλλεριανὸν καὶ συναθλητὴν ἅμα,
Κτείνει ξίφος βάλλοντας ὕβρεσι πλάνην.
Δευτέρῃ εἰκάδι Κικιλίαν τάμον ἀμφὶ λοετρόν.

Οὗτοι ἤθλησαν ἐπὶ τῆς βασιλείας Διοκλητιανοῦ. Καὶ ἡ μὲν Κικιλία ὑπῆρχεν ἐκ τῆς Ῥώμης, προγόνους ἔχουσα λαμπρούς. Μνηστευθεῖσα δὲ τῷ Βαλλεριανῷ, τοῦτον ἐπὶ τὴν εἰς Χριστὸν πίστιν μετηγάγετο, καὶ ἐν ἁγνείᾳ διάγειν ἔπεισεν. Ὁ δὲ Βαλλεριανὸς τὸν Τιβούρτιον, ἀδελφὸν αὐτοῦ γνήσιον ὄντα. Εἰς τοσαύτην δὲ ἀρετὴν ἀνήχθη ὁ Τιβούρτιος, ὡς καὶ Ἀγγέλοις καθ' ἑκάστην προσομιλεῖν. Οὗτοι οὖν τὰ λείψανα τῶν τοῦ Χριστοῦ Μαρτύρων θάπτοντες, διαβάλλονται τῷ Σκιραλμακίῳ Ἐπάρχῳ τῆς Πόλεως. Καὶ ἀχθέντες ἐνώπιον αὐτοῦ, καὶ τὸν Χριστὸν ὁμολογήσαντες, ἐκδίδονται τῷ Καπηλαρίῳ Μαξίμῳ, ἀποτμηθησόμενοι τὰς κεφαλάς. Ὃς μετὰ τὴν τῶν Ἁγίων ἐκτομὴν, θεασάμενος Ἀγγέλους προπέμποντας καὶ δορυφοροῦντας τὰς ψυχὰς τῶν Μαρτύρων, ἐπίστευσε καὶ αὐτός. Ἡ δὲ Ἁγία Κικιλία ἐν βαλανείῳ βληθεῖσα σφοδρῶς ἐκκαέντι, καὶ μὴ συγχωρουμένη τὴν ἔξοδον, ἐπὶ τρισὶν ἡμέραις παραμείνασα, τὴν διὰ ξί-

φυς δέχεται τελευτὴν ἐν αὐτῷ τῷ βαλανείῳ, τοῦτο τοῦ Ἐπάρχου ἀποφηναμένου.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τῶν Ἁγίων Ἀποστόλων ἐκ τῶν ἑβδομήκοντα, Φιλήμονος, Ἀρχίππου, καὶ Ἀπφίας, Μαθητῶν γεγονότων Παύλου τοῦ Ἀποστόλου.

ἡ. Χριστοῦ καλοῦντος ὤφθητε δρόμῳ ξένῳ,
Χριστοῦ Μαθηταὶ, δραμόντες πρὸς τὴν κλῆσιν.

Οὗτοι ὑπῆρχον ἐπὶ Νέρωνος τοῦ Βασιλέως, Μαθηταὶ γεγονότες τοῦ Ἁγίου Παύλου. Ἐμαρτύρησαν δὲ ἐν Κολασσαῖς, πόλει τῆς Φρυγίας, πλησίον τῆς Λαοδικείας. Τῶν γὰρ Ἑλλήνων ἑορτὴν ἀγόντων τῇ Ἀρτέμιδι, ἐν τῷ ταύτης ναῷ τῷ ἐν Κολασσαῖς, αὐτοὶ τῷ Θεῷ τὴν δοξολογίαν ἀνέφερον ἐν τῇ ἁγιωτάτῃ Ἐκκλησίᾳ, μετὰ καὶ ἄλλων Χριστιανῶν. Ὧν τῇ τῶν εἰδωλολατρῶν ὑποκεχωρηκότων ἐφόδῳ, οὗτοι μόνοι μετὰ τῆς Ἀπφίας, πιστῆς καὶ αὐτῆς οὔσης, ἐναπελείφθησαν, ποθοῦντες τὸ κατὰ Χριστὸν Μαρτύριον. Συσχεθέντες οὖν, ἤχθησαν πρὸς Ἀνδροκλέα τὸν ἡγεμόνα Ἐφέσου. Τύπτονται οὖν παρ' αὐτοῦ, καὶ μὴ πεισθέντες θῦσαι τῷ εἰδώλῳ τῷ καλουμένῳ Μηνᾷ, εἰς βόθρον ἐμβάλλονται μέχρις ὀσφύος, καὶ οὕτω λιθολευστοῦνται, πρότερον ὑπὸ παίδων ῥαφίσι κατακεντηθέντες.

Τῇ αὐτῇ ἡμέρᾳ, Ἄθλησις τῶν Ἁγίων Μαρτύρων Μάρκου, Στεφάνου, καὶ ἑτέρου Μάρκου.

ἡ. Τμηθεὶς ξίφει Στέφανε σὺν Μάρκοις δύω,
Πολλοὺς σὺν αὐτοῖς τοὺς Στεφάνους λαμβάνεις.

Οὗτοι ὑπῆρχον ἐπὶ Διοκλητιανοῦ βασιλέως, καὶ Μάγνου Ἡγεμόνος, ἐκ Πόλεως Ἀντιοχείας τῆς Πισιδίας. Κατασχεσθέντες δὲ, καὶ τὸν Χριστὸν παρρησίᾳ ὁμολογήσαντες, καὶ πλείστας ὑποστάντες βασάνους, καὶ μὴ πεισθέντες ἀρνήσασθαι τὸν Χριστὸν, τὰς κεφαλὰς ἀπετμήθησαν.

Τῇ αὐτῇ ἡμέρᾳ, Ἄθλησις τοῦ Ἁγίου Μάρτυρος Προκοπίου τοῦ ἐν Παλαιστίνῃ.

ἡ. Πρὸς τὴν τομὴν ὥρμησεν οἷα πρὸς πάλην,
Καὶ Προκόπιος θρέμμα τῆς Παλαιστίνης.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ Ἁγίου Μάρτυρος Μενίγνου τοῦ Κναφέως.

ἡ. Κάραν κναφεῦ Μενίγνε τμηθεὶς ἐκ ξίφους.
Κνάπτεις σεαυτὸν, κἂν ῥύπους εἶχες, πλύνων.

Οὗτος ὥρμητο ἀπὸ Κολωνίας τῆς Ἑλλησσόντου, ἐκ Πόλεως Παρείου. Καὶ ἀκούσας στρατιωτῶν τινῶν ἐν ἀγορᾷ βοώντων, ὅτι ὁ Ναζωραῖος Ἰησοῦς νυκτὸς ἐλθὼν, ἔκλεψε τοὺς δεσμίους ἡμῶν, ὑπερζέσας τῷ πνεύματι, πολλὴν φροντίδα ἐτίθετο τοῦ Μαρτυρίου τυχεῖν. Ἐν γὰρ τῇ αὐτῇ Πόλει τοῦ Ἁγίου, πολλῶν Μαρτύρων ὑπὸ τῶν φυλάκων κατακλεισθέντων ταῖς φυλακαῖς, ἐσφραγισμένων τῶν θυρῶν οὐσῶν, οἱ Ἅγιοι ὑπὸ θείου Ἀγγέλου τῶν δεσμῶν ἀπελύθησαν. Ὅθεν μὴ εὑρισκομένων αὐτῶν, μεγάλως οἱ διῶκται ἐταράχθησαν. Ἐπεὶ δὲ ὁ Μενίγνος, καὶ θείας φωνῆς καλούσης αὐτὸν, καὶ πρὸς τοὺς ἀγῶνας διεγειρούσης ἤκουσεν, οὐκ ἀνεβάλλετο, ἀλλ' ἀποδοὺς τὰ ἱμάτια τοῖς δεσπόταις, (Κναφεὺς γὰρ ἦν,) καὶ τὰ παρὰ τῶν τυράννων τιθέντα γράμματα διαρρήξας, τύπτεται ὑπὸ τῶν δημίων ἀφειδῶς, καὶ ἐπὶ γῆς ῥιφεὶς λὰξ αὐτείνεται, καὶ ἐπὶ ξύλου κρεμασθεὶς ξέεται, καὶ τοὺς δακτύλους τῶν ποδῶν ἀποτέμνεται. καὶ τοῖς τυράννοις ἀχθεὶς, καὶ θύειν ἀπαρνησάμενος, τὴν ἐπὶ θάνατον κατακρίνεται. καὶ τῷ ξίφει παρὰ τοῦ δημίου κρουσθεὶς, τὸ Πνεῦμα τῷ Κυρίῳ παρέθετο.

Τῇ αὐτῇ ἡμέρᾳ, Τοῦ Ὁσίου Ἀββᾶ.

ἡ. Τὸν Ἀββᾶν, ὡς τύπωσιν ὄντα Ἀββάδων.
Τιμῶ πατρικῶς, ὡς φερωνύμως τέκνον.

Οὗτος ἦν ἐκ γένους τῶν Ἰσμαηλιτῶν. Καταλιπὼν δὲ γονεῖς, καὶ πατρίδα, καὶ πλοῦτον, ἠκολούθησε Μοναχῶτιν, ἐνδυσάμενος τὸ μοναχικὸν σχῆμα, καὶ ἦν σὺν

αὐτῷ

αὐτῷ ἐπὶ χρόνους τινάς. Εἶθ' οὕτω λαβὼν αὐτὸν ὁ ἐπιστάτης αὐτοῦ, σὺν αὐτῷ ἀπῆλθε μαθητευθῆναι παρὰ τῷ μεγάλῳ Εὐσεβίῳ τῷ ἀγωνιστῇ. Οὗ κοιμηθέντος, ἔμεινεν οὗτος παρ' αὐτῷ τῷ τόπῳ. Ὀκτὼ δὲ καὶ τριάκοντα διατελέσας ἐκεῖσε χρόνους, ἀεὶ ἐπεκτείνετο, ὡς ἀρχὴν ἔχων. Ὑποδήμασι μὲν οὐδέποτε τοὺς πόδας ἐκάλυψεν, ἐσθίων δὲ βραχέα, καὶ ὅσα βραχεῖαν ἐντίθησι δυνάμιν, περιττὴν ἡγεῖτο καὶ τὴν τοῦ ὕδατος χρείαν. Σιδήρῳ δὲ τὴν ὀσφὺν ἐζωσμένος, ἐκάθητο μὲν ὀλιγάκις, τῆς δὲ νυκτὸς καὶ ἡμέρας τὸ πλεῖστον ἑστηκώς, ἢ ἐπὶ τῶν γονάτων κείμενος, τὴν τῆς εὐχῆς τῷ Δεσπότῃ λειτουργίαν προσέφερε. Τῆς κατακλίσεως δὲ τὴν χρείαν, ἀναγκαίαν ἡγεῖτο οὐδαμῶς. οὐδεὶς γὰρ αὐτόν ποτε κατακλιθέντα ἐθεάσατο. Ἀλλὰ καὶ τοῦ χοροῦ κορυφαῖος γενόμενος, καὶ προστατεύειν λαχὼν, ἀρχέτυπον ἑαυτὸν τῆς φιλοσοφίας τοῖς ὑπηκόοις ἅπασι προὔθηκεν. Οὕτω βιοὺς, καὶ πλήρης ἡμερῶν γενόμενος, ἀνεπαύσατο ἐν Κυρίῳ.

Τῇ αὐτῇ ἡμέρᾳ. Οἱ Ἅγιοι, Χριστοφόρος, καὶ Εὐφημία, ξίφει τελειοῦνται.

ὁ. Τὴν Εὐφημίαν σοὶ συνευφημεῖν ἔγνων,
Ὡς συσφαγεῖσαν Χριστοφόρῳ ἐκ ξίφους.

Οἱ Ἅγιοι Θαλλάλαιος, καὶ Ἄνθιμος, ξίφει τελειοῦνται.

ὁ. Θαλλάλαιος, Ἄνθιμος ἐκτετμημένοι,
Ἀειθαλῶς ἀνθοῦσι, ξύλα ὡς θεῖα.

Ὁ Ὅσιος Κάλλιστος, ἐν εἰρήνῃ τελειοῦται.

ὁ. Κάλλιστος ἐχθρὸν τὸν κάκιστον πτερνίσας,
Φίλος Θεοῦ πρόσεισιν ἐκλελεγμένος.

Ὁ Ἅγιος Θαδδαῖος, ἐν τροχῷ δεθεὶς, καὶ κατὰ πρανοῦς ἀφεθεὶς, τελειοῦται.

ὁ. Κατὰ πρανοῦς Θαδδαῖον ὁ τροχὸς στρέφει.
Φωνὴ δὲ βρόντης ἐν τροχῷ ψαλμὸς λέγει.

Καὶ Ἄθλησις τῶν Ἁγίων Μαρτύρων, Ἀγαπίωνος, Σισινίου Γερομάρτυρος, καὶ Ἀγαπίου.

ὁ. Ἀπῆλθε θηρσὶ μὴ βλαβεὶς Ἀγαπίων.
Τοῦτον γὰρ ἠγάπησε καὶ θηρῶν φύσις.
Εἶχες θύτην με, νῦν δὲ καὶ θῦμα ξένον,
Ἔχεις με Σισίνιον ἐκ ξίφους Λόγε.
Ὑπὲρ Θεοῦ ταθέντος ἐν τῷ Κρανίῳ,
Ξίφει σὸν Ἀγάπιε τείνεις κρανίον.
Ταῖς αὐτῶν ἁγίαις πρεσβείαις.

Ὠδὴ, ζ'. Εἰκόνος χρυσῆς.

Ὡραῖοι οἱ σοὶ, χρηματίσαντες σεπτοὶ Φιλήμων πόδες, τρίβους συντόνως βηματίσαντες, Εὐαγγελίου καὶ ἅπασι, τοῖς πολεμηθεῖσιν εἰρήνην, ἱεραὶ καταγγέλλοντες, καὶ τῶν Δαιμόνων τὰς ὁρμὰς ὑποσκελίσαντες.

Ἐῶν λόγων φωτὶ, τῶν Γαζέων τὸ βαθὺ σκότος ἠλάθη. ἱερουργὸς γὰρ ἱερώτατος, ἐν τούτοις γέγονας ἄριστα, τοὺς πάντας ποιμάνας καὶ μέλπειν, ἐκδιδάξας Ἀπόστολε· εὐλογητὸς εἶ ὁ Θεὸς, ὁ τῶν Πατέρων ἡμῶν.

Ἐν πρώτοις τῶν σῶν, ἐκοινώνησε καλῶν Γαζέων πόλις. αὐτῆς γὰρ ὤφθης καὶ πρωτόθρονος, καὶ Γεράρχης σωτήριος, ὡς ἱεροφάντης Φιλήμων, ἐκβοᾶν προτρεπόμενος· εὐλογητὸς εἶ ὁ Θεὸς, ὁ τῶν Πατέρων ἡμῶν.

Φιλήσας Χριστὸν, τὸν φιλήσαντα βροτοὺς δι' εὐσπλαγχνίαν, τοὺς τῇ φιλίᾳ τοῦ ἀλάστορος, μεμισημένους τυγχάνοντας, φίλους ἀπειργάσω Φιλήμων, τοῦ Θεοῦ ἀναμέλποντας· εὐλογητὸς εἶ ὁ Θεὸς, ὁ τῶν Πατέρων ἡμῶν. Θεοτοκίον.

Τοχὺς ταπεινῶν, καὶ λυχνία φωτεινὴ καὶ θεία τράπεζα, ὄρος καὶ πύλη ἀδιόδευτος, θρόνος Θεοῦ καὶ παλάτιον, ῥάβδος Ἀαρών τε καὶ στάμνος, χρυσαυγίζουσα πέφυκας, Χριστὸν τὸ μάννα τῆς ζωῆς, Παρθένε φέρουσα.

Ἄλλος. Οἱ Παῖδες εὐσεβείᾳ.

Μὴν κάμινον εἰς δρόσον οἱ Νεανίαι, εὐσεβῶς μετέβαλον. δροσιζομένη δὲ λουτρῷ, Κικιλία τοῦ Βαπτίσματος, τῷ φλογίζοντι λουτρῷ, οὐ κατεφλέχθης βοᾶν· ὁ τῶν Πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

Ψιβούρτιος τὴν πλάνην ἀπλανέσι, διδαχαῖς σου πάνσοφε, καταλιπὼν θείαν στολὴν, ἀφθαρσίας ἐπενδύεται, καὶ Χριστοῦ τοῖς Ἀθληταῖς, συναριθμεῖται βοῶν· ὁ τῶν Πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

Τριαδικόν.

Ψρισήλιον ἀκτῖνα ὑπερθέου, Ἀθληταὶ Θεότητος, ὁμολογοῦντες εὐσεβῶς, τὴν πολύθεον σκοτόμαιναν, ἐσκεδάσατε φωστῆρες χρηματίσαντες, καὶ φωταγωγοῦντες, πιστῶν τὰς διανοίας. Θεοτοκίον.

Ψὸ Χαῖρέ σοι βοῶμεν κυησάσῃ, τὴν χαρὰν Παράχραντε, καὶ τῆς ἀρᾶς πάντας ἡμᾶς, ῥυσαμένῃ μεσιτείᾳ σου, ἀπειρόγαμε ἁγνὴ τοὺς ἀναμέλποντας· ὁ τῶν Πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

Ὠδὴ, η. Τὸν ἐν καμίνῳ τοῦ πυρός.

Πόγον ὡς λύχνον φαεινὸν, ἐπανάπτοντα, τῇ σῇ καρδίᾳ φέρων, τοὺς τὸ πρὶν ἐσβεσμένους, καὶ ἐν σκοτίᾳ πολλῇ, κειμένους ἀγνωσίας ἔνδοξε, πρὸς Θεόγνωσίας ἐξήγειρας ἡμέραν.

Ἡ ἱερά σου πρὸς Θεὸν, ἐκδημία ἱεραῖς ἐμεγαλύνθη, προπομπαῖς Ἀποστόλων, καὶ ἀσωμάτων Νοῶν. ὧν ἔσχες ἐν γῇ τὸ πολίτευμα, ὡς ἱερομύστης, Φιλήμων Θεηγόρε.

Μύρον ἡδύπνοον σαφῶς, ἀποστάξας ἱερῶν θαυμάτων μάκαρ, εὐωδίασας φρένας, καὶ λογισμοὺς εὐσεβεῖς, καὶ πάθη δυσώδη ἀπήλασας, τῶν ὑπερυψούντων, Χριστὸν σοφὲ Φιλήμων.

Οἷα Ἀστέρες ὡς φαιδροὶ, στερεώματι ἀεὶ τῆς Ἐκκλησίας, διαπρέπουσιν ἅμα, Ἄρχιππος ὁ θαυμαστὸς, Ἀπφία Φιλήμων Ὀνήσιμος, καὶ τὰς διανοίας, ἡμῶν φωταγωγοῦσι. Θεοτοκίον.

Νέος Παράδεισος ἡμῖν, ἡ γαστήρ σου ἀληθῶς Ἁγνὴ ὡράθη, ζωῆς ξύλον βλαστάνων, καὶ τοὺς θανέντας καρπῷ, τοῦ ξύλου πάλιν πρὸς Παράδεισον, ζωοποιηθέντας, εἰσάγων Θεοτόκε.

Ἄλλος. Θαύματος ὑπερφυοῦς.

Θείαις ἐπομβρήσεσι τῶν σῶν θαυμάτων, τῶν παθῶν ἡμῶν ῥύπον ἐκπλύνεις, τοὺς τακέντας καύσωνι, ἀλγηδόνων Μάρτυς σεμνὴ, ἀναψύχεις Κικιλία παναοίδιμε, βοῶντας ἐν πίστει καὶ κραυγάζοντας· εὐλογείτω ἡ κτίσις πᾶσα τὸν Κύριον, καὶ ὑπερυψούτω, εἰς πάντας τοὺς αἰῶνας.

Ζεούσῃ τῇ προθυμίᾳ γενναιόφρων, τὴν παμφλάζουσαν εἰσῆλθες φλόγα. οὐκ ἐφλέχθης ὅλως δὲ, ἀλλ' ἐξῆλθες ὡς ἐκ λουτροῦ, ἀφθαρσίας Κικιλία ἀναμέλπουσα, Χριστῷ τῷ τῶν ὅλων βασιλεύοντι· εὐλογείτω ἡ κτίσις πᾶσα τὸν Κύριον, καὶ ὑπερυψούτω, εἰς πάντας τοὺς αἰῶνας.

Θείου Βαλλεριανοῦ τὴν καρτερίαν, κατεπλάγησαν Ἀγγέλων δῆμοι. ῥαβδισμοὺς γὰρ πάντοθεν, καὶ νιφάσι τῶν αἰκισμῶν, πιεζόμενος ὑπέφερε στερρότατα, συντρίβων ἐχθροὺς, καὶ μέλπων ἄριστα· εὐλογείτω ἡ κτίσις πᾶσα τὸν Κύριον, καὶ ὑπερυψούτω, εἰς πάντας τοὺς αἰῶνας. θτ.

Στάμνον σε τὸ μάννα κεκτημένην, τῆς Θεότητος ἔγνωμεν Κόρη, κιβωτὸν καὶ τράπεζαν, καὶ λυχνίαν, θρόνον Θεοῦ, καὶ παλάτιον καὶ γέφυραν μετάγουσαν, πρὸς θείαν ζωὴν τοὺς ἀναμέλποντας· εὐλογείτω ἡ κτίσις πᾶσα τὸν Κύριον, καὶ ὑπερυψούτω, εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ, θ. Τὸν ἐκ Θεοῦ Θεὸν Λόγον.

Ἱερωτάτῃ χορείᾳ, ἱερῶν Ἀποστόλων, ἐμπρέπων κατοικεῖς τοὺς Οὐρανοὺς, θείᾳ μεθέξει θεούμενος, καὶ φωτὶ ἀπαστράπτων ἀρρήτῳ, καὶ χαρᾶς πνευματικῆς, Ἱεράρχα Φιλήμων, διηνεκῶς πληρούμενος.

Ὡς θαυμαστός σου ὁ τρόπος, ὡς καλὸς ὡς ὡραῖος, ὁ βίος ὁ περίδοξος ἡ σὴ, κοίμησις μάκαρ Ἀπόστολε. ὡς φαιδρὰ ἡ ἡμέρα, ἐν ᾗ ἀπολιπὼν τὰ ἐπὶ γῆς, οὐρανίαις ἁψίσιν, ἐπέβης ἀγαλλόμενος.

Σήμερον τέρπεται πᾶσα, ἡ Χριστοῦ Ἐκκλησία, ἑόρτιον χαρὰν πνευματικῶς, συστησαμένη τῇ μνήμῃ σου. ἣν ἀκλόνητον σῶζε, ταῖς σαῖς πρὸς τὸν Σωτῆρα καὶ Θεὸν, εὐπροσδέκτοις πρεσβείαις, Φιλήμων ἱερώτατε.

Ἡ τῶν λειψάνων σου θήκη, ἰαμάτων σταγόνας, ἐκβλύζει τοῖς φοιτῶσιν

ἱε-

ἱερῶς, μάκαρ Φιλῆμον Ἀπόστολε, καὶ νοσήματα παύει. καὶ πάντων ἁγιάζει τὰς ψυχὰς, τῶν τὴν θείαν σου μνήμην, ἑορταζόντων πάντοτε.

Θεοτοκίον.

Φέρεις τὸν φέροντα πάντα, καὶ τὸν τρέφοντα τρέφεις, τὸν τρόπον τῆς λοχείας οὐδαμῶς, ἐπιστάμενη Παράμωμε, ὑπὲρ νοῦν σου τὸ θαῦμα, Ἀγγέλους καταπλῆττον καὶ βροτοὺς, τοὺς εἰδότας σε, μόνην Παρθένον Θεομήτορα.

Ἄλλος. Τύπον τῆς ἁγνῆς.

Κῆπος κεκλεισμένος πέφυκας, πηγὴ ἐφραγισμένη, κάλλος ἀπόθετον, νύμφη ἐκλεκτὴ, φωτοειδὲς ἐνδιαίτημα, εὐανθής τε καὶ θεῖος Παράδεισος, θεόφρων Κικιλία, τοῦ Βασιλέως τῶν Δυνάμεων.

Ὅρμον γαληνὸν ἐφθάσατε, τῆς εὐσεβείας φόρτον ἐλιμενίσατε, καὶ μαρμαρυγαῖς, τῆς Τρισηλίου Θεότητος, καταυγάζεσθε θέσει θεούμενοι, γενναῖοι Ἀθλοφόροι, πανευκλεεῖς θεομακάριστοι.

Τριαδικόν.

Νέμοις τοῖς πιστῶς αἰτοῦσί σε, Πάτερ Υἱὲ καὶ Πνεῦμα, Τριὰς ἀμέριστε, θεῖον φωτισμὸν, ἁμαρτιῶν τε τὴν λύτρωσιν, τῶν σοφῶν σου Μαρτύρων ἐντεύξεσιν. ἵνα σε κατὰ χρέος, ἀκαταπαύστως μεγαλυνώμεν.

Θεοτοκίον.

Φέγγος ἀστραπῇ τοῦ τόκου σου, ἡ ἀπωσθεῖσα φύσις, ἡμῶν Παράμωμε, εἶδε καὶ νυκτὸς, ἐξ ἀγνωσίας λελύτρωται, καὶ παθῶν τῆς σκοτώδους συγχύσεως. διό σε ὡς αἰτίαν, τῆς σωτηρίας ἡμῶν σέβομεν.

Ὁ Εἱρμός.

Τύπον τῆς ἁγνῆς λοχείας σου.

Ἐξαποστειλάριον, τῶν Ἁγίων.

Τοῖς Μαθηταῖς συνέλθωμεν.

Ἀπόστολοι δεικνύμενοι, καὶ αὐτόπται τοῦ Λόγου, Ἄρχιππε ἱερώτατε, Φιλῆμον σὺν Ἀπφίᾳ, καὶ Κικιλίᾳ Μάρτυρι, ἱκεσίαν τῷ Κτίστῃ, ὑπὲρ ἡμῶν προσάγετε, τῶν τελούντων ἐν πίστει, τὴν ἱεραν, ὑμῶν μνήμην λύσιν λαβεῖν πταισμάτων. θαρροῦντες γὰρ βαλλόμεθα, πρέσβεις πρὸς τὸν Δεσπότην.

Ἕτερον τῆς Ἑορτῆς.

Ἐν Πνεύματι τῷ Ἱερῷ.

Ἡδάμαλις ἡ ἄμωμος, ἡ παράγαθος Κόρη, ἐν τῷ Ναῷ εἰσάγεται, σήμερον παραδόξως, καὶ ταύτης προπορεύονται, Ἀσωμάτων τάγματα, καὶ τῶν Ἀγγέλων οἱ δῆμοι, μετὰ πλήθους λαμπάδων. ὧν ὁ θεῖος Ἱερεὺς, ἐνηγκαλίσατο χαίρων.

Εἰς τοὺς Αἴνους ἀ. τῶν Ἀποστόλων.

ἦχος, δ.

Ὡς γενναῖον ἐν Μάρτυσιν.

Ὁ τῆς δόξης σε Ἥλιος, Ἰησοῦς ὁ Θεὸς ἡμῶν, εἰς τοῦ Κόσμου ἅπαντα τὰ πληρώματα, ὥσπερ ἀκτῖνα πολύφωτον, Φιλῆμον Ἀπόστολε, ἐπαφῆκε τὴν ἀχλὺν, τῆς κακίας ἐλαύνουσαν, καὶ φωτίζουσαν, σκοτισθείσας καρδίας ἀγνωσίᾳ, καὶ παθῶν ἐπικρατείᾳ, ἱεροκήρυξ πανόλβιε.

Καθαρὸν ἐνδιαίτημα, τῆς Τριάδος γεγένησαι, ἀρετῶν λαμπρότητι ὡραΐσασα, τὴν σὴν καρδίαν ἀοίδιμε, Ἀπφία καὶ λάμψασα, εὐσεβείας φωτισμὸν, τοῦ Ἡλίου φαιδρότερον, μυηθεῖσά τε, πᾶσαν μύησιν θείαν. διὰ τοῦτο, τῷ χορῷ τῶν Ἀσωμάτων, συνεπαγάλλῃ Θεόληπτε.

Σὺν τῷ θείῳ Φιλήμονι, εὐφημήσωμεν Ἄρχιππον, τὸν ἱεροκήρυκα, καὶ Ὀνήσιμον, ὡς Ἱεράρχας θεόφρονας, μεγίστους ὡς Μάρτυρας, Ἀποστόλων τοὺς σοφοὺς, καὶ τῆς ἄνω λαμπρότητος, συμμετέχοντας, καὶ τῷ θρόνῳ τῆς δόξης παρεστῶτας, καὶ ἡμῖν ἐξαιτουμένους, ἁμαρτημάτων συγχώρησιν.

Δευτεροῦντες τὸ α. Δόξα, καὶ νῦν.

ἦχος, δ.

Σήμερον ὁ Θεοχώρητος Ναὸς, ἡ Θεοτόκος, ἐν νάῳ Κυρίου προσάγεται, καὶ Ζαχαρίας ταύτην ὑποδέχεται. Σήμερον τὰ τῶν ἁγίων ἅγια ἀγάλλονται, καὶ ὁ χορὸς τῶν Ἀγγέλων, μυστικῶς πανηγυρίζει. Μεθ' ὧν καὶ ἡμεῖς ἑορτάζοντες σήμερον, σὺν τῷ Γαβριὴλ ἐκβοήσωμεν· Χαῖρε Κεχαριτωμένη, ὁ Κύριος μετὰ σοῦ, ὁ ἔχων τὸ μέγα ἔλεος.

Εἰς τὸν ἡ. κ. προσόμοια τῆς Ἑορτῆς.

ἦχος, β.

Ὁ Ἶκος

Οἶκος τοῦ Εὐφραθᾶ.

Ἔνδον τοῦ ἱεροῦ, Ἁγίαν τῶν Ἁγίων, τὴν Θεοτόκον οὖσαν, ὦ Ζαχαρία δέχου, ἁγίων εἰς τὰ ἅγια.

ΠΡ. Ἀπενεχθήσονται τῷ Βασιλεῖ.

Ῥίζης μὲν ἐκ Δαβὶδ, ἐβλάστησας Παρθένε, ὁ Γαβριὴλ τὸ Χαῖρε, κομίζων σοι ἐβόα, Θεὸν δὲ τέξῃ Πάναγνε.

ΠΡ. Ἀπενεχθήσονται ἐν εὐφροσύνῃ.

Εὖγε τῆς ἱερᾶς, καὶ θείας ξυνωρίδος, Ἰωακεὶμ καὶ Ἄννης. ὑφ' ὧν Ἁγνὴ τεχθεῖσα, προσήχθης νῦν τῷ Κτίστῃ σου.

Δόξα, καὶ νῦν,

Φῶς σε τὸ τριλαμπὲς, αὐγάσαν Θεοτόκε, ἐν τῷ Ναῷ τῆς δόξης, οὐράνιον τροφήν σοι, ἐκπέμπει μεγαλύνον σε.

Ἡ λοιπὴ Ἀκολουθία τοῦ Ὄρθρου, καὶ Ἀπόλυσις.

Τῷ αὐτῷ Μηνὶ, ΚΓ'.

Τοῦ ἐν Ἁγίοις Πατρὸς ἡμῶν Ἀμφιλοχίου, Ἐπισκόπου Ἰκονίου, καὶ τοῦ ἐν Ἁγίοις Πατρὸς ἡμῶν Γρηγορίου τοῦ Ἀκραγαντίνων.

Ἑσπέρας εἰς τὸ, Κύριε ἐκέκραξα, ἱστῶμεν ΠΡ. ϛ'. καὶ ψάλλομεν ΠΡ. τοῦ Ἁγίου Ἀμφιλοχίου. ἦχος, δ'.

Ἔδωκας σημείωσιν.

Ἐνώμην αὐτεξούσιον, καὶ λογισμὸν αὐτοκράτορα, τῶν παθῶν κληρωσάμενος, τῷ κρείττονι δέδωκας, νουνεχῶς παμμάκαρ, τὴν ἡγεμονείαν, κατὰ τοῦ χείρονος ζυγῷ, δικαιοτάτῳ Πάτερ χρησάμενος. ἐντεῦθεν ἐπιτήδειος, πρὸς Θεοπτίαν γεγένησαι, καὶ Θεοῦ καταμόνοιν, Ἱεράρχα θεόπνευστε.

Δρόχους διεσκέδασας, καὶ τὰς ἐνέδρας διέλυσας, τῶν αἱρέσεων Ὅσιε, δογμάτων ὀρθότητι, καὶ θεολογίᾳ, τῇ ἀκριβεστάτῃ, καὶ τὴν διαίρεσιν φυγὼν, καὶ τὴν κακίστην Πάτερ συναίρεσιν. ἐν ὅροις δὲ διέμεινας, τῆς εὐσεβοῦς ἡμῶν Πίστεως, καὶ Τριάδα ἐκήρυξας, ἐν Μονάδι Θεότητος.

Μέχνῃ σοφισάμενος, τὸν ἐπὶ γῆς βασιλεύοντα, τὸν ἐκείνου παρέδραμες, Υἱὸν ἀπροσκυνήτον, συνετῶς διδάσκων, ὡς ἀπροσκυνήτου, παρορωμένου τοῦ Υἱοῦ, ἀγανακτήσει Πατὴρ θερμότατα, ὁ τοῦτον προαιώνιον, ἐκτετοκὼς ὑπὲρ ἔννοιαν, ἀπαθῆ καὶ ἀσώματον, ὡς αὐτὸς οἶδεν Ὅσιε.

Ἕτερα ΠΡ. τοῦ Ἁγίου Γρηγορίου.

ἦχος, π. δ'.

Ὦ τοῦ παραδόξου θαύματος.

Πάτερ Ἱερὲ Γρηγόριε, ἀπὸ σπαργάνων Θεῷ, ἀνετέθης κολλώμενος, ἀνενδότοις νεύσεσι, τῷ τὰ πάντα ποιήσαντι. καὶ δὴ πρὸς τούτου, καταλαμπόμενος, παθῶν διέβης, νύκτα καὶ ἤστραψας, φέγγος ἰάσεων, καὶ θαυμάτων χάριτας, ἀποβοβῶν, λύεις τὰ νοσήματα, καὶ πλάνης πνεύματα.

Πάτερ θαυμαστὲ Γρηγόριε, φωτοφανείαις τὸν νοῦν, καθαρῶς ἀστραπτόμενος, τῶν παθῶν ἐκοίμισας, πολυκύμαντον Θάλασσαν, καὶ ἀπαθείας, περιϊπταμένος, καθαρωτάταις, πτέρυξιν ἔφθασας, ἔνθα τὸ ἄφραστον, κάλλος τὸ ἀμήχανον, ὑπὲρ ἡμῶν, πάντοτε δεόμενος, τῶν εὐφημούντων σε.

Πάτερ Πατέρων Γρηγόριε, ἱερωσύνης κανὼν, σωφροσύνης εἰκόνισμα, Μοναζόντων στήριγμα, Ἐκκλησίας ἑδραίωμα, ἀγάπης λύχνος, θρόνος αἰσθήσεως, πηγὴ θαυμάτων, γλῶσσα πυρίπνοος, στόμα ἡδύλαλον, σκεῦος θείου Πνεύματος, καὶ νοητὸς, γέγονας Παράδεισος, Θεομακάριστε.

Δόξα, καὶ νῦν. ἦχος, δ'.

Λεῦτε πάντες οἱ πιστοὶ, τὴν μόνην Ἀμώμητον ἐγκωμιάσωμεν, τὴν ἐκ τῶν Προφητῶν προκηρυχθεῖσαν, καὶ ἐν Ναῷ προσενεχθεῖσαν, τὴν πρὸ αἰώνων προορισθεῖσαν Μητέρα, καὶ ἐπ' ἐσχάτων τῶν χρόνων ἀναδειχθεῖσαν Θεοτόκον. Κύριε πρεσβείαις αὐτῆς, τὴν εἰρήνην σου παράσχου ἡμῖν, καὶ τὸ μέγα ἔλεος.

Εἰς τὸν ΠΡ. ΠΡ. τῆς Ἑορτῆς. ἦχος, α'.

Τῶν οὐρανίων ταγμάτων.

Ἀπενεχθήσονται φάσκει ὁ Θεοπάτωρ Δαβὶδ, τῷ Βασιλεῖ Παρθένοι, ἐν Ναῷ τοῦ Κυρίου, ὀπίσω σου Παρθένε μετ' φαιδρῶν, τῶν λαμπάδων χορεύουσαι, καὶ

εἰς

εἰς τὰ ἅγια φέρουσαί σε Ἁγνὴ, ὡς ἁγίαν κιβωτὸν τοῦ Θεοῦ.

ἡ. Ἀπενεχθήσονται τῷ Βασιλεῖ.

Καθάπερ ἄνθη ποικίλα περιδρεψάμενοι, ἐκ νοητῶν λειμώνων, τῶν τοῦ Πνεύματος λόγων, ἐπαίνων τοὺς στεφάνους χαρμονικῶς, τῇ Παρθένῳ συμπλέξωμεν. καὶ μεθεόρτιον τούτους δῶρον αὐτῇ, ἐπαξίως προσκομίσωμεν.

ἡ. Ἀπενεχθήσονται ἐν εὐφροσύνῃ.

Ἐξανοιγέσθω ἡ πύλη τοῦ θειοτάτου Ναοῦ, καὶ εἰσδεχέσθω ἔνδον, τὴν Οὐράνιον πύλην, καὶ πανηγυριζέτω φύσις βροτῶν, καὶ σκιρτάτωσαν Ἄγγελοι, συνεορτάζοντες ἄμφω ἅμα ἡμῖν, τῆς Θεομήτορος τὴν Εἴσοδον. Δόξα, καὶ νῦν, ἦχος, π. α.

Λέοντος Μαΐστορος.

Ἐπέλαμψεν ἡμέρα χαρμόσυνος, καὶ Ἑορτὴ πανσεβάσμιος. Σήμερον γὰρ ἡ πρὸ τόκου Παρθένος, καὶ μετὰ τόκον Παρθένος μείνασα, ἐν Ναῷ ἁγίῳ προσάγεται. καὶ χαίρει Ζαχαρίας ὁ Πρέσβυς, ὁ γενέτης τοῦ Προδρόμου, καὶ βοᾷ γηθοσύνως. Ἤγγικεν ἡ προστασία τῶν θλιβομένων, ἐν Ναῷ ἁγίῳ, ὡς Ἁγία, ἀφιερωθῆναι εἰς κατοίκησιν τοῦ Παντάνακτος. Εὐφραινέσθω Ἰωακεὶμ ὁ Προπάτωρ, καὶ ἡ Ἄννα ἀγαλλιάσθω, ὅτι προσηνέγκαν Θεῷ, ὡς τριετίζουσαν δάμαλιν, τὴν ἄμωμον Δέσποιναν. Μητέρες συγχάρητε· Παρθένοι σκιρτήσατε· καὶ στεῖραι συγχορεύσατε· ὅτι ἠνέῳξεν ἡμῖν τὴν Οὐρανῶν βασιλείαν, ἡ προορισθεῖσα Παντάνασσα. Χαίρετε λαοὶ καὶ ἀγαλλιᾶσθε.

Τροπάριον τῶν Ἁγίων. ἦχος, δ.

Ὁ Θεὸς τῶν Πατέρων ἡμῶν, ὁ ποιῶν ἀεὶ μεθ' ἡμῶν, κατὰ τὴν σὴν ἐπιείκειαν, μὴ ἀποστήσῃς τὸ ἔλεός σου ἀφ' ἡμῶν, ἀλλὰ ταῖς αὐτῶν ἱκεσίαις, ἐν εἰρήνῃ κυβέρνησον τὴν ζωὴν ἡμῶν.

Καὶ τῆς Ἑορτῆς.

Εἰς τὸν Ὄρθρον, μετὰ τὴν συνήθη στιχολογίαν Κανὼν εἷς τῆς Ἑορτῆς, καὶ τῶν Ἁγίων δύω.

Ὁ Κανὼν τοῦ Ἁγίου Ἀμφιλοχίου,

Οὗ ἡ ἀκροστιχίς.

Τὸν τὴν πλάνην γελῶντα μέλπω ποιμένα. Θεοφάνους.

Ὠδὴ, α. ἦχος, δ.

Θαλάσσης τὸ ἐρυθραῖον.

Τοὺς λόγους τῶν δυσσεβῶν αἱρέσεων, καὶ τὰ φρυάγματα, ὀρθοδοξίας αἴγλῃ λαμπρυνθεὶς, εὐμαρῶς διεσκέδασας, ἐν ᾗ τοὺς σὲ γεραίροντας, Ἱεροφάντα περιφρούρησον.

Ὁπάντων τὴν σωτηρίαν Κύριος, ἀεὶ βουλόμενος, τῆς ἱερᾶς σε ποίμνης ὁδηγὸν, Ἱεράρχα προβάλλεται, λόγῳ καὶ βίῳ λαμπόντα, διαφερόντως θεασάμενος.

Νομίμως ὑπεραθλεῖν ἑλόμενος, τῆς Ἐκκλησίας Χριστοῦ, τῇ παντευχίᾳ Πάτερ τοῦ Σταυροῦ, σεαυτὸν περιέφραξας, καὶ νικητὴς τῇ χάριτι, καὶ στεφανίτης ἀναδέδειξαι. Θεοτοκίον.

Τὸν Λόγον τὸν τῷ Πατρὶ συναΐαρχον, καὶ συναΐδιον, καὶ τῆς αὐτῆς οὐσίας καὶ μορφῆς, τῷ τεκόντι ὑπάρχοντα, σεσαρκωμένον τέτοκας, ἀνερμηνεύτως Ἀπειρόγαμε.

Ἕτερος Κανὼν τοῦ Ἁγίου Γρηγορίου.

Οὗ ἡ ἀκροστιχίς.

Τὸν θαυματουργὸν Γρηγόριον θαυμάσω. Γωσήφ. Ὠδὴ, α. ἦχος, π. δ.

Τῷ συντρίψαντι πολέμους.

Ταῖς τοῦ Πνεύματος ἀκτῖσι, πυρσευόμενος τὸν νοῦν, ἱερὲ Γρηγόριε, καὶ φωταυγὴς ἀστὴρ γεγενημένος, ὅλον με καταύγασον πρεσβείαις σου, ὅπως ὑμνήσω σε,

Ὁ προγνώστης τῶν ἁπάντων, χαριτώσας σου τὸν νοῦν, θεοσδότοις λάμψεσιν, ἀπὸ σπαργάνων σε καθαγιάζει, θείαις ἀρεταῖς ἐμπρέπειν μέλλοντα, Πάτερ καὶ θαύμασιν.

Νυσταγμὸν ἀπὸ βλεφάρων, ῥᾳθυμίας ἐκβαλὼν, λύχνος ἐγρηγόρσεως, καθωράθης θεοφόρε δείξας, πράγματι τὴν κλῆσίν σου Γρηγόριε, ἐπαληθεύουσαν. θτ.

Θεοτόκον σε κυρίως, ἀληθῶς ὁμολογῶ. τέτοκας γὰρ Κύριον, ἀνερμηνεύτως ἐν δυσὶν οὐσίαις, ἄχραντε Παρθένε καὶ θελήσεσι, καταναούμενον.

Ὠδὴ.

Ὠδὴ, γ'. Εὐφραίνεται ἐπὶ σοί.

Ἡ θεία καὶ φωταυγὴς, τῶν σῶν δογμάτων λαμπηδὼν ἔσβεσε, τὴν δυσσεβῆ φάλαγγα, τῶν αἱρετικῶν Ἀμφιλόχιε.

Ναμάτων ζωοποιῶν, ὡς ποταμὸς ὢν ἐκ Θεοῦ ἔμπλεως, Ἀρχιερεὺς γέγονας, οἷς οἱ εὐσεβεῖς ἀρδευόμεθα.

Πλουσίαις μαρμαρυγαῖς, καταλαμπόμενος τὸν νοῦν ἤστραψας, τὴν μυστικὴν Ὅσιε, τῶν σῶν διδαγμάτων εὐπρέπειαν.

Θεοτοκίον.

Ἀυχνίαν σε φωτεινὴν, καὶ ψυχοτρόφον ἀληθῶς τράπεζαν, καὶ κιβωτὸν παράγνε, πάντες οἱ πιστοὶ καταγγέλλομεν.

Ἄλλος. Ἐστερεώθη ἡ καρδία μου.

Μὸν δι' αὐτόν σου προσδεξάμενος Πάτερ κόπον, ὁ κτίστης γέροντι στοιχειοῖ σε, ἐν ἐρήμῳ σὲ μυοῦντα Γρηγόριε, ἁπάσης γραφῆς σαφήνειαν.

Ὅλην ἐφέλκων ἑβδομάδα ἄσιτος Πάτερ, ἐτρέφου βρώσει ἐπουρανίῳ, σῶν δακρύων νιφετοῖς ποτιζόμενοις, καὶ θείως ἐνηδυνόμενος.

Ὑπὸ Θεοῦ σοι Ἱεράρχα χύμα καρδίας ἐδόθη· ἔβλυσας γὰρ πλουσίως, διδαγμάτων καθαρώτατα νάματα, καρδίας πιστῶν ἀρδεύοντα.

Θεοτοκίον.

Ῥῆσις Κηρύκων θεηγόρων ἀπεπληρώθη. Ἰδοὺ γὰρ ἔτεκεν ἡ Παρθένος, νέον βρέφος τοῦ Ἀδὰμ παλαιότερον, καὶ συνθρόνον τοῦ Γεννήτορος.

Ὁ Εἱρμός.

„Ἐστερεώθη ἡ καρδία μου ἐν Κυρίῳ. ὑ„ψώθη κέρας μου ἐν Θεῷ μου. ἐπλα„τύνθη ἐπ' ἐχθρούς μου τὸ στόμα μου. εὐ„φράνθην ἐν σωτηρίῳ σου.

Κοντάκιον τοῦ Ἁγίου Ἀμφιλοχίου.

ἦχος, β'.

Τὰ ἄνω ζητῶν.

Ἡ θεία βροντὴ, ἡ σάλπιγξ ἡ τοῦ Πνεύματος, πιστῶν φυτουργὲ, καὶ πέλεκυς τῶν αἱρέσεων, Ἱεράρχα Ἀμφιλόχιε, τῆς Τριάδος θεράπων ὁ μέγιστος, σὺν Ἀγγέλοις πέλων ἀεὶ, πρεσβεύων μὴ παύσῃ, ὑπὲρ πάντων ἡμῶν.

Κάθισμα τοῦ Ἁγίου Γρηγορίου, ἦχος, πλ.

Τὴν Σοφίαν καὶ Λόγον.

Ἐκ σπαργάνων Κυρίῳ ἀνατεθεὶς, ὡς ὁ πάλαι πανεύδοξος Σαμουὴλ, ὡσαύτως καλοῦντός σε, τοῦ Σωτῆρος ἀκήκοας, καὶ ψυχὴν καθάρας, καλῶν ἐπιδόσεσιν, ἱερωσύνης χάριν, ἀξίως ἀπείληφας. ὅθεν ἐπὶ χλόην, ἐπιγνώσεως θείας, ποιμάνας τὸ ποίμνιον, ἰαμάτων ἀπήστραψας, ἐνεργείας Γρηγόριε. πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ, τὴν ἁγίαν μνήμην σου.

Τῆς Ἑορτῆς. ἦχος, ὁ αὐτός.

Τὸ προσταχθέν.

Ἀγαλλιάσθω ὁ Δαβὶδ ὁ ὑμνογράφος, καὶ χορευέτω Ἰωακεὶμ σὺν τῇ Ἄννῃ, ὅτι γόνος ἅγιος ἐξ αὐτῶν προῆλθε. Μαρία ἡ φωτοφόρος θεία λαμπὰς, καὶ χαίρει εἰσερχομένη ἐν τῷ Ναῷ, ἣν καὶ βλέπων εὐλόγησεν, ὁ Βαραχίου Υἱὸς, καὶ χαίρων ἀνεκραύγαζε· Χαῖρε θαῦμα παγκόσμιον.

Ὠδὴ, δ'. Ἐπαρθέντα σε ἰδοῦσα.

Ἀμφιλοχίου τοῦ θείου καὶ θεηγόρου, τὴν ἱεραὶ πανήγυριν θεόφρονες δεῦτε, πίστει συγκροτήσωμεν, τοῖς τούτου διδάγμασι, καὶ θεολογίαις νευρούμενοι.

Νυμφαγωγὸς θεοφόρε τῆς Ἐκκλησίας, τῆς ἐν Χριστῷ γενόμενος, τῷ κάλλει τῶν λόγων ταύτην κατεκόσμησας, καὶ τῇ ὡραιότητι, τῆς ὀρθοδοξίας ἐφαίδρυνας.

Ἡ θεολόγος σου γλῶσσα καὶ θεηγόρος, τῆς ἀρχικῆς Τριάδος τὸ μονόσεπτον κράτος, πᾶσι διετράνωσε, καὶ μίαν Θεότητα, σέβειν ἐν τρισὶν Ὑποστάσεσιν.

θ'.

Νέαν σκηνήν σε Παρθένε καταποιοῦμεν, καὶ καθαρὸν ἁγίασμα τοῦ πάντων Δεσπότου. τοῦτον γὰρ ἐγέννησας, σαρκὶ καθ' ὑπόστασιν, συνδεδραμηκότα Πανάμωμε.

Ἄλλος. Ἀκήκοα Κύριε τὴν ἀκοήν σου.

Ἦν ὡς καλὴν ἤνθησας, ἑκατοστεύοντα Πάτερ στάχυν, καὶ τῇ δρεπάνῃ τῶν σῶν διδαχῶν ἐξέτεμες, αἱρετικῶν δόγματα δυσσεβῆ, Συνόδου πρόμαχος ὀφθεὶς, Ὅσιε Γρηγόριε.

Οὐ-

Οὐραμίος ψῆφός σε, Ἀρχιερέα Θεοῦ θεράπων, ὑποδεικνύει καλῶς, ὁδηγεῖν τὸ ποίμνιον. ὅπερ ἐκτήσατο αἵματι Χριστὸς, ὁ προειδώς σου τῆς ψυχῆς, μάκαρ τὴν λαμπρότητα.

Ναὸς Θεοῦ γέγονας, κεκαθαρμένος παθῶν κηλίδος, καὶ ἐν ναῷ ἱερῷ παρεστὼς, τοῦ Πνεύματος τὴν ἐπιφοίτησιν, δέδεξαι σαφῶς, εἴδει σεμνῆς περιστερᾶς, Χριστοῦ σε δοξάσαντος. Θεοτοκίον.

Γένος βροτῶν σέσωσται, τῇ ὑπὲρ νοῦν σου κυοφορίᾳ, καὶ οἱ ἐν σκότει φθορᾶς, Παναγία Δέσποινα, εἶδον τὸ φῶς, τὸ ἐκλάμψαν ἐκ γαστρὸς, σοῦ τῆς αἰτίας τῆς ἡμῶν, Κόρη ἀναπλάσεως.

Ὠδὴ, ε. Σὺ Κύριέ μου φῶς.

Ἀμπόμενος φωτὶ, Τρισηλίου Θεότητος, ἐκάθισας ἐπὶ θρόνου, τῆς Ἀρχιερωσύνης, Θεόφρον Ἀμφιλόχιε.

Ὁλόκληρον σαυτὸν, τῷ Θεῷ καθιέρωσας, καὶ γέγονας Θεοκήρυξ, μεγαλόφωνος Πάτερ, παμμάκαρ Ἀμφιλόχιε.

Χαρμόσυνος ἡμῖν, ἑορτὴ καὶ πανίερος, ἐφέστηκεν ἡ τοῦ θείου, καὶ σοφοῦ Διδασκάλου, τὸν Κόσμον ἁγιάζουσα. Θρ.

Ὡ πάντων τῶν πιστῶν, εὐπρεπὲς ἐγκαλλώπισμα, παράχραντε Θεομῆτορ, τῆς ψυχῆς μου τὸν ῥύπον, ἀπόπλυνον πρεσβείαις σου.

Ἄλλος. Τὸν ζόφον τῆς ψυχῆς μου.

Ῥήματί σου καθαίρεις, εἰδεχθοῦς ἀσθενείας λελεπρωμένον ποτὲ, τὸν προσελθόντασοι πίστει. Θεόθεν γὰρ ἐδέξω, χάριν θαυμάτων σοφὲ, ὡς Ἐλισσαῖος ὁ θεῖος, Θεόφρον Γρηγόριε.

Ἠνέῳξας εὐχῇ σου, μογγιλάλου στόμα καὶ ὦτα Γρηγόριε, τῶν ἰαμάτων παμμάκαρ, ἐνέργειαν πλουτήσας, καὶ ἐξηρεύξω βυθὸν θεολογίας, θαλάσσας ἀθέων ξηραίνοντα.

Γεώδους προσπαθείας, καθαρεύσας Πάτερ ὡς Πέτρος ὁ πρόκριτος, τῶν Ἀποστόλων σκιᾷ σου, ἰάσεις ἐπετέλεις, συνεχομένους δειναῖς, ἀσθενειῶν καταιγίσιν, ἐνθέως ἰώμενος.

Θεοτοκίον.

Ὁ κόλπους τοὺς πατρῴους, μὴ κενώσας ἐν τῷ σαρκοῦσθαι Πανάμωμε, σοῦ ἐν κόλποις ὁρᾶται, κρατούμενος ὡς βρέφος. ὃν ἐξιλέωσαι, τοῖς εὐσεβῶς σε τιμῶσι, Παρθένε Θεόνυμφε.

Ὠδὴ, ϛ. Θύσωσοι, μετὰ φωνῆς.

Νεκρώσας, τὸ τῆς σαρκὸς χαμαίζηλον φρόνημα, τῆς ἀπαθείας τὴν χάριν, ἐστολίσω Πάτερ ἱερομύστα, καὶ παναγνοις, διδαχαῖς τὴν Τριάδα ἐκήρυξας.

Ῥῷ φόβῳ, στοιχειωθεὶς τῷ θείῳ θεόληπτε, καὶ τὴν ψυχὴν μολυσμάτων, καθαρὰν τελέσας θεολογίας, ἀνεδείχθης, ἱερώτατον ὄργανον Ὅσιε.

Θεοτοκίον.

Ἁγνόν σε, καὶ καθαρὸν γινώσκοντες σκήνωμα, τοῦ Βασιλέως τῆς δόξης, καὶ ναὸν καὶ θρόνον τοῦ Πανυψίστου, δυσωποῦμεν, τὰς ψυχὰς ἡμῶν σῶσαι Πανύμνητε.

Ἄλλος. Ὡς τὸν Προφήτην ἐῤῥύσω.

Ῥώννυται Κόρη τὸ σῶμα, παρειμένη ἐντεύξει σου Ὅσιε, ἐν ἔτεσι πλείοσι, πιστῶς προσελθοῦσάσοι, καὶ τὸν αἴτιον, πάντων μεγαλύνει Χριστόν.

Ἐχνηλατῶν τοῦ Δεσπότου, πολιτείαν τὴν ἄμωμον ἔνδοξε, ἀδίκως θλιβόμενος, καὶ συκοφαντούμενος, ἀταπείνωτος, ἔμεινας Γρηγόριε.

Οἱ τῇ κακίᾳ συζῶντες, σὲ τὸν ἄκακον ἄρνα ὡς ἄγριοι, θῆρες διαρπάζοντες, φρουρᾷ κατεδίκασαν, τὸν φρουρούμενον, Πάτερ θείᾳ χάριτι. Θεοτοκίον.

Νοῦς ἐννοῆσαι τὸ μέγα, ἀπορεῖ τοῦ σοῦ τόκου μυστήριον. Θεὸν γὰρ ἐκύησας, ἄνθρωπον γενόμενον, Ἀειπάρθενε, τὸν ἀπερινόητον. Ὁ Εἱρμός.

„ Ὡς τὸν Προφήτην ἐῤῥύσω, ἐκ βυθοῦ
„ κατωτάτου, Χριστὲ ὁ Θεὸς, κἀμὲ τῶν
„ πταισμάτων μου, ῥῦσαι ὡς φιλάνθρωπος,
„ καὶ κυβέρνησον τὴν ζωήν μου δέομαι.

Κοντάκιον τοῦ Ἁγίου Γρηγορίου. ἦχος, γ.

Ἡ Παρθένος σήμερον.

Ὥσπερ μέγας Ἥλιος, ἀνατολαῖς τῶν θαυμάτων, καταυγάζεις ἅπασαν,

τὴν

τὴν τοῦ Θεοῦ Ἐκκλησίαν. ἔσωσας ταῖς σαῖς πρεσβείαις πολλοὺς ἀνθρώπους. ἤλασας τοὺς κακοδόξους ἐκ τῆς σῆς ποίμνης. διὰ τοῦτό σε τιμῶμεν, Θεόφρον Πάτερ, σοφὲ Γρηγόριε.

Τῷ αὐτῷ Μηνὶ, ΚΓ'. Μνήμη τοῦ ἐν Ἁγίοις Πατρὸς ἡμῶν Ἀμφιλοχίου, Ἐπισκόπου Ἰκονίου.

ἦ. Σταλεὶς Ἀμφιλόχιε νεκρῶν ἀμφίοις, Λόχους σκεδάζεις καὶ νεκρὸς νοουμένους.

Εἰκάδι ἐν τριτάτῃ θανάτος λάβεν Ἀμφιλόχιον.

Οὗτος ἐκ νεαρᾶς ἡλικίας, πάντα βαθμὸν Ἐκκλησιαστικὸν παραλλάξας, καὶ ἀσκήσει καὶ θείᾳ γνώσει διαλάμπων, ψήφῳ τοῦ κοινοῦ, προχειρίζεται Ἐπίσκοπος τῆς Ἰκονιέων Πόλεως, ἐν τοῖς χρόνοις Οὐαλεντινιανοῦ, καὶ Οὐάλεντος τῶν βασιλέων, παρατείνας τὴν ζωὴν, μέχρι Θεοδοσίου τοῦ μεγάλου Βασιλέως, καὶ τῶν Υἱῶν αὐτοῦ. Ὃς καὶ Διδάσκαλος τῆς Ὀρθοδόξου Πίστεως γεγονὼς, καὶ κατὰ τῆς Ἀρείου λύμης στερρῶς ἀντιταξάμενος, πολλοὺς διωγμοὺς καὶ θλίψεις ὑπομείνας παρὰ τῶν ἀσεβῶν, συναγωνιστὴς γεγονὼς τῶν Μακαρίων Πατέρων, κατὰ τῆς Εὐνομίου βλασφημίας. Οὗτος καὶ τῶν ἐν τῇ δευτέρᾳ Συνόδῳ τῶν ἑκατὸν πεντήκοντα Πατέρων εἷς ὑπάρχων, τὰ πλεῖστα διηγωνίσατο κατὰ Μακεδονίου τοῦ Πνευματομάχου, καὶ τῶν φοιτητῶν Ἀρείου. Μετὰ δὲ τὸ κρατῆσαι τῆς Βασιλείας Θεοδόσιον τὸν μέγαν, καὶ τὸν νέον Οὐαλεντινιανὸν καταστρέψαι, καὶ νικήσαντα ἐπανελθεῖν, ἠντιβόλει ὁ μέγας Ἀμφιλόχιος τὸν Βασιλέα Θεοδόσιον ἀπώσασθαι τοὺς Ἀρειανοὺς, καὶ τοῖς Ὀρθοδόξοις ἀνεῖναι τὰς Ἐκκλησίας. Ἐπεὶ οὖν ὁ Βασιλεὺς παρῃτεῖτο, ἐξεῦρε μηχανὴν ὁ θαυμάσιος, καὶ παρελθὼν εἰς τὰ βασίλεια, τὸν μὲν Βασιλέα Θεοδόσιον ἠσπάσατο, τὸν δὲ Υἱὸν αὐτοῦ Ἀρκάδιον, καταλιπὼν ὑφειμένως οὐκ ἠσπάσατο. Ἐπὶ τοῦτο ὁ Βασιλεὺς δυσχεράνας, οἰκείαν ὕβριν ἐκάλει τὴν τοῦ παιδὸς παρ' αὐτοῦ ἀτιμίαν. Ὁ δὲ σοφώτατα ἐκκαλύπτει τὸ δρᾶμα, καίφησιν· ὁρᾷς, ὦ Βασιλεῦ, πῶς οὐ φέρεις σὺ τὴν τοῦ παιδὸς ἀτιμίαν, ἀλλὰ χαλεπαίνεις; πίστευσον οὖν, ὅτι καὶ τοὺς τὸν Υἱὸν τοῦ Θεοῦ βλασφημοῦντας, ὁμοίως καὶ ὁ Θεὸς ἀποστρέφεται, καὶ μισεῖ. Τότε συνεὶς ὁ Βασιλεὺς, νόμους ἔγραψε τοὺς τῶν αἱρετικῶν συλλόγους κωλύοντας. Οὗτος ὁ ἀοίδιμος ἀνὴρ, ἐπὶ πλείστοις χρόνοις ποιμάνας τὸ τοῦ Χριστοῦ ποίμνιον, καὶ λόγους ὀρθοδόξους συνταξας, καὶ εἰς βαθὺ γῆρας ἐλάσας, ἐν εἰρήνῃ ἀνεπαύσατο.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ ἐν Ἁγίοις Πατρὸς ἡμῶν Γρηγορίου, Ἐπισκόπου τῆς Ἀκραγαντίνων Ἐκκλησίας.

ἦ. Ἐξ Ἀκραγάντων πρὸς Θεὸν χωρεῖς Λόγον,

Τὸν ἄκρα γῆς κρίνοντα παμμάκαρ Πάτερ.

Εἰκάδι Γρηγόριον θανάτου νέφος εἷλε τριτάτῃ.

Οὗτος ὁ Ἅγιος ὑπῆρχεν ἐπὶ τῆς βασιλείας Ἰουστινιανοῦ τοῦ ῥινοτμήτου, ὁρμώμενος ἐκ Πόλεως Ἀκραγάντου, τῆς Σικελῶν Ἐπαρχίας, Χαρίτωνος καὶ Θεοδότης γέννημα, ἀνδρῶν εὐσεβῶν, καὶ ἐν αὐταρκείᾳ ζώντων, καὶ πάσῃ ἀρετῇ κεκοσμημένων. Οὗτοι τῇ θεοσεβείᾳ προσκείμενοι, ὀκταετῆ ὑπάρχοντα τὸν Παῖδα, παρέδωκαν τοῖς ἱεροῖς γράμμασιν ἐκπαιδεύεσθαι. Ὁ δὲ Παῖς ἐγένετο πάνυ σπουδαῖος καὶ ἄοκνος, ἐν τῇ τῶν ἱερῶν γραμμάτων ἀναλήψει, ὥστε ὑπὸ πάντων θαυμάζεσθαι. Ὀκτωκαίδεκα δὲ ἐτῶν γενόμενος, σφραγίζεται Κληρικὸς παρὰ τοῦ ἐν Ἁγίοις Ποταμίωνος, καὶ τὴν κόμην κείρεται, ἐπιτήδειος ὑπάρχων ἐν ταῖς ἀναγνώσεσι, τῇ τῆς φωνῆς καλλιεπείᾳ. Τούτου οὖν ἐν μιᾷ τῶν νυκτῶν ἐπὶ τοῦ ἐδάφους ὑπνοῦντος, ἔμπροσθεν τῆς κλίνης τοῦ Ἀρχιδιακόνου Δαμιανοῦ, κέκληκεν αὐτὸν Ἄγγελος Κυρίου ἐκ τρίτου, καθὰ καὶ τὸν Σαμουὴλ, καὶ εἶπεν αὐτῷ· Εἰσηκούσθη ἡ δέησίς σου. λοιπὸν ταχυνον, καὶ πορεύθητι. Ὁ δὲ μὴ μελήσας, ἐξῆλθε, καὶ κατέλαβε τὴν Καρθαγένην. καὶ εὑρὼν ἐκεῖσε τὸν παρὰ τοῦ Θεοῦ πεμφθέντα

θέντα αὐτῷ Μάρκον Μοναχὸν πνευματοφόρον, παρ' αὐτῷ ἔμεινε χρόνους τέσσαρας. Κἀκεῖθεν μετ' αὐτοῦ ἐν Ἀντιοχείᾳ ἀνῆλθε, καὶ μεγάλως θαυμαστωθεὶς, ἐκεῖθεν ἐκ θείας ἐπιφανείας, ἀνῆλθε προσκυνήσων εἰς Ἱεροσόλυμα, καὶ Διάκονος γίνεται ὑπὸ Μακαρίου Ἐπισκόπου Ἱεροσολύμων. Εἶτα κατέλαβε τὴν Κωνσταντινούπολιν, ἐμφανισθεὶς τῷ τηνικαῦτα Γεωργίῳ Πατριάρχῃ. ἐν οἷς καὶ Συνόνοδος κατὰ Σεργίου καὶ Πυρρου καὶ Παύλου συνεκροτήθη. Τούτοις οὖν συμπλακεὶς ὁ Γρηγόριος, καὶ ἱκανῶς διελέγξας τὴν αὐτῶν φρενοβλάβειαν, καὶ μέχρι τῶν τοῦ Βασιλέως ἀκοῶν τῆς περὶ αὐτοῦ φήμης διαδραμούσης, πάλιν εἰς τὴν Πρεσβυτέραν Ῥώμην ἐξώρμησε, καὶ τῆς οἰκείας Πατρίδος Ἀκραγάντων τοὺς οἴακας ἐγχειρίζεται· μεγάλως διαλάμψας καὶ διαπρέψας ἐν τῇ Ἐκκλησίᾳ, καὶ θαύματα μέγιστα ἐκτελέσας, καὶ τὸ τῆς Ἀρχιερωσύνης κατακοσμήσας ἀξίωμα. Ἐξ οὗ οἱ περὶ τὸν Σαβῖνον καὶ Κρησκεντῖνον φθόνῳ βαλλόμενοι, μυρίους ἐπήγαγον πειρασμοὺς, καὶ ἐγκλήματα κατ' αὐτοῦ συρράψαντες, πρὸς τὸν Πάπαν Ῥώμης αὐτοῦ κατηγόρουν. Ὃς τοῖς τούτων ἀπατηλοῖς λόγοις δελεασθεὶς, ἐγκατάκλειστον αὐτὸν ἐν φρουρᾷ καθίστησιν, ἐπὶ χρόνοις δύω καὶ ἥμισυ. Καὶ αὖθις τοῦτον ἐκεῖθεν ἐξάγει προστάξει βασιλικῇ, μετὰ τῶν αὐτοῦ κατηγόρων δικασθησόμενον. Ὅτε καὶ τὰ παραδοξότατα ἐκεῖνα σημεῖα, τῶν τε ξύλων καὶ τῶν ἀνθράκων ἐπετελέσθη, τοῦ Θεοῦ τὸν ἴδιον θεράποντα ὑπερδοξάσαντος, καὶ γνόφῳ μελαίνῃ τῶν ἀνοσίων ἐκείνων καὶ ἀνιέρων κατεκαλύφθη τὰ πρόσωπα, καὶ κατεζοφώθη, ὥς τε καὶ μέχρι τῆς σήμερον οὕτω φαίνεσθαι κατὰ γενεάν. Ἥ, τε ὑπ' αὐτῶν φενακισθεῖσα κόρη, ὀλεθρίῳ δαίμονι αὐτάρκως παιδευθεῖσα, παρὰ τοῦ Ἁγίου ἔμπροσθεν παντὸς τοῦ λαοῦ ἰάθη. Καὶ ὁ Ἅγιος αὖθις εἰς τὴν ἰδίαν πατρίδα μεγαλοπρεπῶς ἐπανῆλθε, μείζονα τῶν προτέρων ἐπιτελῶν σημεῖα καὶ τέρατα. οὗτος πλεῖστα ἐπιβιώσας θεοπρεπῶς ἔτη, ἐν βαθυτάτῳ γήρᾳ τὸν βίον ἀπέλιπε, πρὸς Κύριον ἐκδημήσας.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ Ὁσίου Πατρὸς ἡμῶν, Σισινίου τοῦ Μάρτυρος.

ἅ. Πολλὰς ὑποστὰς ἐν βίῳ πρῶτον βίας,
Μετῆλθε Σισίνιος ἐκ βίας βίου.

Οὗτος ὑπῆρχεν ἐπὶ τῆς βασιλείας Διοκλητιανοῦ, καὶ Ἀλεξάνδρου Ἡγεμόνος, ἐκ Πόλεως Κυζίκου ὁρμώμενος. Καὶ Ἀλεξάνδρῳ διαβληθεὶς τῷ Ἡγεμόνι, ἵπποις ἀχρίοις προσδέδεται, καὶ τρέχειν ἀναγκάζεται, καὶ ἀφειδῶς τύπτεται, καὶ διὰ τῶν μυκτήρων ὄξος δριμὺ δέχεται, καὶ τῇ εἱρκτῇ ἀπορρίπτεται. Πολλὰς δὲ καὶ ἑτέρας βασάνους καθυπομείνας, καὶ θαύματα μέγιστα ἐκτελέσας, μέσον Συνόδου ταῖς νευραῖς τῶν αὐτοῦ δογμάτων, τὸν Ἄρειον ἀπηγχόνησεν, Ὁμοούσιον ἀποφηνάμενος τῷ Πατρὶ τὸν Υἱόν. οὕτω καλῶς καὶ θεοφιλῶς πολιτευσάμενος, καὶ νομίμως ἀθλήσας, πρὸς Κύριον ἐξεδήμησεν.

Τῇ αὐτῇ ἡμέρᾳ, Ὁ Ἅγιος Ἰσχυρίων Ἐπίσκοπος, ἐν εἰρήνῃ τελειοῦται.

ἅ. Ὁ Ἰσχυρίων ἰσχὺς τῆς Ἐκκλησίας.
Ἥνπερ νοητῶς καὶ θανὼν ἐνισχύει.

Τῇ αὐτῇ ἡμέρᾳ, Ὁ Ἅγιος Ἕλενος, Ἐπίσκοπος Ταρσοῦ, ἐν εἰρήνῃ τελειοῦται.

ἅ. Ταρσοῦ πρόεδρος Ἕλενος θυηπόλος,
Ταρσοῖς ἄνεισι ψυχικοῖς ἕως πόλου.

Διήγησις ὀπτασίας Ἰωάννου τινὸς, πάνυ ὠφέλιμος.

Ἐγενετότις ἀνὴρ, ἐν ταῖς ἡμέραις Κωνσταντίνου τοῦ Βασιλέως, ὃς καὶ γνωστὸς ἦν αὐτῷ διάτινος ἐπιστήμης γνωριζόμενος. Οὗτος ἀσέμνως τὸν ἑαυτοῦ βίον μετερχόμενος, τὴν γέεννα οὔποτε ἀνετυπώσατο. Ὁ δὲ πρὸς τὸ συμφέρον πάντα καλῶς οἰκονομῶν Κύριος, δι' ὀπτασίας τούτῳ τὴν διόρθωσιν πραγματεύεται. Ἔδοξε γάρ ποτε τὸν ἄνδρα βλέπειν καθ' ὕπαρ, τῆς οἰκείας ἐπιστήμης εἶδος προσαγαγεῖν τῷ Βασιλεῖ, ὡς μετὰ ταῦτα προσομιλεῖν ἀλλήλοις καὶ συναγάλλεσθαι. Εἶθ' οὕτως ἔδοξεν ἀπογυμνῶσαι τὸν Βασιλέα μά-

μάχαιραν, καὶ τὴν κόμην συναγαγεῖν τοῦ ἀνδρὸς εἰς ἕνα ἐπίδεσμον, καὶ πειρᾶσθαι τέμνειν ταύτην ἀνηλεῶς. καὶ τοῦ ἀνδρὸς τὸν αὐχένα συχνῶς ἐπικλίνοντος, καὶ τῷ δοκεῖν πρὸς τὸν Βασιλέα ἐπιγελῶντος, ἐμβριθῶς τὸν Βασιλέα πρὸς ἐκεῖνον φθέγξασθαι. Ὅτεσου τὰς τρίχας ἡ μάχαιρα καταφάγεται, τότεσου καὶ τοῦ αἵματος τοῦ τραχήλου ἐμπλησθήσεται. Προσεπιτούτοις, τῇ καταφορᾷ τῆς μαχαίρας, καὶ αὐτὸς ὁ τράχηλος ἔδοξεν ἀποτμηθῆναι, καὶ πλησίον τοῦ θώρακος τῆς μαχαίρας ἐλθούσης, ὁ ἀνὴρ ἀγωνιῶν, βοήθειαν ὅθεν δήποτε προσεκαλεῖτο. Ἐκ δὲ τοῦ δέους καὶ τοῦ φόβου, καὶ τοῦ φρικώδους ἐκείνου ἀγῶνος, πρὸς ἑαυτὸν ὅλως ἔκθαμβος ἐγεγόνει, καὶ τῷ Σταυρῷ ἑαυτὸν σημειωσάμενος· Εὐχαριστῶσοι ὄνειρε ἔλεγεν, ὅτι μοι τὸν φοβερὸν τοῦτον ἀγῶνα εἰς φάντασμα ἀπετέλεσας. Καὶ πάλιν, ὡς οἶμαι, ὁ αὐτὸς μεμένηκεν ἀδιόρθωτος. Καὶ μετά τινα χρόνον ὁ αὐτὸς περιοδευθεὶς νόσῳ, ἐκ Θεοῦ τὴν βοήθειαν ἐπεκαλεῖτο. Τότε πάλιν οὐκ ἐν ὀνείροις, ἀλλ' ἐν ἐκστάσει ἤδη γενόμενος, ὁρᾷ ἑαυτὸν ἐπί τινος σεκρετικῆς ἑστῶτα καθέδρας, ἢ μᾶλλον δικαστικῆς καταστάσεως, καὶ ταύτης προκαθεζόμενον ἔβλεπε τινὰ φοβερώτατον Βασιλέα, στολὴν ἠμφιεσμένον Ἀρχιερατικὴν, καὶ Βασιλικήν. Ἐξ ἑκατέρων δὲ τῶν τούτου μερῶν, καθῆσθαι ἄνθεν κἀκεῖθεν ἱεροπρεπεῖς τινας κατενόει. Ἑστᾶναι δὲ ἑαυτὸν κάτωθεν ὑπελάμβανεν ἤδη, τῆς φαινομένης τραπέζης ἐκείνης. Πρὸς τὰ δεξιὰ δὲ τούτου εἰδεῖς τινας ἑστῶτας εὐνούχους ὑπετόπαζεν. Ἐξ εὐωνύμων δέ τινα ταπεινότερον ἄλλον καὶ προτηνέστερον ἔβλεπε. Βόθρον δέ τινα σκοτεινὸν ὄπισθεν καὶ φοβερὸν κατενόει, ὀδύνην μεγάλην τῷ βλέποντι παρεχόμενον. καὶ οὕτως ἑαυτὸν ἑστᾶναι σὺν τρόμῳ ὑπετόπαζε, καί φησι πρὸς αὐτὸν ὁ προκαθήμενος Βασιλεύς· ἄραγε οἶδας ὅς τις ἐγὼ, ὦ νεανία; κἀκεῖνος· γινώσκω Δέσποτα, ὅτι σὺ εἶ ὁ σαρκωθεὶς δι' ἡμᾶς ὁ Υἱὸς τοῦ Θεοῦ καὶ Θεὸς, ὡς αἱ καθ' ἡμᾶς γραφαὶ περιέχουσι. Καὶ πάλιν ὁ Βασιλεὺς πρὸς αὐτόν· καὶ εἰ ἀπὸ τῶν γραφῶν, ὡς σὺ φῄς, ἐμὲ διέγνως, οὐδὲ τοὺς συγκαθέδρους ἀγνοεῖς· καὶ πῶς ἐπελάθου τῆς ἀπειλῆς, ἧς σοι πάλαι Κωνσταντῖνος ὁ Βασιλεὺς ἠπειλήσατο; ἢ ἀγνοεῖς τὸ λεγόμενον; οὐκ ἀγνοῶ φησὶ, Δέσποτα, ἀλλ' εἰς ἔτι καὶ τοῦ φόβου τὰ λείψανα ἐν τῇ ψυχῇ περιφέρω. Καὶ ὁ Βασιλεύς· καὶ εἰ τοῦ φόβου τὰ λείψανα ἐν τῇ ψυχῇ περιφέρεις, πῶς ἐπιμένεις τοῖς ὀλεθρίοις; Ὅμως, μάθε διὰ πείρας, ὅτι περ καὶ πρώην ἐγὼ, καὶ οὐχὶ Κωνσταντῖνος, τὴν φοβεραὶν ἐκείνην πεῖραν τῆς βασάνου ἐπήγαγον. Καὶ τοῦτο εἰπὼν, ἔδοξε νεύσει μόνῃ τοῖς παρεστῶσι κελεῦσαι, ἀκοντίσαι τὸν ἄνδρα εἰς τὸν ὄπισθεν αὐτοῦ ἐπιφαινόμενον βόθυνον. ὁ δὲ γοερῶς τὴν τῆς Θεοτόκου ἐπεκαλεῖτο βοήθειαν. Ἔδοξε δὲ κἀκείνην μέσον εὑρεθῆναι, καὶ φωνῆς ἀκοῦσαι λεγούσης· Ἄφετε τοῦτον ἀπελθεῖν, διὰ τὴν τῆς Μητρὸς δέησιν. Καὶ ὡς ὁ τῆς ὀπτασίας λόγος τὸ πέρας εἴληφε, σύντρομος ὁ ἀνὴρ γεγονὼς, καὶ πρὸς ἑαυτὸν ἐπανελθὼν, τὸ φανὲν παράδοξον τινὶ τῶν εὐλαβῶν Μοναχῶν διηγήσατο. Καὶ ὁ Μοναχὸς πρὸς αὐτόν· δὸς δόξαν τῷ Θεῷ, ὅτι τοιαύτης διδασκαλίας κατηξιώθης, καὶ διεγέρθητι ἀδελφὲ, μὴ καὶ σὺ πάθῃς τὰ παραπλήσια, ἃ μέλλω σοι διηγήσασθαι. κατὰ γὰρ τὴν σὴν ὀπτασίαν, τοιοῦτόν τις ἐθεάσατο ἄνδρα τινὰ τῶν ἐν τοῖς πρώτοις τοῦ σεκρέτου πρωτεύοντα Γεώργιον τοὔνομα, βιαίως ἀπαγόμενον δέσμιον ἐν τινὶ φοβερῷ χάσματι, καὶ ἀπορρίπτεσθαι μέλλοντα. Ἐν ᾧ τις εὐπαρρησιάστως τοὺς ἀπάγοντας ἐπικατασχὼν, τοῦτον ἀφεθῆναι προσέτι μέχρις ἡμερῶν εἴκοσι, παρεγγυόμενος αὐτοῖς τὴν τούτου διόρθωσιν. ὡς δὲ λοιπὸν ὁ ἀνὴρ τῇ βοηθείᾳ τοῦ ἐγγυομένου ἐγένετο ἄνετος, ὁ ταῦτα βλέπων, ἀνανήψας, καὶ συνεὶς τὸ βλεπόμενον, ἀναγγεῖλαι τὸ ὅραμα πρὸς αὐτὸν τὸν Γεώργιον ἔσπευσεν. ἦν γὰρ καὶ γνωστὸς αὐτῷ. ὁ δὲ τούτων ἀκούσας, καὶ ἀντ' οὐδενὸς λογισάμενος, ἔμεινεν ὁ αὐ-

ὁ αὐτός. Καὶ τῶν εἴκοσι ἡμερῶν διελθουσῶν, ἀνάρπαστος γέγονεν ὁ Γεώργιος, καὶ τὴν ὀφειλὴν πάντως ἀποδώσων, ὡς ὑπέσχετο. Καὶ ταῦτα κατὰ προσθήκην τοῦ Μοναχοῦ συνείραντος, ὁ ἀνὴρ ἀκούσας, καὶ ἐν ναῷ λαβὼν ὧν ἐθεάσατο, τὰ ἑαυτοῦ ἀνερυθριάστως δημοσιεύσας, καὶ τὸν βίον πρὸς κρείττονα μεταβολὴν μεταριθμήσας, ἤρκεσεν ἐπὶ πολὺ θεαρέστως βιώσας. καὶ μεταστὰς, ἀπῆλθε πρὸς τὰς αἰωνίους μονάς.

Ταῖς αὐτῶν ἁγίαις πρεσβείαις ὁ Θεός.

Ὠδὴ, ζ'. Ἐν τῇ καμίνῳ, Ἀβραμιαῖοι.

Μυστικωτάταις, θεηγορίαις ταῖς σαῖς προσέχοντες, πόθῳ τὴν Ἀρείου πάτερ κατατομὴν, τῆς Θεότητος ἐκφεύγομεν, Τριάδα ἄκτιστον, ὁμοούσιον πίστει δοξάζοντες.

Ἐλήλεγμένον, ταῖς διδαχαῖς σου Μακεδόνιον, Πάτερ καθορῶντες Πνεῦμα τὸ ἀγαθὸν, τῷ Πατρί τε καὶ Γεννήματι, συμπροσκυνούμενον, καὶ συνυπάρχον πίστει δοξάζομεν.

Λόγῳ τρανώσας, τὴν ὑπὲρ λόγον Λόγου σάρκωσιν, σέβειν ἐν δυσὶν οὐσίαις ἐνὰ Θεὸν, θεοφρόνως ἐξεπαίδευσας, καὶ τὴν διαίρεσιν, καὶ τὴν σύγχυσιν φεύγειν Θεόληπτε.

Θεοτοκίον.

Πάντες προθύμως, τὴν Θεοτόκον εὐφημήσωμεν. δεῦτε οἱ σωθέντες πίστει τοῦ ἐξ αὐτῆς, γεννηθέντος ἀνακράζοντες· εὐλογημένη σὺ, ἐν γυναιξὶν ὑπάρχεις Πανάχραντε.

Ἄλλος. Ὁ δι' Ἀγγέλου Παῖδας.

Θαυματουργεῖ ὁ Κτίστης, κρινομένου σου Μάκαρ. τὸ πορνικὸν γὰρ γυναίον, φορᾷ ληφθὲν δαιμόνων, πᾶσιν ἐδήλου, καθαρόν σε Γρηγόριε.

Ἀκτινοβόλοι θεῖοι, Μαθηταὶ τοῦ Σωτῆρος, σοὶ ἐπιστάντες ὅσιε, πεπεδημένον ξύλῳ, λύουσί σε, περιχαρῶς ἀσπαζόμενοι.

Ὑπομονῇ σου Πάτερ, ὁ Δεσπότης προσέχων, θαυματουργίαις μείζοσι, σὲ ἱερῶς λαμπρύνει, τῶν νοσημάτων, τὴν ἀχλὺν ἀπελαύνοντα.

Θεοτοκίον.

Μητροπρεπῶς τὸν πάντων, ἀπεκύησας Κτίστην, καὶ ἐν χερσὶν ἐβάστασας, χερουβικὸς ὡς θρόνος, τὸν συνοχέα, τοῦ παντὸς Ἀπειρόγαμε.

Ὠδὴ, η'. Χεῖρας ἐκπετάσας Δανιήλ.

Ὡραιώθησαν ἀσματικῶς, αἱ σιαγόνες σου, θεολογοῦντος τρανῶς, Τριάδα ἄναρχον ἄκτιστον, ὁμοούσιον ἀσύγχυτον, ἐν ὑποστάσεσι τρισὶ, Πάτερ θεόσοφε. ᾗ βοῶμεν· πάντα τὰ ἔργα, ὑμνεῖτε τὸν Κύριον.

Ἠλοῦτόν σοι καὶ δόξαν ἀκραιφνῆ, ἡ ἐνυπόστατος, σοφία δέδωκε, θεολογήσαντι πάνσοφε, εὐσεβῶν καὶ τῶν αἱρέσεων, καταβαλόντι τὴν ὀφρὺν, καὶ πόθῳ ψάλλοντι· εὐλογεῖτε, πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

Ὁ πᾶσι παρέχων τὴν ζωὴν, ὡς Γεράρχην πιστὸν καὶ θεορρήμονα, ἐν Ἐκκλησίᾳ σε ὅσιε, πρωτοτόκων εἰσῳκίσατο, ἱερουργοῦντα μυστικῶς, καὶ πίστει μέλποντα· εὐλογεῖτε, πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

Ἰδοὺ νῦν ἐκλέλοιπε σαφῶς, ἐκ τῆς Γούδα φυλῆς, ἄρχων ἡγούμενος. σὺ γὰρ πανάμωμε τέτοκας, τὸν αὐτὸν πρὶν ἀποκείμενον, τὴν προσδοκίαν τῶν ἐθνῶν, Χριστὸν ᾧ ψάλλομεν· εὐλογεῖτε, πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

Ἄλλος. Ὁ στεγάζων ἐν ὕδασι.

Ἀπολύεται μάστιγος, δαιμονικῆς φοβερᾶς, προσευχῇ σου μάκαρ, ἡ τῇ κακίᾳ παρανόμων ἀνδρῶν, συκοφαντήσασά σε τὸν δίκαιον κόρη, καὶ συνόδου μέσον σε δοξάζει, ὁ ἀγωνοθέτης, Χριστὸς εἰς τοὺς αἰῶνας.

Σκοτεινῆς ἀμαυρώσεως, οἱ πονηρὰ κατὰ σοῦ, βουλευθέντες Πάτερ, ἀποπληροῦνται καὶ ἐκλάμπει ἡ σὴ, φωταυγὴς βίωσις, ἐναντίον Γρηγόριε Πάτερ. ὧν τῇ παρουσίᾳ, ἄνθρακας κατέχων, χερσὶν ἐθαυματούργεις,

Ὡς ἀστὴρ φαεινότατος, ἀναφανεὶς ἀληθῶς, ἐν τῷ ὕψει Πάτερ τῆς Ἐκκλησίας, καταυγάζεις ἡμᾶς, ἀρεταῖς πάντοτε, καὶ θαυμάτων ἄκτισι, τοὺς ὑμνοῦντάς

σου τὴν φωτοφόρον, μνήμην Ἱεράρχα, Γρηγόριε θεόφρον. Θεοτοκίον.

Ὁ παράδοξος τόκος σου, τὰς διανοίας ἡμῶν, καταπλήττει μόνη εὐλογημένη. ὁ Θεὸς γὰρ ἐκ σοῦ, σάρκα προσέλαβεν. ὅπερ ἦν, διαμείνας Θεοτόκε, ἄτρεπτος τῇ φύσει. ὃν ὑπερυψοῦμεν, εἰς πάντας τοὺς αἰῶνας. Ὁ Εἱρμός.

„Ὁ στεγάζων ἐν ὕδασι, τὰ ὑπερῷα αὐ-
„τοῦ, ὁ τιθεὶς Θαλάσσῃ, ὅριον ψάμ-
„μον, καὶ συνέχων τὸ παῖν. σὲ ὑμνεῖ Ἥ-
„λιος, σὲ δοξάζει Σελήνη· σοὶ προσφέ-
„ρει ὕμνον, πᾶσα ἡ κτίσις τῷ Δημιουργῷ,
„καὶ Κτίστῃ εἰς τοὺς αἰῶνας.

Ὠδὴ, θ'. Λίθος ἀχειρότμητος.

Μίαν τρισυπόστατον φύσιν, πανευσεβῶς θεολογήσας, τὴν παμβασιλίδα Τριάδα, τὴν Θεαρχίαν τὴν ἀκατάληπτον, νῦν ὑπ' αὐτῆς τετίμησαι, ἱεροφάντορ Ἀμφιλόχιε.

Ἔχων πρὸς Θεὸν παῤῥησίαν, ὡς ἱεράρχης Θεοφόρε, τῶν τὴν ἱεραὶ καὶ φωσφόρον, τελούντων μνήμην, σοῦ παμμακάριστε, διὰ παντὸς μνημόνευε, τῷ σῷ Δεσπότῃ παριστάμενος.

Νέμοις μοι τὴν ἄφθονον χάριν, τῷ τοὺς ἐπαίνους σοι Θεόφρων, πλέξαντι προθύμῳ καρδίᾳ, τὴν τῶν πταισμάτων λύσιν αἰτούμενος, ὡς Ἱερεὺς πιστότατος, Ὅσιε Πάτερ Ἀμφιλόχιε. Θεοτοκίον.

Ἀδὰμ μὲν ἀπόγονος ὤφθης, τοῦ δὲ Θεοῦ Μήτηρ ἐδείχθης. σὺ γὰρ ἀπ' αἰῶνος ἐφάνης, Ἁγιωτέρα, πάσης τῆς κτίσεως, εὐλογημένη Πάναγνε. διόσε πάντες μεγαλύνομεν.

Ἄλλος. Εὐλογητὸς Κύριος, ὁ Θεός.

Ἴδε λαμπρὰ πανήγυρις, ἴδε μνήμη ἱερὰ, ἴδε χάρις πᾶσι συνελθοῦσι πιστοῖς, ἀφθόνως ἰάσεις πηγάζουσα, προσέλθωμεν. βρύει γὰρ ἡμῖν, ἡ Γρηγορίου θήκη, φωτισμὸν ἀέναον, καὶ ἀθανασίαν.

Ὡς ποταμὸς πεπλήρωται, τῶν ναμάτων τοῦ Χριστοῦ. ὡς Ἐλαία ἔλαιον πηγάζεις ζωῆς, ὡς Φοῖνιξ ὑψώθης Γρηγόριε. ὡς Ἄμπελος βότρυας ἡμῖν, τῶν ἀρετῶν σου φέρεις, ἐξ ὧν ποτιζόμεθα, οἶνον ἀφθαρσίας.

Συνευφραινέσθω σήμερον, ἐν τῇ μνήμῃ σου ἡμῖν, Ἱερέων δῆμος, καὶ Ὁσίων πληθὺς, καὶ πάντων Ἀγγέλων τὰ τάγματα. μεθ' ὧν παρεστὼς τῷ Ποιητῇ, πεπυρσευμένος Πάτερ, μνήσθητι τῶν πόθῳ σε ἀνυμνολογούντων.

Ἡγιασμένον γέγονας, Πάτερ σκηνώμα Χριστοῦ, Ἐκκλησίας Στύλος, καὶ λιμὴν τῶν πιστῶν, καὶ μάχαιρα πλάνην ἐκτέμνουσα, πηγὴ ἰαμάτων καὶ βυθὸς, ἐνθέων νοημάτων, καὶ πυρσὸς ἀκοίμητος, καὶ Ποιμὴν ποιμένων. Θεοτοκίον.

Φῶς ἡ τεκοῦσα ἄχρονον, τὸ ἐκλάμψαν ἐκ Πατρὸς, φώτισόν μου Κόρη τὴν ψυχὴν καὶ τὸν νοῦν, μακρὰν ἀπ' ἐμοῦ ἐκδιώκουσα, τὸ σκότος Παρθένε τῶν παθῶν. ἵνα σε μακαρίζω, τὴν Ἀειμακάριστον τῶν πιστῶν ἐλπίδα. Ὁ Εἱρμός.

„Εὐλογητὸς Κύριος, ὁ Θεὸς τοῦ Ἰσ-
„ραὴλ, ὁ ἐγείρας κέρας ἡμῖν, ἐν οἴ-
„κῳ Δαβὶδ τοῦ παιδὸς αὐτοῦ. ἐν οἷς ἐπε-
„σκέψατο ἡμᾶς, ἀνατολὴ ἐξ ὕψους, καὶ
„κατεύθυνεν ἡμᾶς, εἰς ὁδὸν εἰρήνης.

Ἐξαπόστ. Ἐν Πνεύματι τῷ Ἱερῷ.

Ὡς ἱεράρχαι ὅσιοι, θεοφόροι Ποιμένες, ὀφθέντες ἀληθέστατοι, τοῦ ἀμνοῦ καὶ Ποιμένος, Ἀμφιλόχιε ὅσιε, καὶ Γρηγόριε μάκαρ, πρεσβεύσατε ὑπὲρ πάντων, τῶν ὑμῶν ἐκτελούντων, μνήμην ῥυσθῆναι κινδύνων, ψυχῶν ὁμοῦ καὶ σωμάτων.

Τῆς Ἑορτῆς.

Ψοῦ ἱεροῦ σε σήμερον, Θεοτόκε Παρθένε, δέχεται τὰ ἐνδότερα, χερσὶν Ἀρχιερέως. ἐν οἷς τριῶν ἀπὸ χρόνων, ἕως δύω καὶ δέκα, διέμεινας τρεφομένη, χαιρὶ θείου Ἀγγέλου, ὡς ἁγία Κιβωτὸς, τοῦ πάντα τεκτηναμένου.

Εἰς τὸν ᾱ. τῶν Αἴνων ᾱ. τῆς Ἑορτῆς.

ἦχος, β'.

Οἶκος τοῦ Εὐφραθᾶ.

Ἤρθη τὸ τοῦ φραγμοῦ, μεσότοιχον τῇ θείᾳ, τῆς ὄντως Θεοτόκου, εἰσόδῳ καὶ οἱ κάτω, τοῖς ἄνω νῦν συνήφθημεν.

ᾱ. Ἀ-

ἡ. Ἀπενεχθήσονται τῷ Βασιλεῖ.

Ἦδον παρθενικαὶ, χορεῖαι θεῖον ὕμνον, προπέμπουσαι ἐν οἴκῳ, Θεοῦ λαμπαδηφόρον, τὴν μόνην παναμώμητον.

ἡ. Ἀπενεχθήσονται ἐν εὐφροσύνῃ.

Ἔνδον τοῦ ἱεροῦ, Ἁγίαν τῶν Ἁγίων, τὴν Θεοτόκον οὖσαν, ὦ Ζαχαρία δέχου, ἁγίων εἰς τὰ ἅγια.

Δόξα, καὶ νῦν. ἦχος, πλ. β'.

Σεργίου Ἁγιοπολίτου.

Σήμερον τὰ στίφη, τῶν πιστῶν συνελθόντα, πνευματικῶς πανηγυρίσωμεν, καὶ τὴν Θεόπαιδα Παρθένον καὶ Θεοτόκον, ἐν Ναῷ Κυρίου προσαγομένην, εὐσεβῶς ἀνευφημήσωμεν, τὴν προεκλεχθεῖσαν, ἐκ πασῶν τῶν γενεῶν, εἰς κατοικητήριον, τοῦ παντάνακτος Χριστοῦ, καὶ Θεοῦ τῶν ὅλων. παρθένοι, λαμπαδηφοροῦσαι προπορεύεσθε, τῆς Ἀειπαρθένου τιμῶσαι, τὴν σεβάσμιον πρόοδον. μητέρες, λύπην πᾶσαν ἀποθέμεναι, χαρμονικῶς συνακολουθήσατε, τὴν Μητέρα τοῦ Θεοῦ γενομένην, καὶ τῆς χαρᾶς τοῦ κόσμου τὴν πρόξενον. ἅπαντες οὖν χαρμονικῶς, τὸ Χαῖρε, σὺν τῷ Ἀγγέλῳ ἐκβοήσωμεν, τῇ Κεχαριτωμένῃ, τῇ ἀεὶ πρεσβευούσῃ, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Ἡ λοιπὴ Ἀκολουθία τοῦ Ὄρθρου, καὶ Ἀπόλυσις.

Τῷ αὐτῷ Μηνὶ, ΚΔ'.

Τῶν Ὁσίων Πατέρων ἡμῶν, καὶ Ἱερομαρτύρων, Κλήμεντος Ῥώμης, καὶ Πέτρου Ἀλεξανδρείας. Ἑσπέρας εἰς τὸ, Κύριε ἐκέκραξα, ἱστῶμεν ἡ. σ'. καὶ ψάλλομεν ἡ. τ. Ἁγίου Κλήμεντος. ἦχος, β'.

Ὅτε, ἐκ τοῦ ξύλου σε.

Κλῆμα, τῆς ἀμπέλου τῆς ζωῆς, πάτερ πεφυκὼς Ἱεράρχα, ὡραίους ἤνεγκας, βότρυας ἐν Πνεύματι, δογμάτων πάνσοφε, ἀποστάζοντας πάντοτε, σωτηρίας οἶνον, θείας ἐπιγνώσεως, καὶ κατευφραίνοντας, πάντων εὐσεβῶν τὰς καρδίας, τῶν εἰλικρινῶς σε τιμώντων, Κλήμη Θεοφόρε παμμακάριστε.

Πέτρου, Κορυφαίου μαθητὴς, πάτερ γεγονὼς ἐπὶ πέτραν, τούτου ἐδόμησας, λίθον ὥσπερ τίμιον, σαυτὸν πανεύφημε, καὶ μοχλεύσει τῶν λόγων σου, κατέστρεψας πᾶσαν, δόμησιν πολύθεον, ναοὺς δὲ ἤγειρας, θείους εἰς τιμὴν τῆς Τριάδος, μάκαρ. ὑπὲρ ἧς ἠγωνίσω, καὶ τοῦ μαρτυρίου στέφος εἴληφας.

Ὥσπερ, φωτοβόλος ἐκ δυσμῶν, Ἥλιος ἀνέτειλας Πάτερ, καταλαμπρύνων τὴν γῆν, αἴγλῃ τῶν δογμάτων σου, καὶ τῶν στιγμάτων φαιδρῶς. ἐπιφθάσας δὲ μέρεσιν, ἑώας τρισμάκαρ, ἔδυς θανατούμενος, καὶ ἐξανέτειλας, Κλήμη, πρὸς Χριστὸν ταῖς ἐκεῖθεν, λάμψεσι πλουσίως ἀπαύστως, θείαν κατὰ μέθεξιν λαμπόμενος.

Ἑτέρα ἡ. τοῦ Ἁγίου Πέτρου. ἦχος, α'.

Τῶν οὐρανίων ταγμάτων.

Ὑπερουσίου Τριάδος τὸ Ὁμοούσιον, διεκδικῶν παμμάκαρ, ὡς ἀκτίστου Μονάδος, Ἄρειον καθεῖλες, δείξας ἡμῖν, τοῦ Υἱοῦ τὸ ἀμέριστον, ὡς τῆς αὐτῆς ἐνυπάρχοντος τῷ Πατρὶ, καὶ τῷ Πνεύματι Θεότητος.

Ψῶν διωκόντων ἐπαύθη, ἡ μιαιφόνος ὁρμή. ἡ τῶν αἱμάτων χύσις, νῦν εἰς φροῦδον κατέστη. ἄμφω σφραγισθέντα, Πέτρε σοφὲ, τῷ ἱερῷ Μαρτυρίῳ σου, ὡς τοῦ παιδὸς Μωϋσέως ἔστη ῥυὲν, τῇ ψηφέδι τῆς Σεπφόρας ποτέ.

Ποιμαντικῶς διαπρέψας, Ἱερομάρτυς Χριστοῦ, μαρτυρικοὺς ἀγῶνας, ἐπεδείξω γενναίως, ἐν δι' ἀμφοτέρων στέφος λαβὼν, ἐκαρτέρεις κοσμούμενος, Ἱερωσύνῃ καὶ πόνοις ἀθλητικοῖς. διὸ πρέσβευε σωθῆναι ἡμᾶς.

Δόξα, τοῦ Ἁγίου Κλήμεντος, ἦχος, πλ. β'.

Ῥῆς τῶν παθῶν ὀχλήσεως ἀπασχολήσας τὸν νοῦν, περὶ τὴν γνῶσιν τῶν ὄντων, Ἱερώτατε Κλήμη, ἀσχολεῖσθαι πεποίηκας. Διό σε τὸ κυρίως καὶ πρώτως ὄν, ἐπὶ ταύτην εἵλκυσε, διὰ Πέτρου τοῦ τῶν Ἀποστόλων ἐξάρχοντος, ὃς σὲ τὰ θεῖα μεμύηκε, καὶ αὐτοῦ διάδοχον, καταλέλοιπεν ἄξιον. Μεθ' ὃν τὴν Ἐκκλησίαν πάνσοφε, καλῶς διαγαγὼν, μαρτυρικῷ τέλει πρὸς

αὐτὸν ἐξεδήμησας, οἷα Θεὸς, Θεῷ τῷ ὄντι ἀκραιφνῶς συγγινόμενος. οὗ τῆς θεώσεως, καὶ ἡμᾶς ἀκαταπαύστως, τυχεῖν καθικέτευε, Ἱερομάρτυς Ἀπόστολε.

Καὶ νῦν. ἦχος, πλ.

Μετὰ τὸ τεχθῆναί σε, Θεόνυμφε Δέσποινα, παρεγένου ἐν Ναῷ Κυρίου, τοῦ ἀνατραφῆναι εἰς τὰ ἅγια τῶν ἁγίων, ὡς Ἡγιασμένη. τότε καὶ Γαβριὴλ ἀπεστάλη, πρὸς σὲ τὴν Παράμωμον, τροφὴν κομίζων σοι. τὰ οὐράνια πάντα ἐξέστησαν, ὁρῶντα τὸ Πνεῦμα τὸ Ἅγιον ἐν σοὶ σκηνῶσαν. διὸ ἄσπιλε ἀμόλυντε, ἡ ἐν Οὐρανῷ καὶ ἐπὶ γῆς δοξαζομένη, Μήτηρ Θεοῦ, σῶζε τὸ γένος ἡμῶν.

Εἰς τὸν ᾖ. ᾖ. τῆς Ἑορτῆς. ἦχος, α'.

Τῶν οὐρανίων ταγμάτων.

Δεῦτε φιλέορτοι πάντες, ὕμνοις τιμήσωμεν, τὴν μόνην Θεοτόκον, τὴν ἀγνὴν καὶ Παρθένον. Παρθένοι γηθοσύνως, λαμπᾶσι φαιδραῖς, τὴν Παρθένον καὶ ἄχραντον, ἐν τῷ Ναῷ εἰσαχθεῖσαν τοῦ Ποιητοῦ, γηθοσύνως λιταμεύσατε.

ᾖ. Ἀπενεχθήσονται τῷ Βασιλεῖ.

Διανοιγέσθωσαν πύλαι, πιστῶς εἰσδέξασθε, Παρθένοι λαμπαδοῦχοι, εἰς Ναὸν ἀφιχθεῖσαν, τὴν ἄχραντον Μητέρα, καὶ πάντων χαρὰν, τοῦ Θεοῦ ἡμῶν κράζουσαι· εὐλογημένη ὑπάρχεις ἐν γυναιξὶ, Θεοτόκε Ἀειπάρθενε.

ᾖ. Ἀπενεχθήσονται ἐν εὐφροσύνῃ.

Ἐπαγγελίας ἁγίας, καὶ ὁ καρπὸς εὐκλεὴς, ἡ Θεοτόκος ὄντως, ἀνεδείχθη τῷ Κόσμῳ, ὡς πάντων ὑπερτέρα, ἡ εὐσεβῶς, προσαγομένη ἐν οἴκῳ Θεοῦ, τὴν προσευχὴν τῶν τεκόντων ἀποπληροῖ, συντηρουμένη Θείῳ Πνεύματι.

Δόξα, τοῦ Ἁγίου Πέτρου. ἦχος, δ'.

Ἀνατολίου.

Χειρὶ Θεοῦ, χρισθεὶς εἰς Ἱερέα, τοῦ Κορυφαίου συνώνυμε, καὶ ἔργως συμμέτοχε, τὰ λογικὰ πρόβατα, τοῖς εὐαγγελικοῖς ἐξέθρεψας λειμῶσιν, ὡς σοφὸς καὶ ἀληθινὸς Ποιμήν. καὶ Μάρκου διάδοχος, ἀξίως ἀναδειχθεὶς, τῷ ἀθλητικῷ αἵματι, τὸν τῆς πίστεως δρόμον ἐτέλεσας. τοῦ λαοῦ προμυθούμενος, καὶ Χριστῷ συμμορφούμενος. πρέσβευε ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν, τῆς Ἑορτῆς. ἦχος, πλ.

Ὁ Δαβὶδ προαναφώνεισοι ἄχραντε, προορῶν τὴν ἀφιέρωσιν, τῆς Εἰσόδου σου ἐν τῷ Ναῷ. ἐν ᾧ τὰ πέρατα σήμερον ἑορτάζοντα, δοξολογοῦσί σε Πανύμνητε. ἡ γὰρ πρὸ τόκου Παρθένος, καὶ μετὰ τόκον μείνασα ἄφθορος, Μήτηρ τοῦ Λόγου τῆς ζωῆς, σήμερον εἰσέρχῃ ἐν τῷ Ναῷ. ὁ Ζαχαρίας εὐφραίνεται, ἀπολαβὼν σε Δέσποινα, καὶ τὰ ἅγια τῶν ἁγίων ἀγάλλονται ὑποδεξάμενά σε, τὴν τροφὸν τῆς ζωῆς ἡμῶν. διὸ καὶ ἡμεῖς, ψαλμικῶς ἐκβοῶμέν σοι· ὑπὲρ ἡμῶν δυσώπησον τὸν Υἱόν σου καὶ Θεὸν ἡμῶν, δωρηθῆναι ἡμῖν τὸ μέγα ἔλεος.

Τὸ Ἀπολυτίκιον τῆς Ἑορτῆς, εἶτα τῶν Ἁγίων. Ὁ Θεὸς τῶν Πατέρων ἡμῶν. Εἰς τὸν Ὄρθρον, μετὰ τὴν συνήθη ἄλλο. Ὁ Κανὼν τῆς Ἑορτῆς, εἷς, καὶ τῶν Ἁγίων, δύω. Ὁ Κανὼν τοῦ Ἁγίου Κλήμεντος. Οὗ ἡ ἀκροστιχίς.

Θείας σὲ Κλῆμα Μάρτυς ἀμπέλου σέβω.

Ἰωσήφ. Ὠδὴ, α'. ἦχος, δ'.

Ἀνοίξω τὸ στόμα μου.

Θρόνῳ παριστάμενος, τῆς Τρισηλίου Θεότητος, καὶ θείας λαμπόμενος, Πάτερ λαμπρότητος, τὴν ζοφώδημον, καταύγασον καρδίαν, ὅπως τὴν φωσφόρον σου, ὑμνήσω κοίμησιν.

Εἰς βάθη τοῦ Πνεύματος, μετὰ τοῦ Πνεύματος ὅσιε, ὁσίως ἐνέκυψας, καὶ κατενόησας, ὡς ἐχώρησας, τὸν ἀκαταληψίᾳ, νοούμενον Κύριον, Μακαριώτατε.

Ἱστίῳ πτερούμενος, τῷ τοῦ Σταυροῦ διεπέρασας, τοῦ βίου τὸ πέλαγος, Μάρτυς παράριστε, καὶ τὸν εὔδιον, κατέλαβες λιμένα, τῆς ἄνω λαμπρότητος, Κλήμη πανεύφημε. Θεοτοκίον.

Ἁγίασον Δέσποινα, τὴν ταπεινήν μου διάνοιαν, ἡ τὸν ὑπερούσιον, Λόγον κυήσασα, καὶ ὑπάρχουσα, πασῶν ἁγίων

γιωτέρα, τῶν ἄνω Δυνάμεων, Θεοχαρίτωτε.

Ἕτερος Κανὼν τοῦ Ἁγίου Πέτρου.

Οὗ ἡ ἀκροστιχίς.

Ἐγκωμιάζω τὸν τρισόλβιον Πέτρον.

Ἄνευ τῶν Θεοτοκίων.

Ὠδὴ, α. ἦχος, π. δ.

Ἄσωμεν τῷ Κυρίῳ.

Ἐν τοῖς φωτεινοτάτοις, τὴν διαγωγὴν ἔχων σκηνώμασι, φωτισμόν μοι παράσχου, ταῖς πρεσβείαις σου Πέτρε πανόλβιε.

Τινώσει μεμνημένος, καὶ Γερωσύνη λαμπρυνόμενος, παμμακάριστε Πέτρε, τῷ Χριστῷ προσηνέχθης δι' αἵματος.

Κόσμος πεποικιλμένος, καὶ πολυτελὲς ὥσπερ ἀνάθημα, τῇ Χριστοῦ Ἐκκλησίᾳ, πρὸς Θεοῦ ἐδωρήθης μακάριε.

Θεοτοκίον.

Ἄχραντε Θεοτόκε, ἡ σεσαρκωμένον τὸν αἴδιον, καὶ ὑπέρθεον Λόγον, ὑπὲρ φύσιν τεκοῦσα ὑμνοῦμέν σε.

Ὠδὴ, γ. Οὐκ ἐν σοφίᾳ.

Ἐπὶ πρὸς τὸ φέγγος, τῆς τοῦ Θεοῦ ὠδήγησε γνώσεως, ὁ τοῦ Κόσμου διαυγὴς, καὶ καθαρώτατος Ἥλιος, Πέτρος ὁ θαυμάσιος, Θεομακάριστε.

Ἐταγόσι θείων, διδαχῶν ἀρδευθεὶς τὴν καρδίαν σου, τῶν τοῦ Πέτρου ποταμὸς, ναμάτων πλήρης τοῦ Πνεύματος, Μάρτυς ἐχρημάτισας, Θεομακάριστε.

Ἐν χείλεσί σου, ἐξεχύθη ἡ χάρις τοῦ Πνεύματος, ὅθεν ἔβλυσας κρουνοὺς, Θεογνωσίας ἀοίδιμε, καὶ πᾶσαν κατηρδεύσας, τὴν Ἐκκλησίαν Χριστοῦ.

Θεοτοκίον.

Κυριοτόκε, ἡ Θεὸν ἀπορρήτως κυήσασα, τὸν Σωτῆρα τοῦ παντὸς, αὐτὸν δυσώπει σωθῆναί με, πάθεσιν ἑκάστοτε, περιαντλούμενον.

Ἄλλος. Οὐκ ἔστιν Ἅγιος ὡς ὁ Κύριος.

Ἀνῆλθες ὀχούμενος τῷ σῷ αἵματι, ὡς ἐν ἅρματι Ὅσιε, πρὸς τὰ οὐράνια, ἔνθα πρόδρομος ἡμῶν, Χριστὸς εἰσελήλυθεν, ὁ μόνος ἀναμάρτητος.

Ζωὴν τὴν ἐπίκηρον καταλέλοιπας, καὶ Ζωὴν τὴν ἀκήρατον εὗρες μακάριε, ἔνθα στεφανηφόρος, χορεύων ἱκέτευε, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Ὡς φοῖνιξ ἐξηνθήσας εὐφορώτατος, ὡς ἐλαία κατάκαρπος ὤφθης θεόπνευστε, ἐν αὐλαῖς τοῦ Κυρίου, ὡς σμύρνα καὶ λίβανος, ὡς μῦρον εὐωδέστατον.

Θεοτοκίον.

Παρθένος ἔτεκες ἀπειρόγαμε, καὶ Παρθένος ἔμεινας, Μήτηρ ἀπείρανδρε, Θεοτόκε Μαρία, Χριστὸν τὸν Θεὸν ἡμῶν, ἱκέτευε σωθῆναι ἡμᾶς.

Ὁ Εἱρμός.

„ Οὐκ ἔστιν Ἅγιος ὡς ὁ Κύριος, καὶ οὐκ ἔ-
„ στι δίκαιος ὡς ὁ Θεὸς ἡμῶν. ὃν ὑ-
„ μνεῖ πᾶσα κτίσις. οὐκ ἔστι σοι ὅμοιος, δε-
„ δοξασμένε Κύριε.

Κοντ. τοῦ Ἁγίου Πέτρου. ἦχος, γ.

Ἡ Παρθένος σήμερον.

Ὀρθοδόξοις δόγμασι, τὴν Ἐκκλησίαν φαιδρύνας, ὑπὲρ ταύτης ἤθλησας, θεομακάριστε Πέτρε, Ἄρειον τὸν ἀποστάτην καταδιώξας. ὅθεν σου τὴν Παναγίαν μνήμην τελοῦντες, ὀρθοδόξως ἐκβοῶμεν· Χαίροις ὦ Πέτρε, ἡ πέτρα τῆς Πίστεως.

Ὁ Οἶκος.

Ἐπὶ τὴν θαυμαστὴν Ἀλεξάνδρειαν, σπεύδοντες πορευθῶμεν τῷ νοΐ, καὶ κατίδωμεν πράγματα μεγάλα καὶ ξένα, ἐκεῖσε τελεσθέντα, πῶς εἰς θυσίαν ἑαυτὸν τίθησιν, ὡς πρόβατον ἄκακον, ὁ Γεράρχης καὶ μέγας πρόβολος Πέτρος, ὁ νυνὶ συγκαλεσάμενος ἡμᾶς ἐνταῦθα, καὶ τὴν ἁγίαν Κάραν προθέμενος αὐτοῦ, καθάπερ ἔδεσμα σεπτόν. ᾗ τρυφήσαντες νῦν, ὀρθοδόξως αὐτῷ βοῶμεν· Χαίροις ὦ Πέτρε, ἡ πέτρα τῆς Πίστεως.

κα. ἦχος πλ. Τοῦ Ἁγίου Κλήμεντος.

Τὴν Σοφίαν καὶ Λόγον.

Ὡς πολύφορον κλῆμα ἐπὶ τῆς γῆς, ἁπλωθεὶς τῶν βασάνων κατατομῇ, ὡραίους ἐξηνθήσας, ἀξιάγαστε βότρυας, σωτηρίου γλεῦκος, ἀεὶ ἀποστάζοντας, καὶ καρδίας πάντων, πιστῶν κατευφραίνοντας.

Ὅθεν συνελθόντες, τὴν ἁγίαν σου μνήμην, τελοῦμεν γηθόμενοι, τὸν Χριστὸν μεγαλύνοντες, Ἱεράρχα πολύαθλε, πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ, τὴν ἁγίαν μνήμην σου.

Δόξα.

Τοῦ Ἁγίου Πέτρου. Ὅμοιον.

Ἐκ τῆς ἄνωθεν ψήφου τῆς τοῦ Χριστοῦ, ἡγησάμενος ποίμνης ἐπὶ νομὰς, εὐζώους ἐποίμανας, τῶν πανσόφων δογμάτων σου, ἀπελάσας Ἄρειον, ὡς λύκον ἀνήμερον, ἐπιβάντα ταύτῃ, ἀθέοις διδάγμασιν. ὅθεν τὴν ψυχήν σου, ὑπὲρ ταύτης ἐκδώσας, Ποιμὴν ἀνηγόρευσαι, ὡς ὁ Κύριος ἔφησεν· Ἱεράρχα Μακάριε, πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι.

Καὶ νῦν. τῆς Ἑορτῆς. ἦχ, δ'.

Κατεπλάγη Ἰωσήφ.

Πρὸ συλλήψεως Ἁγνὴ, καθηγιάσθης τῷ Θεῷ, καὶ τεχθεῖσα ἐπὶ γῆς, δῶρον προσήχθης νῦν αὐτῷ, ἀποπληροῦσα πατρῴαν ἐπαγγελίαν. τῷ θείῳ δὲ Ναῷ, ὡς θεῖος ὄντως Ναὸς, ἐκ βρέφους καθαρῶς, μετὰ λαμπάδων φαιδρῶν, ἀποδοθεῖσα ὤφθης δοχεῖον, τοῦ ἀπροσίτου καὶ θείου φωτός. μεγάλη ὄντως, ἡ πρόοδός σου, μόνη Θεόνυμφε καὶ Ἀειπάρθενε.

Ὠδὴ, δ'. Ὁ καθήμενος ἐν δόξῃ.

Λαμπρυνθείς σου τὴν καρδίαν, ταῖς ἀκτῖσι τοῦ Πνεύματος, εὐσεβέσι λόγοις, πάντων τὰς ψυχὰς κατελάμπρυνας. τὸ τῆς ἀγνοίας δὲ σκότος τὸ βαθύτατον, ἀπεδίωξας, τῶν εἰδωλομανῶν Ἱερώτατε.

Ἡ κατάκαρπος ὡς Κλῆμα, ἐκβλαστάνεισε Ἄμπελος, Ἰησοῦς παμμάκαρ, φέρον ἐπιγνώσεως βότρυας, ἐν τοῖς ληνοῖς μαρτυρίου οἶνον βλύζοντας, τὰς καρδίας πάντων πιστῶν τὸν εὐφραίνοντα.

Μεμακάρισαι γνησίως, μαθητεύσας τῷ Κήρυκι, μεμαθητευμένῳ, Λόγῳ μακαρίσαντι πάνσοφε, τοῦτον ἀξίως λαβόντα ἀποκάλυψιν, ἐκ Πατρὸς οὐρανίου σαφῶς, ὡς θερμότατον.

Θεοτοκίον.

Ἀναπλάττεις συντριβεῖσαν, καὶ φθορᾷ ὑποκύψασαν, τὴν βροτείαν φύσιν, ἄχραντε Θεὸν σωματώσασα, καὶ ὑπὲρ φύσιν τεκοῦσα ἀπειρόγαμε. ᾧ κραυγάζομεν, δόξα Χριστὲ τῇ δυνάμει σου.

Ἄλλος. Ἐξ ὄρους κατασκίου.

Τὴν τῶν ἀρετῶν ὁδεύων τρίβον Πάτερ, ἔφθασας μονὰς, τὰς ἄνω Θεοφόρε, Ἱερωσύνης τῷ χρίσματι διαπρέπων, καὶ μαρτυρίου λάμπων αἵματι.

Ὄμβροις καὶ κρουνοῖς τῶν σῶν αἱμάτων μάκαρ, ἔσβεσας ἡμῖν, τὴν κάμινον τῆς πλάνης, καὶ διωκόντων ἠφάνισας τὴν ὁμίχλην, Ἱερομάρτυς ἀξιάγαστε.

Νέος τις Πέτρος ἐδείχθης ἡμῖν ὄντως, ἀποστολικοῖς χαρίσμασιν ἐκλάμπων, ἱερουργός τε καὶ Μάρτυς τῶν παθημάτων, τῶν τοῦ Δεσπότου σου πανόλβιε.

Θεοτοκίον.

Χαίροις παρ' ἡμῶν ἁγία Θεοτόκε. Χαῖρε ἡ χαρὰν, κυήσασα τῷ Κόσμῳ. Χαῖρε ἡ μόνη ἀντίληψις τῶν ἀνθρώπων. Χαῖρε τὸ πάντων περιτείχισμα.

Ὠδὴ, ε'. Ἀσεβεῖς οὐκ ὄψονται.

Μαρτυρίου αἵματι, φοινίξας ἱερῶς, καὶ στολήν σου τὴν ἱερὰν λαμπροτέραν ἔνδοξε, ἐναπετέλεσας. μεθ' ἧς εἰς τὰ ἅγια, τῶν ἁγίων προσεχώρησας.

Ἀναιμάκτους ἔθυσας, θυσίας τῷ Χριστῷ, τῷ τυθέντι ὑπὲρ ἡμῶν, καὶ τυθεὶς προσήνεξαι, τούτῳ ὡς σφάγιον, καθαρὸν καὶ ἄμωμον, Ἀθλητὰ θεομακάριστε.

Ῥώμης προεδρεύσαντα, ὡς Πέτρου φοιτητὴν, καὶ τὴν ποίμνην τὴν ἱερὰν, ἱερῶς ποιμάναντα, ὦ ἱερώτατε, ἡ Σιὼν ἡ ἄνωσε, νῦν πολίτην προσελάβετο.

Θεοτοκίον.

Τὴν ἁγνὴν ἁγνεύοντι, τιμήσωμεν νοΐ, καλλονὴν τὴν τοῦ Ἰακὼβ, ταῖς ἐνθέοις πράξεσι, καλλυνόμενοι, εὐσεβῶς ὑμνήσωμεν, ὡς Μητέρα τοῦ Θεοῦ ἡμῶν.

Ἄλλος. Ὀρθρίζοντες βοῶμέν σοι Κύριε.

Τῇ πέτρᾳ ὑπερβὰς τῇ τῆς πίστεως,

Ἀθ-

Ἀθλοφόρε, ἀκλινὴς διέμεινας, ἐν πειρασμῶν περιστάσεσι.

Ῥομφαίᾳ τοῦ φλογίνῃ τοῦ Πνεύματος, Ἱεράρχα, Ἄρειον τὸν βλάσφημον, τῇ θείᾳ ψήφῳ κατέσφαξας.

Ἰσχύϊ κρατυνόμενος ἔνδοξε, τοῦ Σωτῆρος, τοῦ ἐχθροῦ τὴν δύναμιν, καὶ τὴν ἰσχὺν κατεπάτησας.

Θεοτοκίον.

Κατεύνασον τὸν ἄστατον κλύδωνα, τῶν παθῶν μου, ἡ Θεὸν κυήσασα, τὸν κυβερνήτην καὶ Κύριον.

Ὠδὴ, ς'. Ἐβόησε, προτυπῶν.

Ὑποβάθραν, καὶ θεμέλιον Πέτρου τὰ λόγια, κεκτημένος, ἐν αὐτοῖς ἐδομήσω ὡς ἔμψυχος, τῆς Τριάδος οἶκος, καὶ ναοὺς τῶν εἰδώλων κατέῤῥαξας.

Συρόμενος, ἐπὶ γῆς ὥσπερ λίθος κεκύλισαι, καὶ τῆς πλάνης, τὸ ὀχύρωμα ὅλον συνέτριψας, Ἱεράρχα Κλήμη, Ἀθλοφόρε Χριστοῦ γενναιότατε.

Ἀπείληφας, τοὺς τῆς νίκης στεφάνους γηθόμενος, ὡς νικήσας, τοῖς ἀγῶσιν ἐχθροῦ τὰ παλαίσματα, Ἱερομαρτύρων, ἱερὸν σεπτὸν ἀκροθήνιον.

Θεοτοκίον.

Μεμύηται, Ἡσαΐας τὸ βάθος τοῦ τόκου σου, καὶ Παρθένον, ἐν γαστρίσου ἐκήρυξεν ἔχουσαν, τὸν δι' εὐσπλαγχνίαν, σαρκωθέντα ἐκ σοῦ Ἀπειρόγαμε.

Ἄλλος. Χιτῶνά μοι παράσχου φωτεινόν.

Σωφρόνως καὶ δικαίως τῷ Θεῷ, σὺ πολιτευσάμενος, τέλος μακάριον, παρ' αὐτοῦ ἐκομίσω παμμακάριστε.

Ὁλόκληρον θυσίαν καὶ δεκτὴν, σεαυτὸν προσενήνοχας, Πέτρε θεσπέσιε, τῷ θυσίᾳ διὰ σὲ γενομένῳ Θεῷ.

Ἀργίων τῶν τοῦ Πνεύματος πληθεὶς, Πνεύματι κινούμενον, ὄργανον γέγονας, μελῳδῶν Θεοφάντωρ τὰ ἀπόῤῥητα.

Θεοτοκίον.

Ναόνσε τοῦ Θεοῦ καὶ κιβωτὸν, καὶ παστάδα ἔμψυχον, καὶ Πύλην οὐράνιον, Θεοτόκε οἱ πιστοὶ καταγγέλλομεν.

Ὁ Εἱρμός.

„Χιτῶνά μοι παράσχου φωτεινὸν, ὁ ἀβαλλόμενος, φῶς ὡς ἱμάτιον, πολυέλεε Χριστὲ ὁ Θεὸς ἡμῶν.

Κοντάκιον τῶν Ἁγίων, ἦχος, δ'.

Ἐπεφάνης σήμερον.

Ἐκκλησίας ἄσειστοι, καὶ θεῖοι πύργοι, εὐσεβείας ἔνθεοι, στύλοι ὡς ὄντες κραταιοὶ, Κλήμη σὺν Πέτρῳ πανεύφημοι, ὑμῶν πρεσβείαις, φρουρεῖτε τοὺς ἅπαντας.

Ὁ Οἶκος.

Ἀπεριτρέπτῳ καὶ στεῤῥᾷ, σεπτῇ ὁμολογίᾳ, οἱ λάμψαντες ἐν Κόσμῳ, καὶ φαίνοντες ἀῤῥήτως, σήμερον χαίρουσι καλῶς Κλήμης, τὸ ὡραῖον ὄντως κλῆμα τοῦ Χριστοῦ, τὸ τρέφον κόσμον βότρυσι τοῖς τῆς Θεογνωσίας. Πέτρος τε, ἡ ἑδραία καὶ ἄθραυστος πέτρα τῶν δογμάτων τοῦ Σωτῆρος. ἀμφότεροι, τῆς θείας χάριτος οἱ λατρευταὶ, καὶ μύσται τῆς ἀῤῥήτου σοφίας, καὶ τῆς σεπτῆς Ἐκκλησίας οἱ προστάται οἱ θερμοὶ, οἱ βοηθοῦντες τοῖς κάμνουσι παντοίοις δεινοῖς, καὶ σῴζοντες τοὺς βοῶντας. Ὑμῶν πρεσβείαις, φρουρεῖτε τοὺς ἅπαντας.

Τῷ αὐτῷ Μηνὶ, ΚΔ'. Μνήμη τοῦ ἐν Ἁγίοις Πατρὸς ἡμῶν Κλήμεντος Ἐπισκόπου Ῥώμης.

ἐ. Ὡς Κλῆμα Χριστοῦ τῆς νοητῆς Ἀμπέλου,

Γέγονας Κλήμη, οἶνον θεῖον προχέων.

Βληθεὶς ὁ Κλήμης εἰς βυθὸν σὺν ἀγκύρᾳ,

Πρὸς Χριστὸν ἥκει, ἄγκυραν τὴν ἐσχάτην.

Κλήμης ὁ μακάριος καὶ σοφώτατος, Ῥωμαῖος ὢν τὸ γένος, ἐκ βασιλικοῦ καταγόμενος γένους, Φαύστου καὶ Ματθιδίας Υἱὸς, πᾶσαν παιδείαν τῆς Ἑλληνικῆς γνώσεως μετελθών. Ἐκ ναυαγίου δέ ποτε διασωθεὶς παραδόξως, καὶ τῷ Κορυφαίῳ τῶν Ἀποστόλων Πέτρῳ περιτυχὼν, τὴν κατὰ Χριστὸν ἀληθῆ πίστιν ἐκπαιδεύεται παρ' αὐτοῦ. Κήρυξ δὲ τοῦ Εὐαγγελίου γεγονὼς, καὶ τὰς τῶν Ἀποστόλων Διατάξεις συγγραψάμενος, κατέστη καὶ Ῥώμης Ἐπίσκοπος. Ἀλλὰ παρὰ Δομετιανοῦ κρατηθεὶς, τιμωρεῖται. Καὶ μὴ πειθόμενος τοῖς αὐ-

τῆ προσάγμασιν, ἐν ἐρήμῳ πόλει, παρακειμένῃ τῇ Χερσῶνι, ζοριζεται. Ἐκεῖθέν τε πάλιν δεθεὶς πρὸς τὸν αὐχένα αὐτῆ ἄγκυραν σιδηρᾶν, ῥίπτεται ἐν τῷ βυθῷ τῆς Θαλάσσης, ἐ ἔτω τελευτᾷ. Ὁ δὲ τῷ θαυμασίων Θεὸς, δοξάζων καὶ μὴ θανάτου τὸν οἰκεῖον θεράποντα, θαυματουργεῖ τι μέγα καὶ ὑπερφυὲς τεράστιον. Ἐκτοτε γὰρ ὑποχωρήσαντος τὸ ὕδατος μίλια τρία καθ' ἑκάστην ἑαυτὸν ἐν τῇ τοῦ Ἁγίου μνήμῃ, ἐ ὑποδεχομένη διὰ ξηρᾶς τὰς ἐκείσε φοιτῶντας ἐπὶ ἡμέρας ἑπτὰ, μεγάλη ἰῶ τοῖς ἠλπικόσιν ἐπὶ Κύριον ἀθροσύνη. Καί ποτε τῆς Θαλάσσης ὑποχωρησάσης, καὶ τὸ λαὸ εἰσελήλυθότος, ἔτυχε Παῖδα ἐκεῖσε καταλειφθῆναι σμικρότατον, χ' λίθῳ τῷ γονέων αὐτὸ. οἵτινες αὐτὸ οἷα εἰκὸς ἀποκλαυσάμενοι, ἐ θρήνους καὶ ὀλοφυρμοὺς εἰς ἅπασαν τὴν Πόλιν κινήσαντες, εἰς τὸν μετέπειτα ἐμαυτὸν, πάλιν τὸ κύματος ἀμακεχωρηκότος προσελθόντες, εὗρον τὸ Παιδίον ὑγιὲς, ἐ τῇ τὸ Ἁγίου λάρνακι παρακαθήμενον. Ὅπερ διερωτήσαντες, ἔμαθον παρὰ τὸ κειμένου ἐκεῖσε Ἁγίου διατρέφεσθαί τε, καὶ ἐκ τῆς τῷ ἁγίῳ αὐτὸ προσβειῶν χάριτος, τῷ ἁλίῳ τῆς βλάβης περιφυλάττεσθαι. Καὶ τοῦτο ἀμαλαβόμενοι, καὶ τῷ ἁγίῳ τὰ εἰκότα ἀχαριστήσαντες, οἴκαδε ἀμεχώρησαν, δοξάζοντες τὸν Θεόν.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τὸ Ἁγίου Ἱερομάρτυρος Πέτρου, Ἐπισκόπου Ἀλεξανδρείας.

ῆ. Ἀῤῥήκτος ἰῶ τῷ πίστιν ὑμνηθεὶς Πέτρος.

Ὃς εἶδε Χριστὸ τὸν φολὸν ἐῤῥηγμένον.

Οὗτος ὑπῆρχεν ἐπὶ Μαξιμιανῦ τὸ βασιλέως, Διδάσκαλος τῆς ἀσεβείας, ἐ τῷ ὀρθῶν δογμάτων ὑφηγητής. Ὅς ἐν τῷ μέλλειν τὸν κεφαλὴν τέμνεσθαι, διὰ τὸ προσάξαι τοῦτο τὸν βασιλέα, μαθόντα τὰ κατ' αὐτὸν, προσκειμένου τὸ Ἀρείου, καὶ τὸν συγχώρησιν ζητοῦντος, καὶ τὸ λαὸ παντὸς δυσωπῦντος, ἄκαμπτος ὤν, οὐκ εἴασεν αὐτῷ συγγνώμην, ἀλλ' ἀπετέμψατο, ἐπαρασάμενος αὐτὸν, εἶναι κεχωρισμένον ἐ ἐν τῷ μιῷ αἰῶνι, ἐ ἐν τῷ μέλλοντι τῆς δόξης τὸ Χριστῦ. Ἔφη γὰρ, τὸν Κύριον ἄραρ ἰδεῖν ἐν σχήματι Παιδίου μεγάλου, ὑπὲρ τὸν Ἥλιον ἀστράπτοντα, περικείμενον χιτῶνα διερρηγμένον ἀπὸ κεφαλῆς ἄχρι ποδῶν. παρ' ὃ μαθεῖν, ὅτι Ἄρειος ἰῶ ὁ διαῤῥήξας αὐτὸν, ἐν συμβόλῳ δηλῦντος τὴν ἐκ τῦ Πατρὸς τῦ Υἱοῦ ἐ τὸ Ὁμοούσιον διαίρεσιν, καὶ τὰ λοιπὰ τοῦ ἀσεβῦς δόγματα, καὶ βλάσφημα ῥήματα. Οὗτος μὲν ὁ ἐν Ἁγίοις, ἐτελειώθη χ' τὴν τῦ βασιλέως πρόσταξιν, τὴν κάραν ἀποτμηθείς.

Τῇ αὐτῇ ἡμέρᾳ, Ὁ Ἅγιος Μάλχος, ἐν εἰρήνῃ τελευᾷ.

ῆ. Οἱ ψυχοπομποὶ συγκατέπτησαν μόες,
Ψυχὴν ἀπάξαι Μάλχε τὴν σὴν Κυρίῳ.

Τῇ αὐτῇ ἡμέρᾳ, Ὁ Ὅσιος Καείων, ἐν εἰρήνῃ τελευᾷ.

ῆ. Θεὸς παύτα πόῤῥω Καείων ψυχῆς κάρον,
Ἠθλησε μῶν μήφοντι μέχρι ἐ τέλους.

Τῇ αὐτῇ ἡμέρᾳ, Ὁ Ἅγιος Ἑρμογένης Ἐπίσκοπος Ἀκραγαντίνων, ἐν εἰρήνῃ τελευᾷ.

ῆ. Ἀπάρας Ἑρμόγενες ἀνθρώπων γένους,
Κατῆχυας φρύαγμα Δαιμόνων γενέας.

Τῇ αὐτῇ ἡμέρᾳ, Οἱ Ἅγιοι Φιλήμων, ἐ Χριστοφόρος, ξίφει τελειῦνται.

ῆ. Φιλήμονα τέμνουσι ἐ Χριστοφόρον,
Αὐτῷ φαιδρύντας πράγματι Χριστῦ φίλους.

Τῇ αὐτῇ ἡμέρᾳ, Ὁ Ἅγιος Εὐγένιος, ἐν ὀπῇ τείχους βληθεὶς, τῆς ἐξόδου ἀποφραγείσης τελειῦται.

ῆ. Μάτην ὀπὴν τὰ κλεῖθρα τῶν πυλῶν φέρεις.
Εὐγενίῳ γὰρ πρὸς Θεὸν τείβος γίνῃ.

Τῇ αὐτῇ ἡμέρᾳ, Ὁ Ἅγιος Προκόπιος, ἐ Χριστοφόρος, ξίφει τελειῦνται.

ῆ. Ὁ Προκόπιος, ὡς ἐγὼ Χριστοφόρε,

Θεῦ

Θῶ ἐς σὺ, φησὶν, εἰς τομὼ τὸν ἀυχένα.

Τῇ αὐτῇ ἡμέρᾳ, Τὸ Ἁγίου Μάρτυρος Ἀλεξάνδρου, τοῦ ἐν Κορίνθῳ. καὶ τοῦ Ὁσίου Πατρὸς ἡμῶν Γρηγορίου, τοῦ ἐν τῇ χρυσῇ Πέτρᾳ, ὃς ὥρμητο ἐκ τῆς Ἀματολῆς μερῶν, καὶ ἐλθὼν κατῴκησεν ἐν τῇ ῥηθείσῃ Πέτρᾳ.

Τῇ αὐτῇ ἡμέρᾳ, Τὸ Ἁγίου Μάρτυρος Θεοδώρου τοῦ ἐν Ἀμτιοχείᾳ.

ϛ. Δῶρον Θεῷ τέμνουσιν αἱμοσταγὲς, Θεῷ δῶρον φέρουσιν αἷμα τραχήλου.

Οὗτος ὁ Ἅγιος κρατηθεὶς ἐπὶ Ἰουλιανοῦ τοῦ Ἀποστάτου, παρὰ Σαλουστίου τοῦ Ἐπάρχου, ἁρπαγεὶς ὑπὸ τῆς ἀγορᾶς, διὰ τὸ ἀκοῦσαι τὸν Ἰουλιανὸν καθ' ὃν καιρὸν ἡ μετάθεσις τῶν ἐν τῇ δάφνῃ ἀποκειμένων λειψάνων τῶν Ἁγίων Μαρτύρων Βαβύλα τε καὶ τῶν σὺν αὐτῷ, καὶ πρόσταξιν τοῦ ἀσεβοῦς Ἰουλιανοῦ ἐγένετο, ἀδομένων δαβιτικῶν ὕμνων παρὰ τῶν ἐκφορούντων Χριστιανῶν τὰ τίμια λείψανα, ἐπιφθεγγομένων καθ' ἑαυτοὺς σίχον τὸν, Αἰσχυνθήτωσαν πάντες οἱ προσκυνοῦντες τοῖς γλυπτοῖς, ὧν εἷς ἐστὶν ὁ Μάρτυς Θεόδωρος. Ὃς ἐπὶ ξύλου κρεμασθεὶς, βυρσάροις τὰ μῶτα κατεξάνθη, καὶ ὄνυξι τὰς πλευρὰς διωρύχθη, καὶ σιδηροῖς δεσμοῖς ἁπτολήφθεὶς, τῇ εἱρκτῇ παρεδόθη. Τῇ ἑωθινῇ δὲ ὁ Ἰουλιανὸς ἀναδιδαχθεὶς παρὰ τοῦ Ἐπάρχου τὸν τοῦ Νέου καρτερίαν, καὶ ὅτι τῶν παχόντων Χριστιανῶν διὰ τὸν Χριστὸν μέχρι τέλους, εἰς ἧτταν μὴ τῶν διωκτῶν λογίζεσθαι, εἰς εὐκλείαν δὲ καὶ χαρὰν τοῖς διωκομένοις, παθὼν ὁ θεομισὴς, ἐκέλευσε τὸν Ἅγιον τῆς εἱρκτῆς ἀφεθῆναι. Οὗτος ὁ γεμμαῖος τοῦ Κυρίου ἀγωνιστὴς, ἐρωμένως τιμῶν ἅπερ ἤθετο ὀδύνας, τὰς πικρὰς ἐκείνας ὑπομονὰς βασάνους, τὸν μὲν ἀρχὸν ἔφη ὀλίγης ἀλγηδόνος αἰσθάνεσθαι, εἶτα ἐπιφανῶναι αὐτῷ τιμᾷ ὀδόντι ἀπαλῷ τε καὶ ψυχρᾷ, τὸ πρόσωπον ἐκματτομένῳ τὸν ἱδρῶτα, καὶ παρεγγυόμενον θαῤῥεῖν. Διὰτοι τοῦτο καὶ δημίων παυσαμένων, οὐχ ἡδῶναι, ἀλλ' ἀναῤῥωσθῆναι ἔφη. σωματοφυλακεῖ γὰρ ἔλεγε καὶ τὸν τῶν ψυχαγωγίαν αὐτῷ ἐμποιοῦντα. Τοιαῦτα δεδρακὼς ὁ παράνομος Ἰουλιανὸς, αὐτὸν μὲν πικρῷ καὶ ἐπομβρίῳ θανάτῳ τὸν βίον ὑπεξῆλθεν ἐν τῇ χώρᾳ τῶν Περσῶν· ὁ δὲ Ἅγιος Θεόδωρος ἐν Κυρίῳ ἀγάλλεται ἀναπαυσάμενος.

Ταῖς αὐτῶν ἁγίαις πρεσβείαις, ὁ Θεός.

Ὠδὴ, ζ'. Οὐκ ἐλάτρευσαν.

Πυρακτούμενος τῷ ζήλῳ τῷ τῆς πίστεως, πῦρ ἀπετέφρωσας, τῆς ἀθεΐας σοφὲ, πιστὰς δὲ ἐφώτισας, φόβῳ κραυγάζοντας· ὑπερύμνητε, ὁ τῶν Πατέρων Κύριος, καὶ Θεὸς ἀλογητὸς εἶ.

Ἐκ τῆς Ῥώμης τὰς ἁλύσεις περικείμενος, ὥσπερ ὁρμίσκους χρυσοῦς, διὰ Θαλάσσης ἀθλῶν, Χερσῶνα κατέλαβες, ἐμβαθὰ διώδυσας, τὸ Μαρτύριον, καὶ τὰς φερούσας ἀγώνισας, τῇ Χριστῇ Ἱερομύστα.

Πύρα ὤφθης τὸ σωτήριον παμόλβιε, μέλος φωνήσασα ἡμῖν, καὶ καταθέλγουσα, καρδίας πρὸς αἴθεσιν, τῶν μελῳδούντων πιστῶς, Μάρτυς ἔρωτα· ὁ τῶν Πατέρων Κύριος, καὶ Θεὸς ἀλογητὸς εἶ.

Θεοτοκίον.

Ὃ τοῖς πᾶσι παρεχόμενος βουλήματι, τὸ εἶναι Παρθένε, ἐκ σοῦ ἀρχὴν λαβόμενον, λαμβάνει καὶ τίκτεται, λύων τὰ χρώμενα, παραπτώματα, τῆς συμπτωθείσης Ἀδὰμ τῷ βρωτῷ ῥαγῆς οὐσίας.

Ἄλος. Παῖδες θεοσεβεῖς.

Βίῳ θεοπρεπεῖ λελαμπρυσμένος, καὶ θείῳ φωτὶ καταλαμπόμενος, ὁραμίῳ αὐτῶν, ἐπέβης γαθόμενος, καὶ βοᾷς σοφὲ τῷ ποιήσαντι· ἀλογητὸς ὁ Θεὸς, ὁ τῶν Πατέρων ἡμῶν.

Τίμια περιφανῶς ἀναιρεθέντα, Χριστῷ τῷ Θεῷ θεομακάριστε, ταῖς χερσὶ τῶν ἀνόμων, σαυτὸν παραδέδωκας, ἐκουσίως ψάλλων παμόλβιε· ἀλογητὸς ὁ Θεὸς, ὁ τῶν Πατέρων ἡμῶν.

Ὅλος πεφωτισμένος ἠξιώθης, ἰδεῖν τὸν Χριστόν σοι προμινύοντα, τὸν αὐτοῦ τὸν χιτῶνα, δεσμῶν διαῤῥηξάμενα, ὑφαντὸν τὸν ἄνωθεν Ὅσιε· ἀλογητὸς εὐλογοῦμεν, ὁ τῶν Πατέρων Θεός.

Θεοτοκίον.

Μήτερ τὴν σὴν, ὑπέδυ Θεοτόκε, ὁ Οὐρανὸς οἰκῶν ἐ περιέχων, καὶ ἐκτρέφεται γάλα, μαζῶσα ὁ τρέφων μιῶ, πρὸ τῶ πάσαν μάμματι· ἀλογητὸς ὁ Θεὸς, ὁ τῷ Πατέρω ἡμῶν.

Ὠδὴ, ἡ. Λυτρωτὰ τῶ παντός.

Ὑφάντον ἐκ τῆς ἀῤῥωδον χάριτος, ἀπεκδύσει πηλίνω τῶ σώματος, περιεβάλω ἐνδοξε, ἀφθαρσίας χιτῶνα, ἐ εἰς τὰ ἄνω, κατοικεῖς Ἱεράρχα Βασίλεια.

Ἀναστάσεως Μάρτυς πολύαθλε, τὰ κλοιὰ οἷς δεσμέμενος ἔλυσας, τὴν πλανῶν τῶ ἀλάστορος, Ἱεράρχα κραυγάζων· πάντα τὰ ἔργα, ἀλογεῖτε ὑμνεῖτε τὸν Κύριον.

Ἐμερίδη ὑγρὰ ἡ ἀμέθεκτος, καὶ ὁδὸν εἰσιέσιν ἡ ἄβατος, θαυματουργία κρείττονι δωρουμένη ὡράθη, ἐνθα τὸ θεῖον, Ἱεράρχα σὸν σῶμα κατάκειται.

Συνθαφθεῖσαν ψυχὴν μὲ τοῖς πάθεσιν, ὁ συνθὼν κατοικῆσαι ἑλόμενος, μετὰ ταφὴν ἐ μέκρωσιν, ἐπανάγαγε Μάρτυς, ταῖς ζωηφόροις, ἐ σεπταῖς ἐ ἐνθέοις δεήσεσιν.

Θεοτοκίον.

Ἄφεικτε ἐ ἀῤῥήκτε θεάματος, ἐν γαστρὶ κατοικεῖ ὁ ἀχώρητος, καὶ σαρξ ἀπείρανδρος γίνεται, καὶ θεοῖ με δι' οἴκτον, ἐ τὴν Τεκοῦσαν, μετὰ τόκον φυλάττει ἀγράντευτον.

Ἄλλος. Τὸν ἐν ὄρει, ἁγίω.

Νεμομερῶν, ἀφέλκας τὴν λύμην, τῆς Ἀρείου κακίστης βλασφημίας, τῆς τῶ πίστω ἐνκόλπας ὁμηγύρεως, καὶ ἀποδιώξας, τῆς Ἐκκλησίας, Θεόφρον περιβόλων.

Πρωτοστάτης, χορεῦ τῶ Ἀποστόλων, Πέτρος ὤφθη, ὁ θεῖος Κορυφαῖος. ξύλος Μαρτύρων, γέγονας δὲ παγοσφε, Πέτρε θεοφόρε, ἐ ἱερουργός τε, τῶ θείω Μυστηρίων.

Ἐμνήθης, ἐκ Θεάρχου ἐπιπροίας, τῶ μελλόντων, τὴν γρῶσιν Θεορρήμων. ἐ τὴν ἐκ γῆς προέγνωσας μετάστασιν, διὰ μαρτυρίω, πρὸς τὸν ἐν ὑψίστοις, Θεὸν Πέτρε Θεόφρον.

Θεοτοκίον.

Μετὰ τόκον, Παρθενίας διαμένεις, ὡς πρὸ τόκου, Παρθενε Θεοτόκε, τὸν Πλάστουργὸν τῆς κτίσεως γεννήσασα. ὃν θεμσε ὑμνῦμεν, ἐ δοξολογῦμεν, εἰς πάντας τοὺς αἰῶνας. Ὁ Εἱρμός.

Ὄρον ἐν ὄρει, ἁγίω δοξασθέντα, καὶ ἐν βάτω, τόκον τὸν τῆς Ἀειπαρθένου, τῶ Μωϋσεῖ μυστήριον γνωρίσαντα, Κύριον ὑμνεῖτε, ἐ ὑπερυψῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ, ϛ'. Ἔδια μὲν τῶ τῆς παρακοῆς.

Ἔδυσε χοροὶ Πατριαρχῶν σωτόμιλον, ἐδέξατο Κλήμη ἐνδοξε, πόθω ἀγάλλονται ἀπαύστως. μεθ' ὧν σωναφραίνονται Μάρτυρες, Ἀπόστολοι Προφῆται ἐ Δίκαιοι, οἱ ἀπ' αἰῶνος ἀξιάγαστε.

Ἔρημον σε βότρυω τῆς ζωῆς προσήγαγε, γεωργία τῆ τοῦ Πνεύματος, Πέτρος ὡς κλῆμα τῆς ἀμπέλου, ὑπάρχων Ἰησοῦ τῶ Θεῶ ἡμῶν, ἐ οἶνον ἀσεβείας ἀπέστραξας, τῆς ἀθείας μέθω παύσοντα.

Ῥοφίας καὶ χάριτος πλησθεὶς ἀνέβλυσας, διδαγμάτων Πάτερ ἄβυσσον, ἐ ἰαμάτων θεῖα ῥεῖθρα. δι' ὧν τὰς ποταμὰς τῶ παθῶν ἡμῶν, ξηραίνεις ἐπομβρίαις τῶ Πνεύματος, Κλήμη Μαρτύρων ἐγκαλλώπισμα.

Θεοφεγγὴς καὶ ἱερὰ ἐ εὔσημος, ἐ ἁγία ἐ περίβλεπτος, ἐ ἀκλεὴς ἐ φωτοφόρος, ἐφέστηκεν ἡμῖν μνήμη ἐνδοξε, καρδίας καὶ ψυχὰς κατάφραίνουσα, τῶ χαρᾶς ἀῤῥήτου ἀφημερώσασα. Ὁ Εἱρμός.

Φέρεις ἐν ἀγκάλαις τὸν Θεὸν ὡς πύελος, Παρθενία θρόνος ἄληπτος, φύσιν βροτείαν ἐνθέωτα, καὶ ταύτην συμπλακεῖσα καθ' ἕνωσιν, ἀπόῤῥητον δι' οἶκτον ἀμέθεκτον. ὅθεμσε πάντες μεγαλυνόμεν.

Ἄλλος. Τὸν προδηλωθέντα.

Ὃν προορισθέντα ἁγίως ἱερατεύειν, ἐ ἱερωσύνης τέλος ἀκλεῶς ἐληφότα, καὶ Χριστῶ μιμησάμενον πάθος, Πέτρον τὸν θεσπέσιον ὑμνήσωμεν.

Ῥᾳ-

Ῥάβδῳ στηριχθέντα δυνάμεως τοῦ Κυρίου, καὶ ἱερουργήσαντα καὶ ἱερουργηθέντα, καὶ Χριστῷ προσαχθέντα θυσία, Πέτρον τὸν θεσπέσιον ὑμνήσωμεν.

Ὅλῃ συγκραθέντα τῇ αἴγλῃ τῇ τῆς Τριάδος, καὶ τῷ φανωτάτῳ ταύτης ἐνηδόμενον φέγγει, καὶ ἡμῖν σωτηρίαν αἰτοῦντα, Πέτρον Θεόληπτον ὑμνήσωμεν.

Νέμοις μοι ἀφθόνως ψυχῆς μου τὴν σωτηρίαν. ὡς γὰρ Ἱεράρχης ἔχεις ἐξουσίαν τοῦ λύειν, καὶ δεσμεῖν τῶν πταισμάτων ἀθύνας, ταῖς σαῖς ἱκεσίαις ἱερώτατε.

Θεοτοκίον.

Σὺ εἶ Θεοτόκε τὰ ὅπλα ἡμῶν καὶ τεῖχος. σὺ εἶ ἡ ἀντίληψις τῶν εἰς σὲ προστρεχόντων. σὲ καὶ νῦν εἰς πρεσβείαν κινοῦμεν, ἵνα λυτρωθῶμεν τῶν ἐχθρῶν ἡμῶν.

Ὁ Εἱρμός.

„ Τὸν προδηλωθέντα ἐν ὄρει τῷ Νομο-
„ θέτῃ, ἐν πυρὶ καὶ βάτῳ τόκον τὸν
„ τῆς Ἀειπαρθένου, εἰς ἡμῶν τῶν πιστῶν
„ σωτηρίαν, ὕμνοις ἀσιγήτοις μεγαλυνό-
„ μεν.

Ἔξαπος. τοῦ Ἁγίου Κλήμεντος.

Τοῖς Μαθηταῖς συνέλθωμεν.

Τῷ Κορυφαίῳ κήρυκι, ἠκολούθησας Πάτερ, καὶ τῆς σεπτῆς μακάριε, τοῦ Χριστοῦ Ἐκκλησίας, Ἀρχιερεὺς ὤφθης μέγας, Ὀρθοδόξους φαιδρυνῶν, τῇ αἴγλῃ τῶν δογμάτων σου, καὶ ἀπείρων θαυμάτων. ὅθεν τὴν σὴν, ἐκτελοῦμεν Πέτρε μνήμην παμμάκρ, αἰτούμενοι πρεσβείαις σου, ψυχικὴν σωτηρίαν. Καὶ τῆς Ἑορτῆς.

Ἐν Πνεύματι τῷ Ἱερῷ.

Ἡδάμαλις ἡ ἄμωμος, ἡ παράγαθος Κόρη, ἐν τῷ Ναῷ εἰσάγεται, σήμερον παραδόξως, καὶ ταύτης προπορεύονται, ἀσωμάτων Τάγματα, καὶ τῶν Ἀγγέλων οἱ δῆμοι, μετὰ πλήθους Παρθένων. ἣν ὁ θεῖος Ἱερεὺς, ἐνηγκαλίσατο χαίρων.

Εἰς τοὺς Αἴνους, ἱστώμεν ἀ. δ. καὶ ψάλλομεν ἀ. τῶν Ἁγίων. ἦχος, π. α.

Χαίροις ἀσκητικῶν.

Χαίροις τὸ φωταυγὲς καὶ τερπνὸν, τοῦ θείου Πνεύματος, σοφὲ καταγώγιον τὸ κλῆμα τὸ ταῖς ἀρδείαις, ταῖς μυστικαῖς γεγονὸς, εὐθαλὲς παμμάκαρ καὶ πολύφορον. ἐξ οὗ ἐναπέσταξε, διδαγμάτων σωτήριον, γλεῦκος ποτίζον, καὶ εὐφραῖνον ἑκάστοτε, τῶν τιμώντων σε, τὰς καρδίας παρόλβιε. Μάρτυς ἀκαταγώνιστε, οὐράνιε ἄνθρωπε, τῆς Ἐκκλησίας ὁ στύλος, τῶν εὐσεβῶν τὸ κραταίωμα, Χριστὸν καταπέμψαι, ταῖς ψυχαῖς ἡμῶν δυσώπει, τὸ μέγα ἔλεος.

Χαίροις ἡ τῶν δογμάτων πηγὴ, ὁ τῶν ἀρρήτων, ἑρμηνεὺς γραφικώτατος, ἡ γνῶσις τῶν ἀποκρύφων, τῆς Ἐκκλησίας στερρὸς, στύλος τε καὶ βάσις ἀπερίτρεπτος, καινὼν ἀκριβέστατος, μυστογράφος σοφώτατος, εὔστομος γλῶσσα, πᾶσαν αἵρεσιν τέμνουσα, ὥσπερ μάχαιρα, ὀξυτάτη καὶ δίστομος, ὄργανον τὸ ἡδύφθογγον, ὁ νοῦς ὁ οὐράνιος, Κλήμη Μαρτύρων τὸ κλέος, τῶν ἱεράθλων ἐδραίωμα, Χριστὸν καταπέμψαι, ταῖς ψυχαῖς ἡμῶν δυσώπει, τὸ μέγα ἔλεος.

Ἔχων τὸν εὐσεβῆ λογισμὸν, διαφερόντως, τῶν παθῶν αὐτοκράτορα, ὑπέστης ἀπερίτρεπτος, τὴν διὰ ξίφους πικρὰν, τελευτὴν παμμάκαρ, καὶ τὸν θάνατον. δι' οὗ τῆς ἐνθέου, μακαριότητος ἔτυχες, καὶ τῆς γλυκείας, τοῦ Σωτῆρος μεθέξεως, καὶ τερπνότητος, ἀπολαύειν ἠξίωσαι. Πέτρε μακαριώτατε, ἡ πέτρα τῆς πίστεως, κλέος τῶν θείων Μαρτύρων, Ἱεραρχῶν ἐγκαλλώπισμα, Χριστὸν καταπέμψαι, ταῖς ψυχαῖς ἡμῶν δυσώπει, τὸ μέγα ἔλεος.

Δευτερουντες τὸ α.

Δόξα, καὶ νῦν. ἦχος, δ'.

Σήμερον ὁ Θεοχώρητος Ναὸς, ἡ Θεοτόκος, ἐν Ναῷ Κυρίου προσάγεται, καὶ Ζαχαρίας ταύτην ὑποδέχεται. Σήμερον τὰ τῶν ἁγίων ἅγια ἀγάλλονται, καὶ ὁ χορὸς τῶν Ἀγγέλων, μυστικῶς παρηγυρίζει. Μεθ' ὧν καὶ ἡμεῖς ἑορτάζοντες σήμερον, σὺν τῷ Γαβριὴλ ἐκβοήσωμεν· Χαῖρε Κεχαριτωμένη, ὁ Κύριος μετὰ σοῦ, ὁ ἔχων τὸ μέγα ἔλεος.

Εἰς τὸν στίχον, στιχηρά. ἦχος, β'.

Οἱ

Οἶκος τοῦ Εὐφραθᾶ.

Φῶς σε τὸ τριλαμπὲς, αὐγάσαν Θεοτόκε, ἐν τῷ Ναῷ τῆς δόξης, οὐρανίων τροφήν σοι, ἐκπέμπει μεγαλύνομσε.

ᾱ. Ἀπεμεχθήσονται τῷ Βασιλεῖ.

Ῥίζεις μὲν ἐκ Δαβὶδ, ἐβλάστησας Παρθένε, ὁ Γαβριὴλ τὸ χαῖρε, κομίζων σοι ἐβόα· Θεὸν δὲ τέξῃ Πάναγνε.

ᾱ. Ἀπεμεχθήσονται ἐν εὐφροσύνῃ.

Εὖγε τῆς ἱερᾶς, καὶ θείας ξυνωρίδος, Ἰωακεὶμ καὶ Ἄννης. ὑφ' ὧν Ἁγνὴ τεχθεῖσα, προσήχθης νῦν τῷ Κτίστῃ σου.

Δόξα, καὶ νῦν. Ὁμοίον.

Πύλαι τῶν Οὐρανῶν, εἰσδέξασθε Παρθένον, Μαρίαν ἀπειράνδρως, Ἁγνὴν τὴν Θεοτόκον, ἐξ ἧς βροτῶν ἡ λύτρωσις.

Ἡ λοιπὴ Ἀκολουθία τοῦ Ὄρθρου, καὶ Ἀπόλυσις.

ΤΥΠΙΚΟΝ.

Περὶ τῆς ἀποδόσεως τῆς Ἑορτῆς τῆς Εἰσόδου τῆς Θεοτόκου, εἰ τύχῃ ἐν Κυριακῇ.

Κεφάλαιον, ϛ'.

Χρὴ εἰδέναι, Ὅτι ἐὰν τύχῃ ἡ ἀπόδοσις τῆς ἑορτῆς τῆς Εἰσόδου τῆς Θεοτόκου ἐν Κυριακῇ, Ἐν τῷ μικρῷ Ἑσπερινῷ ϛ. ἀναστάσιμα, καὶ τῆς Θεοτόκου, ὡς συνήθες. Ἐν τῷ μεγάλῳ Ἑσπερινῷ, τὴν συνήθη ϛλό. εἰς τὸ, Κύριε ἐκέκραξα, ϛ. ἀναστάσιμα, γ'. καὶ ἀνατολικὸν α'. Τῆς ἑορτῆς, προσόμοια, γ'. ἦχος, α', καὶ τοῦ Ἁγίου Κλήμεντος, προσόμοια, γ'. Δόξα, τῆς Ἑορτῆς, ἦχος, πλ. Μετὰ τὸ τεχθῆναί σε, Θεόνυμφε Δέσποινα. Καὶ νῦν, Θεοτοκίον, τοῦ ἤχου. Εἰς τὴν λιτὴν τὸ στιχηρὸν τοῦ Ἁγίου τῆς μονῆς, καὶ τῆς Ἑορτῆς ἰδιόμ. τῆς λιτῆς. Εἰς τὸν στίχ. τὸ ἀναστάσιμον στιχηρὸν τοῦ ϛ. καὶ τὰ κτ. ἀλφάβητον. Δόξα, καὶ νῦν, τῆς Ἑορτῆς, ἦχος, πλ. β'. Σήμερον τὰ στίφη τῶν πιστῶν συνελθόντα. Εἰς τὴν εὐλόγησιν τῶν ἄρτων, Θεοτόκε Παρθένε, ἐκ τρίτου. Ἀνάγνωσις εἰς τὰς Ἐπιστολάς. Αἱ δὲ ἕτεραι ἀναγνώσεις, ἐκ τοῦ Ἁγίου Κλήμεντος, καὶ τοῦ Ἁγίου Πέτρου. Εἰς τὸ, Θεὸς Κύριος, Τροπάρ. ἀναστάσιμον, δίς. Δόξα, τοῦ Ἁγίου Κλήμεντος, ἦχος, δ'. Καὶ τρόπων μέτοχος, καὶ θρόνων διάδοχος. Καὶ νῦν, τῆς Ἑορτῆς. Εἶτα Καθίσμ. τῆς στιχολ. ἀναστάσιμα μετὰ τῶν θεοτοκίων αὐτῶν. Ὁ ἄμωμος, ἡ Ὑπακοή. Οἱ ἀναβαθμοὶ τοῦ ἤχου. Προκείμενον, Πᾶσα πνοὴ, Εὐαγγέλιον ἀναστάσιμον. Οἱ Κανόνες, ὁ Ἀναστάσιμος, εἰς δ'. τῆς Θεοτόκου, εἰς β'. τῆς Ἑορτῆς, ὁ δ'. εἰς δ'. καὶ τοῦ Ἁγίου, εἰς δ'. Καταβασία. Χριστὸς γεννᾶται δοξάσατε. Ἀπὸ γ'. ᾠδῆς, Κοντάκιον τοῦ Ἁγίου, εἰ ἔχει. Εἶτα Κάθισμ. τοῦ Ἁγίου. Δόξα, καὶ νῦν, τῆς Ἑορτῆς. Ἀφ' ἕκτης τὸ Κοντάκιον, καὶ τὸν οἶκον τῆς Ἑορτῆς. Ἐν τῇ θ'. στιχολ. ἡ Τιμιωτέρα. Ἐξαπ. Ἀναστάσιμον. τοῦ Ἁγίου εἰ ἔχει, καὶ τῆς Ἑορτῆς. Εἰς τοὺς αἴνους ϛ. ἀναστάσιμα δ'. καὶ τῆς Ἑορτῆς ϛ. προσόμοια, ἦχος, α'. Τῶν οὐρανίων ταγμάτων. καὶ ἕτερον ἰδιόμ. ἦχος, β'. Σήμερον τῷ Ναῷ προσάγεται, ἡ παράμωμος Παρθένος, μετὰ τῶν στιχηρὰ τῆς Ἑορτῆς. Δόξα, τὸ Ἑωθινόν. Καὶ νῦν. Ὑπερευλογημένη ὑπάρχεις, Θεοτόκε Παρθένε. Εἰς τὴν Λειτουργίαν, οἱ μακαρισμοὶ τοῦ ἤχου, εἰς ϛ'. καὶ τῆς Ἑορτῆς, ἡ γ'. ᾠδὴ, τοῦ δ'. Τροπαρ. τὸ ἀναστάσιμον, καὶ τῆς Ἑορτῆς. Δόξα, καὶ νῦν, τῆς Ἑορτῆς. Ἡ δὲ τοῦ Ἁγίου Πέτρου Ἀκολουθία ψάλλεται, ὅτε θέλει ὁ Ἐκκλησιάρχης.

Τῷ αὐτῷ Μηνὶ, ΚΕ'.

Μνήμην ἐπιτελοῦμεν τῆς Ἁγίας Μεγαλομάρτυρος τοῦ Χριστοῦ καὶ πανσόφου Αἰκατερίνης, καὶ τοῦ Ἁγίου Μεγαλομάρτυρος Μερκουρίου.

Ἐν ταύτῃ τῇ ἡμέρᾳ, ἀποδίδοται καὶ ἡ Ἑορτὴ τῶν Εἰσοδίων, καὶ ψάλλομεν τὸ, Μακάριος ἀνήρ. καὶ εἰ μὲν βούληται ὁ Προεστὼς, ψάλλεται καὶ ὁ Ἅγιος μετὰ

τῆς

τῆς Ἁγίας, εἰδ' οὗ, ψάλλεται εἰς τὰ Ἀπόδειπνα.

Ἑσπέρας εἰς τὸ Κύριε ἐκέκραξα, ἱστῶμεν ἅ. ἡ. καὶ ψάλλομεν ἅ. τῆς Ἑορτῆς, καὶ τῆς Ἁγίας ἀνὰ δ'. τῆς Ἑορτῆς. ἦχος, α'.

Ὦ τοῦ παραδόξου θαύματος.

Ἡμέρον πιστοὶ χορεύσωμεν, ἐν ψαλμοῖς καὶ ὕμνοις, τῷ Κυρίῳ ᾄδοντες, τιμῶντες καὶ τὴν αὐτοῦ, ἡγιασμένην σκηνὴν, τὴν ἔμψυχον Κιβωτὸν, τὴν τὸν ἀχώρητον Λόγον χωρήσασαν. προσφέρεται τῷ Θεῷ, ὑπερφυῶς τῇ σαρκὶ νηπιάζουσα. καὶ Ἀρχιερεὺς ὁ μέγας, Ζαχαρίας δέχεται, εὐφραινόμενος ταύτην, ὡς Θεοῦ κατοικητήριον.

Ἡμέρον Ναὸς ὁ ἔμψυχος, τῆς ἁγίας δόξης, Χριστοῦ τοῦ Θεοῦ ἡμῶν, ἡ μόνη ἐν γυναιξὶν, εὐλογημένη ἁγνὴ, προσφέρεται τῷ Ναῷ, τῷ νομικῷ κατοικεῖν εἰς τὰ ἅγια, καὶ χαίρουσι σὺν αὐτῇ, Ἰωακεὶμ καὶ ἡ Ἄννα τῷ πνεύματι. καὶ παρθενικαὶ χορεῖαι, τῷ Κυρίῳ ᾄδουσι, ψαλμικῶς μελῳδοῦσαι, καὶ τιμῶσαι τὴν Μητέρα αὐτοῦ.

Εὐ τῶν Προφητῶν τὸ κήρυγμα, Ἀποστόλων δόξα, καὶ Μαρτύρων καύχημα, καὶ πάντων τῶν γηγενῶν ἡ ἀνακαίνισις, Παρθένε Μήτηρ Θεοῦ. διὰ γὰρ σοῦ τῷ Θεῷ κατηλλάγημεν. διὸ τιμῶμεν τὴν σὴν, ἐν τῷ Ναῷ τοῦ Κυρίου προέλευσιν. καὶ σὺν τῷ Ἀγγέλῳ πάντες, ψαλμικῶς τὸ Χαῖρέ σοι, τῇ πανσέμνῳ βοῶμεν, τῇ πρεσβείᾳ σου σωζόμενοι.

Ἕτερα ἅ. τῆς Ἁγίας. ἦχος, ὁ αὐτός.

Τῶν οὐρανίων ταγμάτων.

Ἡμέρον τέρπεται Πόλις ἡ Ἀλεξάνδρεια, τὰ σπάργανά σου Μάρτυς, ἐν τῷ θείῳ Ναῷ σου, κατέχουσα προφρόνως, διὸ καὶ ἡμεῖς, εὐσεβῶς ἑορτάζομεν, Αἰκατερίνα τὴν μνήμην σου τὴν σεπτήν. ὑπερεύχου τῶν τιμώντων σε.

Αἰκατερίνης τὴν μνήμην νῦν ἑορτάσωμεν. αὐτὴ γὰρ ὄντως πάσας, τοῦ ἐχθροῦ τὰς δυνάμεις, καὶ λόγῳ τε καὶ ἔργῳ, καθεῖλε στερρῶς, καὶ Ῥητόρων τὴν ἔνστασιν. ἀλλὰ δεήσεσι ταύτης ῥῦσαι ἡμᾶς, ὁ Θεὸς ἐκ τῶν αἱρέσεων.

Χαίροις πανεύδοξε Μάρτυς Αἰκατερίνα σεμνή. τὸ γὰρ Σίναιον ὄρος, ἐν ᾧ εἶδε τὴν Βάτον, Μωσῆς μὴ φλεγομένην, ἐν τούτῳ Χριστὸς, τὸ θεάρεστον σκηνώσου, νῦν μεταθείσσε φυλάττει ἕως καιροῦ, τῆς δευτέρας παρουσίας αὐτοῦ.

Δόξα, τῆς Ἁγίας. ἦχος, β'.

Χαρμονικῶς τῇ πανηγύρει, τῆς Θεοσόφου Μάρτυρος Αἰκατερίνης, συνδράμωμεν ὦ φιλομάρτυρες, καὶ ταύτην τοῖς ἐπαίνοις, ὡς ἄνθεσι καταστέψωμεν. χαίροις βοῶντες αὐτῇ, ἡ τῶν φλυνάφων Ῥητόρων, τὴν θρασυστομίαν ἐλέγξασα, ὡς ἀπαιδευσίας ἀνάπλεων, καὶ τούτους πρὸς Πίστιν θείαν χειραγωγήσασα. Χαίροις ἡ τὸ σῶμα πολυπλόκοις βασάνοις ἐκδοῦσα, δι' ἀγάπην τοῦ Ποιητοῦ σου, καὶ μὴ καταβληθεῖσα, ὡς ἄκμων ἀνάλωτος. Χαίροις, ἡ ταῖς ἄνω μοναῖς, ἀνταξία τῶν πόνων εἰσοικισθεῖσα, καὶ δόξης αἰωνίου κατατρυφήσασα. ἧς ἐφιέμενοι οἱ ὑμνῳδοί σου, τῆς ἐλπίδος μὴ ἐκπέσωμεν.

Καὶ νῦν. τῆς Ἑορτῆς. ἦχος, πλ.

Μετὰ τὸ τεχθῆναί σε, Θεόνυμφε Δέσποινα, παρεγένου ἐν Ναῷ Κυρίου, τοῦ ἀνατραφῆναι εἰς τὰ ἅγια τῶν ἁγίων, ὡς ἡγιασμένη. τότε καὶ Γαβριὴλ ἀπεστάλη, πρὸς σὲ τὴν πανάμωμον, τροφὴν κομίζων σοι. τὰ οὐράνια πάντα ἐξέστησαν, ὁρῶντα τὸ Πνεῦμα τὸ Ἅγιον ἐν σοὶ σκηνῶσαν. διὸ ἄσπιλε ἀμόλυντε, ἡ ἐν Οὐρανῷ καὶ ἐπὶ γῆς δοξαζομένη, Μήτηρ Θεοῦ, σῶζε τὸ γένος ἡμῶν.

Εἴσοδος, τὸ, Φῶς ἱλαρὸν, τὸ Προκείμενον τῆς ἡμέρας, καὶ τὰ Ἀναγνώσματα, εἰ βούληται ὁ Προεστώς.

Εἰς τὸν ἅ. ἅ. τῆς Ἑορτῆς, ἢ τὰ παρόντα τοῦ Ἁγίου Μερκουρίου, ἅ. ἦχος, δ'.

Ὡς γενναῖον ἐν Μάρτυσιν.

Συμμαχίᾳ τοῦ Πνεύματος, Ἀθλοφόρε Μερκούριε, κατηγωνισάμενος τὸν ἀντίπαλον, ὡς στρατιώτης ἀήττητος, τῷ ὅπλῳ τῆς πίστεως, μυριάδας νοητῶν, Αἰθιό-

θιόπων διέκοψας. ἢ τελέσας σου, τὸν ἀγῶνα νομίμως μετὰ πάντων, Ἀθλητῶν ἐστεφανώθης, Μεγαλομάρτυς πανόλβιε.

Οὐρανόθεν σοι Ἄγγελος, τὰς πληγάς σου ἰώμενος, ἀπεστάλη νεύματι θείου Πνεύματος. ὑφ' οὗ ῥωσθεὶς ἀξιάγαστε, ταῖς σοῦβλαις κεντούμενος πυρωθείσαις δολερῶς, ἐκαρτέρεις κρεμάμενος, ἢ τεινόμενος, καὶ δεσμούμενος λίθῳ βαρυτάτῳ, ἢ τοῖς αἵμασί σου Μάρτυς, περιῤῥεόμενος πάντοθεν.

Βασιλεῖ στρατευόμενος, ἐπιγείῳ Μερκούριε, ὑπ' αὐτοῦ τε Δαίμοσι προτρεπόμενος, θύειν θεόφρον μακάριε, βασάνους ὑπηνέγκας, ἢ κατάφλεξιν πυρὸς, ἢ τὸν βίαιον θάνατον, ἢ ἀνέδραμες, πρὸς Χριστὸν στεφηφόρος, ἢ συνήφθης, ταῖς ἀγέλαις τῶν Μαρτύρων, ὑπὲρ τοῦ Κόσμου δεόμενος.

Δόξα, ἦχος, β'.

Βίον αὔλον ἐξησκημένη, βῆμα ἄθεον καταλαβοῦσα, ἔστης τροπαιοφόρος Αἰκατερίνα σεμνὴ, ἀνθηφοροῦσα τοῦ Θεοῦ τὴν λαμπρότητα. ἢ τὸ θεῖον σθένος ἐνδεδυμένη, δόγμα Τυράννου κατεμυκτήρισας, ἢ Ῥητόρων ἔπαυσας, τὰς φλυνάφους ῥήσεις Πολύαθλε.

Καὶ νῦν. ἦχος, π. β'.

Σήμερον τὰ στίφη τῶν πιστῶν συνελθόντα, πνευματικῶς πανηγυρίσωμεν, ἢ τὴν Θεόπαιδα Παρθένον ἢ Θεοτόκον, ἐν Ναῷ Κυρίου προσαγομένην, εὐσεβῶς ἀνευφημήσωμεν, τὴν προεκλεχθεῖσαν ἐκ πασῶν τῶν γενεῶν, εἰς κατοικητήριον τοῦ Παντάνακτος Χριστοῦ, καὶ Θεοῦ τῶν ὅλων. Παρθένοι, λαμπαδηφοροῦσαι προπορεύεσθε, τῆς Ἀειπαρθένου τιμῶσαι, τὴν σεβάσμιον πρόοδον. Μητέρες, λύπην πᾶσαν ἀθέμεναι, χαρμονικῶς συνακολουθήσατε, τὴν Μητέρα τοῦ Θεοῦ γενομένην, καὶ τῆς χαρᾶς τοῦ Κόσμου τὴν πρόξενον. Ἅπαντες οὖν χαρμονικῶς, τὸ Χαῖρε σὺν τῷ Ἀγγέλῳ ἐκβοήσωμεν, τῇ Κεχαριτωμένῃ, τῇ ἀεὶ πρεσβευούσῃ, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Τὸ Ἀπολυτίκιον, τῆς Ἑορτῆς, ἢ τῆς Ἁγίας, ἦχος, δ'. Ἡ Ἀμνάς σου Ἰησοῦ. Εἰς τὸν Ὄρθρον. Ὁ Κανὼν τῆς Ἑορτῆς, ἢ τῶν Ἁγίων. Ὁ Κανὼν τῆς Ἁγίας.

Οὗ ἡ ἀκροστιχίς.

Αἰκατερίνην τὴν παναοίδιμον ᾄσμασι μέλπω.

Ὠδὴ, α'. ἦχος, π. δ'. Ἁρματηλάτην.

Αἰκατερίνης τῆς πανσόφου Μάρτυρος, ταῖς ἱκεσίαις Χριστὲ, τὸ ζοφερὸν ὄμμα, τῆς ψυχῆς μου φώτισον, αἴγλην διδούς μοι Δέσποτα, τῆς σῆς φωτοχυσίας, τῶν ψυχοφθόρων πταισμάτων μου, πᾶσαν τὴν ἀχλὺν ἀφανίζουσαν.

Ἐθυνομένη τοῦ Δεσπότου πάνσοφε, θείοις προστάγμασι, ἢ τῷ αὐτοῦ πόθῳ, φλεγομένη ἔδραμες, πρὸς τοὺς ἀγῶνας σπεύδουσα, καὶ τυράννων τὰς φρένας. Αἰκατερίνα κατέπτηξας, λόγῳ καὶ σοφίᾳ ἢ χάριτι.

Κυβερνωμένη τῇ παλάμῃ ἔνδοξε, τῇ κραταιᾷ τοῦ Χριστοῦ, εἰδωλικὴν ζάλην, Μάρτυς ὑπεξέφυγες, ἀβρόχους ὑπερπλέουσα, τοῦ Σταυροῦ τῷ ἱστίῳ, ἢ θείαις αὔραις τοῦ Πνεύματος, ᾄσμα τῷ Θεῷ ἀναμέλπουσα.

Ἀγαλλομένη Παρθενίας κάλλεσιν, Αἰκατερίνα σοφὴ, καὶ Θεϊκὴν γνῶσιν, οὐρανόθεν ἔχουσα, τῆς ψευδωνύμου γνώσεως, εὐθαρσῶς ἢ ἀνδρείως, τοὺς προεστῶτας κατήσχυνας, τούτους κατακράτος νικήσασα.

Θεοτοκίον.

Τὸ Θεοτόκον σε κηρύττειν ἄχραντε, πάσης αἱρέσεως, ἀποτροπὴν φέρει. σάρκα γὰρ γενομένον, ἀναλλοιώτως ἔτεκες, τὸν ἐπέκεινα πάσης, Θεοκυήτωρ τῆς κτίσεως, Λόγον τοῦ Θεοῦ τὸν ἀΐδιον.

Κανὼν τοῦ Ἁγίου Μερκουρίου.

Οὗ ἡ ἀκροστιχίς.

Μερκουρίουμε τὸ σθένος φυλαττέτω.

Ἰωσήφ.

Ὠδὴ, α'. ἦχος, πλ.

Ἡ κεκομμένη τὴν ἄτομον.

Μετὰ τῆς ἀνω χορείας Μερκούριε, τῶν ἀγαθῶν τῇ πηγῇ, χαίρων παριστάμενος, ἢ θείας ἡδονῆς, ἀοίδιμε πληρούμενος, τοὺς πόθῳ τὴν πανήγυριν τὴν σὴν,

τε-

τελῶντας περιφύλαττε, τῷ Κυρίῳ ᾄδοντας· ἐνδόξως γὰρ δεδόξασται.

Θελήσεως ὑπῆλθες τὸ στάδιον, τῆς μαρτυρίας σοφὲ, θλίψει κραταιούμενος, Χριστὸν τὸν δι' ἡμᾶς, τὰ πάθη τὰ σωτήρια, θελήσει ὑπομείναντος σαρκὶ, καὶ χαίρων ἐξεκραύγαζες· τῷ Κυρίῳ ᾄσωμεν· ἐνδόξως γὰρ δεδόξασται.

Ῥῆμα τυραννικὸν σαφῶς ἐξεφαύλισας, ὁμολογίαν Χριστοῦ, μᾶλλον στεμμωτόμενος, καὶ πᾶσαν ἀλγεινὴν, ἰδέαν ἀγαλλόμενος, ὑπέμεινας Μερκούριε βοῶν, τῷ σὲ ἐνδυναμώσαντι· τῷ Κυρίῳ ᾄσωμεν· ἐνδόξως γὰρ δεδόξασται. Θεοτοκίον.

Κόρης ἐκ Παρθένου ὡράθη σαρκούμενος, ὁ δι' ἡμᾶς καθ' ἡμᾶς, ἄνθρωπος γενόμενος, καὶ Μάρτυρα πιστὸν, παθῶν οἰκείων δείκνυσι, Μερκούριον γενόμενον αὐτοῦ τὸν ἀθλητὴν, αὐτῷ σωτήρως ψάλλοντα· τῷ Κυρίῳ ᾄσωμεν· ἐνδόξως γὰρ δεδόξασται.

Ὠδὴ, γ'. Ὁ στερεώσας κατ' ἀρχάς.

Θελήσεως στρατιᾶς, ἐχώρησας πρὸς τὸ πάθος, τὸ ἑκούσιον Χριστοῦ μιμούμενος, καὶ νικήσασα λαμπρῶς, τὸ σκότος κοσμοκράτορας, στεφανηφόρος ὤφθης, Αἰκατερίνα Θεόληπτε.

Ῥωμαλαιότητι φρενῶν, διέλεγξας τοὺς τυράννους, ἀθεΐας ἐν βυθῷ κυλισθέντας, ῥητορεύσασα σαφῶς, Θεογνωσίας δόγματα, θείᾳ σοφίᾳ Μάρτυς, λαμπρυνομένη Παναύθημε.

Σοφείαν τοῖς ὠσὶ, τῆς Εὔας ὁ ψιθυρίσας, ὑπὸ Κόρης ἀπαλῆς μοῦ πατεῖται. τῷ γὰρ ὅπλῳ τοῦ Σταυροῦ, περιφραχθεῖσα ἠχοῦμεν, Αἰκατερίνα Μάρτυς, ἀμετρα τὸν καυχώμενον.

Θεοτοκίον.

Νεκρωμένον μου τὸν νοῦν, τῇ τῆς ζωῆς ἐνεργείᾳ, τῆς ἐκ σοῦ φανερωθείσης τῷ Κόσμῳ, διαφάσησον ὑλας, καὶ τύπους ἐξαλείφουσα, τῆς ἁμαρτίας μόνη, Θεογενήτορ' Παναμωμε.

Ἅλλος. Σὺ εἶ τὸ στερέωμα.

Ὅλος πυρακτούμενος, τῇ θείᾳ ζωργῇ ἐνδόξε, πῦρ καὶ δεσμὰ, ξίφη τε βασάνους, ὡσπερ ὄναρ λελόγισαι.

Ὑμνεῖς τὸν ποιήσαντα, προσομιλῶν δεήσεσι μάρτυρι, Μάρτυς σοφὲ, τὴν θεραπείαν, τῶν μωλώπων δεχόμενος.

Ῥάβδῳ δυναμούμενος, τῇ θείᾳ ἐχθρὸν φρύαγμα, ὡς Ἀθλητὴς, Μάρτυς γεννναιόφρων, ἀθλήσεως ἐπεπείρωσας.

Θεοτοκίον.

Γνῶμα προτυπώσασα, τὸν ὑπὲρ νοῦν Ἀγγέλων κύησιν, βάτος πυρὶ, ὤφθη καιομένη, ἀδαμάντως φλεγομένη δέ.

Κάθισμα τῆς Ἁγίας. ἦχος, πλ.

Τὴν σοφίαν τοῦ Λόγου.

Τὴν σοφίαν τὴν ὄντως ἐξ Οὐρανοῦ, διὰ στόματος Μάρτυς τοῦ Μιχαὴλ, λαβοῦσα παρέθημε, καὶ οὐ ἄθλοις ἀήττητε, τῇ μὲν σοφίᾳ τῇ ἔξω, τοὺς Ῥήτορας ἔπτηξας, τῇ δὲ σοφίᾳ τῇ θείᾳ, τὸν πλάνον ἐμείωσας. ὅθεν καθορῶσα, τὸν ἀγῶνα ἡ Κτίσις, παρέσχε συμπαθοῦσα, Δεῦρο λέγων σὲ ἄνθρωποι· οἱ θησαυροὶ γάρ σε μένουσι. πρέσβευε Χριστῷ τῷ Θεῷ, τὸ πταισμάτων ἄφεσιν δωρήσασθαι.

Ἕτερον τῆς Ἁγίας. ἦχ. δ'.

Ταχὺ προκατάλαβε.

Ὁ Μάρτυς Μερκούριος, ἀγωνισάμενος, τὸν δρόμον ἤνυσε, καὶ στεφανίτης στερρὸς, Χριστοῦ ἐλλαμπρύνθη. ὅθεν ταῖς οὐρανίαις, μονῇ σωνήφθη χορείαις, δόξης ἀδιαδόχου, ἐπαξίως μετέσχε. διὸ τὴν ἱερὰν αὐτοῦ, μνήμην τελοῦμεν πιστῶς.

Τῆς Ἑορτῆς. ἦχος, ὁ αὐτός.

Κατεπλάγη Ἰωσήφ.

Ἡγιάσθητε ἅπαντες, καὶ ἀκηλίδωτος παρθένος, ἐν τῷ οἴκῳ τοῦ Θεοῦ, ἡ Θεοτόκος Μαριὰμ, μετ' εὐφροσύνης εἰσάγεται παραδόξως· ἣν Ἄγγελοι Θεοῦ, δορυφοροῦσι πιστῶς, καὶ πάντες οἱ πιστοὶ, μακαρίζουσιν ἀεὶ, καὶ ἀκαταπαύστως μεγάλῃ φωνῇ. ἡμῶν ἡ δόξα, καὶ σωτηρία, σὺ ὑπάρχεις Παναγνοῦτε.

Ὠδὴ, δ'. Σύμπας Χριστὲ Κύριος.

Τὸν Ἀθλητικὸν, Αἰκατερίνα τὸν ἀγῶνα, ἐπεδείξω, Μάρτυς παναοίδιμε,

τῷ

τῷ δυσμενεῖ, λίαν καρτερῶς, ἀντικατα-
στᾶσα, καὶ τοῦτον καταπατήσασα, ποσὶν ὡ-
ραϊσμένοις, τοῦ Σταυροῦ τῇ δυνάμει, Ἀθ-
ληφόρε Μαρτύρων τὸ καύχημα.

Νύμφη Χριστοῦ, Αἰκατερίνα πανόλ-
βιε, καθωράθης, θείας ὡραιότητος,
φωτοειδέσι μαρμαρυγαῖς, ἀγλαϊζομένη, καὶ
κάλλει περιαστράπτουσα. διὸ καὶ γηθομένη,
μελῳδεῖς τῷ Δεσπότῃ, τῇ δυνάμει σου δό-
ξα φιλάνθρωπε.

Πυραννικὴν, ἀλαζονείαν ἐφαύλισας, καὶ
τῷ θείῳ, λόγῳ τῆς σοφίας σου, ὡς ἐκ
βυθοῦ, τῆς ἀπατηλῆς, δεισιδαιμονίας, τοὺς
πλανωμένους ἐξήρπασας, διδάσκουσα κραυ-
γάζειν, τῷ Χριστῷ μελῳδοῦντας· τῇ δυνά-
μει σου δόξα φιλάνθρωπε.

Ἡ ἀκλεὴς, καὶ φωτοφόρος πανήγυρις,
τῆς ἐνδόξου, μνήμης σου πανεύφημε,
τῆς καρτερῶς, θράσος τοῦ ἐχθροῦ, κατα-
πατησάσης, ὡς Ἥλιος ἀνατέταλκεν. ἐν
ᾗ μεγαλοφώνως, τῷ Δεσπότῃ βοῶμεν·
τῇ δυνάμει σου δόξα φιλάνθρωπε. Θρ.

Νῦν τὴν ἰσχὺν, τῶν ἀθετούντων κα-
τάβαλε, τῆς Εἰκόνος, Κόρη τὴν
προσκύνησιν, σοῦ τῆς σεπτῆς, καὶ τοῦ ὑπὲρ
νοῦν, ἐκ σοῦ σαρκωθέντος, καὶ Κόσμον ὅ-
λον φωτίσαντος, καὶ πάντων τῶν Ἁγίων.
τοὺς δὲ πίστει τιμῶντας, καταφαίδρυνον
μόνη Πανύμνητε.

Ἄλλος. Εἰσακήκοα Κύριε.

Οἰκειώθης τῷ Κτίστῃ σου, θείου μαρτυ-
ρίου θεόφρον πάθεσι, καὶ λαμπροὺς
στεφάνους ἔνδοξε, παρ' αὐτοῦ ἐδέξω ὡς ἀήτ-
τητος.

Ὑφαντὸν ἐκ τῆς ἄνωθεν, χάριτος ἱμά-
τιον νῦν ἐνδέδυσαι, τῆς φθορᾶς καὶ
τῆς νεκρώσεως, τοὺς χιτῶνας Μάρτυς ἐκ-
δυσάμενος.

Μέχρις αἵματος ἔνδοξε, πρὸς τὴν ἁ-
μαρτίαν ἀγωνισάμενος, νικηφόρος
ἀναδέδειξαι, καὶ τῆς ἄνω δόξης κατηξίωσαι.

Θεοτοκίον.

Ἐπὶ σὲ ὁ σωτήριος, Λόγος καταβέβηκεν
Ἀειπάρθενε, ὥσπερ ὄμβρος καὶ ἐξήρα-
νε, τῆς πολυθείας τὰ ὀμβρήματα.

Ὠδὴ, ε'. Ἵνα τί με ἀπώσω.

Πόθῳ πυρπολουμένη, Μάρτυς πα-
ναοίδιμε τῷ τοῦ Δεσπότου σου, καὶ ζη-
τοῦσα τούτου, τὸ ἀμήχανον κάλλος θεάσα-
σθαι, αὐθαιρέτῳ γνώμῃ, τοῖς αἰκισμοῖς
σαυτὴν παρέσχες, παρθενίας ἐκλάμπου-
σα χάρισιν.

Ἄθλοις ἱερωτάτοις, Κόρη καλλιπάρ-
θενε καταλαμπρύνασα, σεαυτὴν προ-
φρόνως, ἀνελήλυθας πρὸς τὴν οὐράνιον,
τοῦ Χριστοῦ παστάδα, καὶ νῦν φαιδρῶς τῷ σῷ
Νυμφίῳ, γηθομένη συνήφθης πανόλβιε.

Νεανὶς φαιδροτάτη, ὤφθης ἀγαπήσα-
σα, μόνον ἐράσμιον, καὶ ὀπίσω τού-
του, συντονώτατον δρόμον διήνυσας. εἰς
ὀσμὴν τοῦ μύρου, τοῦ νοητοῦ τοῦ κενωθέντος,
ἀνεβόας δραμοῦμαι Νυμφίε μου.

Θεοτοκίον.

Ἀληθῆ Θεοτόκον, πάντες ἐπιγνόντες
σε, Πάναγνε Δέσποινα, τὸν ἐκ σοῦ
τεχθέντα, Θεὸν Λόγον εἰδότες κηρύττο-
μεν, ἐν δυσὶν οὐσίαις, θελητικαῖς αὐτεξου-
σίαις, γνωριζόμενον Κόρη Θεόνυμφε.

Ἄλλος. Ὀρθρίζοντες βοῶμέν σοι.

Πεινόμενος τῇ λόγχῃ Μερκούριε, ἀνεν-
δότως, τεμνόμενος ἔφερες, θείαις ἐλ-
πίσι νευρούμενος.

Ὁ πέτρᾳ νοητῇ στερεώσας σου, τὴν καρ-
δίαν, λίθῳ βαρυνόμενος, οὐ παρετρά-
πης Μερκούριε.

Συμμέτοχος παθῶν τοῦ Δεσπότου σου,
χρηματίσας, δόξης ἐκοινώνησας, τούτου
καὶ θείας λαμπρότητος. Θεοτοκίον.

Θανάτωσον Παρθένε τὴν ζῶσάν μου, ἁ-
μαρτίαν, ζωὴν ἡ κυήσασα, τὴν θανα-
τώσασαν θάνατον.

Ὠδὴ, ϛ'. Ἄβυσσος ἁμαρτιῶν.

Ὅλην σε περικαλλῆ, Παρθενίας ἀπα-
στράπτουσαν αἴγλῃ, μαρτυρικοῖς τε Κό-
ρη, φοινιχθεῖσαν ἐν αἵμασι, καθορῶν ὁ ἀ-
γαθὸς, Λόγος καὶ ἄχραντος, ἐν θαλά-
μοις, ἐπουρανίοις κατεσκήνωσεν.

Ἔσχυσας διὰ Σταυροῦ, τῶν Τυράννων κα-
ταλῦσαι τὸ κράτος, καὶ κοσμικῆς σο-
φίας, διελέγξαι τὸ μάταιον, Θεοπνεύστου

διδα-

διδαχῆς, βρύουσα δόγματα, μεγαλόφρον, Αἰκατερίνα Παναοίδιμε.

Δόλῳ πρώην τὸν Ἀδὰμ, Παραδείσου τῆς τρυφῆς ἐκβαλόντα, τῶν αἰκισμῶν τοὺς πόνους, καρτερῶς ὑπομείνασα, καταβέβληκας εἰς γῆν, Μάρτυς πανένδοξε, καὶ στεφάνοις, τῆς βασιλείας ἐστεφάνωσαι.

Θεοτοκίον.

Ἐλεώνμοι τὸν κριτὴν, τὸν Υἱόνσου Θεοτόκε Παρθένε, ταῖς σαῖς λιταῖς γενέσθαι, ἐν ἡμέρᾳ τῆς κρίσεως, λυτρωτήν τε τῶν δεινῶν, Μῆτερ ἀπέργασαι· σοὶ γὰρ μόνῃ, τὰ τῆς ἐλπίδος ἀνατίθημι.

Ἄλλος. Τὴν δέησιν, ἐκχεῶ πρὸς Κύριον.

Ἐνεύρουσε, ὁ σωτήριος Λόγος, δι' αὐτὸν πᾶσαν ἰδέαν βασάνων, Μάρτυς σοφὲ, ὑπομένοντα βλέπων, καὶ δι' Ἀγγέλου θαρρεῖν σοι προσέταττε, Μερκούριε καὶ μηδαμῶς, τῶν Τυράννων πτοεῖσθαι τὴν ἔνστασιν.

Νενέκρωται, ὁ πολύμορφος Ὄφις, καὶ ποσὶ καταπατεῖται ὡραίοις, τοῦ Ἀθλητοῦ, καὶ γενναίου ὁπλίνου. ἐθελουσίοις ὁρμαῖς γὰρ ἐχώρησε, πρὸς βάσανα πρὸς αἰκισμοὺς, καὶ πρὸς θάνατον δόξης ἀνάπλεων.

Ὁλόκληρον, τῷ Δεσπότῃ προσῆξας, τῆς καρδίας τὴν προαίρεσιν Μάκαρ, καὶ δι' αὐτὸν, ὑπομείνας στρεβλώσεις, ὡς νικητὴς παρ' αὐτοῦ ἐστεφάνωσαι. καὶ τούτῳ νῦν ἐν Οὐρανοῖς, μετὰ πάντων Μαρτύρων παρίστασαι.

Θεοτοκίον.

Συνέλαβες, τῇ φωνῇ τοῦ Ἀγγέλου, τὸν βουλῆς μεγάλης Ἄγγελον Κόρη, καὶ ἐκ τῶν σῶν, παναγίων αἱμάτων, σεσαρκωμένον πανάμωμε τέτοκας, τὸν δείξαντα πᾶσι ζωῆς, τὰς εἰσόδους δι' ἄφατον ἔλεος.

Κοντακ. τῆς Ἁγίας. ἦχ. γ'.

Ἡ Παρθένος σήμερον.

Ῥητορεύει σήμερον, Αἰκατερίνα ἡ Μάρτυς, καὶ Ῥητόρων ἔπαυσε, φρενοβλαβεῖς ἀπιστίας. Ἄγγελος γὰρ οὐρανόθεν αὐτῇ ἐπέστη, δύναμιν ἐκ τῶν ὑψίστων ἐπικομίζων. ἣν καὶ λαβοῦσα, πιστῶς ἐβόα· Χριστὸς ὑπάρχει, Μαρτύρων καύχημα.

Ἕτερον Κοντακ. τῆς Ἁγίας. ἦχ. β.

Τὰ ἄνω ζητῶν.

Χορείαν σεπτὴν, ἐνθέως φιλομάρτυρες, ἐγείρατε νῦν, γεραίροντες τὴν πάνσοφον, Αἰκατερίναν· αὕτη γὰρ ἐν σταδίῳ τὸν Χριστὸν ἐκήρυξε, καὶ τὸν ὄφιν ἐπάτησε, Ῥητόρων τὴν γνῶσιν καταπτύσασα.

Ὁ Οἶκος.

Τὴν ἐκ Θεοῦ σοφίαν λαβοῦσα ἐκ παιδόθεν ἡ Μάρτυς, καὶ τὴν ἔξω καλῶς σοφίαν πᾶσαν μεμάθηκε, γνοῦσα ἐκ ταύτης, τὴν τῶν στοιχείων κίνησίν τε καὶ ποίησιν κατὰ λόγον, καὶ τὸν αὐτὰ ἐξ ἀρχῆς διὰ Λόγου ποιήσαντα, αὐτῷ τὴν εὐχαριστίαν ἐν νυκτὶ καὶ ἡμέρᾳ προσέφερε, τὰ εἴδωλα καθελοῦσα, καὶ τοὺς ταῦτα ἀφρόνως λατρεύοντας, Ῥητόρων τὴν γνῶσιν καταπτύσασα.

Ἕτερον Κοντακιον τοῦ Ἁγίου, ἦχ. γ'.

Ἡ Παρθένος σήμερον.

Μερκουρίου σήμερον, τὴν ἱεραὶ παντευχίαν, οἱ πιστοὶ ἐν ᾄσμασιν, ἐπιτελοῦμεν συμφώνως. Ἄγγελοι μετ' εὐωχίας συνευδοκοῦσι. Μάρτυρες μετ' εὐφροσύνης νῦν συγκροτοῦσι. Διὰ τοῦτο ἀνεδείχθη, Μαρτύρων κλέος, ὁμοῦ καὶ καύχημα.

Ὁ Οἶκος.

Ὁ στερρὸς Ἀθλητὴς, καὶ Μαθητὴς Μερκούριος, στρατιώτης τὸ πρὶν ὑπάρχων πρὸς παράταξιν, ἐξῆλθε τῆς πλάνης καὶ τῆς ἀθείας, τὴν τῶν Ἑλλήνων στηλιτεύων θρησκείαν ψευδώνυμον, καὶ μεγαλύνων πίστιν ἀκράδαντον καὶ ἀληθινὴν τοῦ Βασιλέως Χριστοῦ, ἠμφιεσμένος ὥσπερ ὁπλίτης αὐτοῦ τὸν τίμιον Σταυρὸν, καὶ ἐγκαυχώμενος φαιδρῶς, τοῖς παθήμασι τοῖς θείοις. Ὅθεν σε πάντες ὁμοφρόνως εὐφημοῦμεν, Μαρτύρων κλέος, ὁμοῦ καὶ καύχημα,

Τῷ αὐτῷ Μηνὶ, ΚΕ. Μνήμη τῆς Ἁγίας Μεγαλομάρτυρος Αἰκατερίνης.

Στίχ. Αἰκατερίνα καὶ Σοφὴ, καὶ Παρθένος.

Ἐκ δὲ ξίφους, καὶ Μάρτυς. ὦ καλὰ τρία.

Πέμπτῃ ἄορ κατέπεφνεν εἰκάδι ῥήτορα Κόρην.

Αὕτη ἦν ἐκ Πόλεως Ἀλεξανδρείας, θυγάτηρ Βασιλίσκου τινὸς, τὔνομα Κώνστου, πάνυ οὖσα ὡραία, καὶ τῷ κάλλει ἀμίμητος, ὑπερμεγέθης τῇ ἡλικίᾳ, καὶ τῷ σώματι ἀστεία. Ἦν δὲ ἐτῶν ὀκτωκαίδεκα. Ἥτις πᾶσαν παιδείαν Ἑλληνικὴν καὶ Ῥωμαϊκὴν, ἄκρως ἐγγυμνασθεῖσα, Ὁμήρου τε καὶ Βιργιλίου, τοῦ Ῥωμαίων μεγίστου Ποιητοῦ· Ἀσκληπιοῦ τε καὶ Ἱπποκράτους καὶ Γαλήνου τῶν Ἰατρῶν· Ἀριστοτέλους τε καὶ Πλάτωνος, Φιλιστίωνός τε καὶ Εὐσεβίου τῶν Φιλοσόφων· Ἰαννῆ καὶ Ἰαμβρῆ τῶν μεγάλων Μάγων· Διονύσου καὶ Συβίλλης, καὶ ὅση Ῥητορικὴ ἐφευρέθη τῷ Κόσμῳ. Οὐμὴν δὲ, ἀλλὰ καὶ πᾶσαν λέξιν γλωσσῶν μεμαθηκυῖα, εἰς ἔκπληξιν ἔφερεν, οὐ μόνον τοὺς ὁρῶντας αὐτὴν, ἀλλάγε καὶ τοὺς ἀκούοντας περὶ τῆς φήμης καὶ σοφίας καὶ παιδείας αὐτῆς. Διὰ δὲ τὴν εἰς Χριστὸν ὁμολογίαν, ὑπὸ τοῦ βασιλέως Μαξεντίου, πολλῶν βασάνων πεῖραν λαβοῦσα, τὴν κεφαλὴν ἀποτέμνεται, καὶ τὸν τοῦ μαρτυρίου Στέφανον δέχεται, παρὰ τοῦ Ἀθλοθέτου Χριστοῦ τοῦ ἀληθινοῦ Θεοῦ ἡμῶν.

Τῇ αὐτῇ ἡμέρᾳ, Οἱ Ἅγιοι ἑκατὸν πεντήκοντα Ῥήτορες, οἱ διὰ τῆς Ἁγίας Αἰκατερίνης καταβληθέντες, καὶ πιστεύσαντες, πυρὶ τελειοῦνται.

ἡ. Αἱ πρὸς πλάνην Ῥήτορσιν ἀνδρᾶσι στάσεις,
Εἰς πῦρ θανοῦσι τῶν στεφάνων εὑρέσεις.

Τῇ αὐτῇ ἡμέρᾳ, Ἡ Ἁγία Βασίλισσα, ἡ γαμετὴ Μαξεντίου, ξίφει τελειοῦται.

ἡ. Τμηθεῖσα θνητοῦ σύζυγος βασιλέως,
Ἄφθαρτον εὗρε νυμφῶνα Βασιλέως.

Τῇ αὐτῇ ἡμέρᾳ, Ὁ Ἅγιος Πορφύριος, ὁ Στρατηλάτης, σὺν τοῖς διακοσίοις στρατιώταις, ξίφει τελειοῦται.

ἡ. Σὺν τῷ στρατῷ σου Πορφύριε πρὸς ξίφος,
Πρόθυμος ἥκεις, οἷά περ Στρατηλάτης.

Τῇ αὐτῇ ἡμέρᾳ, Ἄθλησις τοῦ Ἁγίου Μεγαλομάρτυρος Μερκουρίου.

ἡ. Εἰ καὶ πατάσσῃ Μερκούριε τῷ ξίφει,
Καὶ νεκρὸς ἐχθρὸν σὺ πατάσσεις Κυρίου.

Οὗτος ὑπῆρχεν ἐπὶ Δεκίου καὶ Οὐαλεριανοῦ τῶν βασιλέων, ἐκ γῆς Ἀνατολῶν, κατηλεγμένος τῇ στρατείᾳ τῶν Μαρτησίων, Γορδιανοῦ τινὸς τὸ γένος Σκύθου τυγχάνων Υἱός. Ἀριστεύσας δέ ποτε κατὰ τῶν Βαρβάρων, προσφθέντος αὐτῷ Ἀγγέλου, καὶ θάρσος ἐμβαλόντος, τὴν τοῦ Στρατηλάτου παρὰ τοῦ βασιλέως τάξιν λαμβάνει. Διὰ δὲ τὴν εἰς Χριστὸν ὁμολογίαν, παραστὰς Δεκίῳ, μαχαίραις τὸ σῶμα κατατέμνεται, καὶ ἐπὶ τέσσαρσι πάλοις δεθεὶς, καὶ ὑποκάτωθεν ἁπτομένου πυρὸς τοῖς ὀχετοῖς τῶν αἱμάτων σβεννυμένου, αἰκίζεται, καὶ κατὰ κεφαλῆς κρεμᾶται, λίθου βαρέος ἐξαρτηθέντος αὐτοῦ τοῦ τραχήλου. Καὶ μετὰ τοῦτο φραγγελοῦται τετραφραγγέλῳ χαλκῷ. καὶ ἐν Καισαρείᾳ τῆς Καππαδοκίας ἀχθεὶς, τὴν κεφαλὴν ἀποτέμνεται. Ἦν δὲ ὁ Μάρτυς, ὅτε τοὺς ἀγῶνας ὑπέστη, ἐτῶν εἰκοσιπέντε, εὐμεγέθης τὸ σῶμα, τὴν ὄψιν εὐπρεπὴς, τὴν κόμην ξανθὸς, συνεπιπρέποντος αὐτῷ τῇ ὄψει, τοῦ κατὰ τὰς παρειὰς ἐρυθήματος.

Τῇ αὐτῇ ἡμέρᾳ, Τοῦ Ὁσίου Πατρὸς ἡμῶν Πέτρου τοῦ Ἡσυχαστοῦ.

ἡ. Ἡσύχως βίου τὸ στάδιον ἀνύσας,
Πρὸς ἡσύχιον Πέτρε λιμένα φθάνεις.

Οὗτος ὁ ἐν Ἁγίοις Πατὴρ ἡμῶν Πέτρος ἐν τῷ Πόντῳ γεννηθεὶς παρ' εὐσεβῶν γονέων, ἑπταετίαν πληρώσας σὺν αὐτοῖς, τὸ λοιπὸν τῆς ζωῆς αὐτοῦ ἐν φιλοσοφίᾳ κατεδαπάνησεν. Ἐν Γαλατίᾳ μὲν γὰρ πρῶτον ἤθλησεν. εἶθ' οὕτως ἱστορίας ἕνεκα, τὴν Παλαιστίνην κατέλαβεν. ἐκεῖθέν τε παντάχου προσερχόμενος, κατήχθη εἰς Ἀντιόχειαν. Καὶ κελλίῳ τινὶ καθείρξας ἑαυτὸν, προσεῖχεν ἑαυτῷ, τῷ Θεῷ ἀεὶ διαλεγόμενος, μηδὲν ἄλλο ἐσθίων, πλὴν ἄρτου σταθμοῦ τινος ὀλίγου δι' ἡμερῶν δύω, καὶ ὀλιγοστοῦ ὕδατος. Οὗτος κατὰ δαιμόνων ἔλαβεν ἐξουσίαν. καὶ γὰρ τινὰ τὔνομα Δανιὴλ, τοῦ Δαίμονος ἐλευθερώσας, τοῦτόν τε κατηχήσας, ὁμόζηλον καὶ συνασκητὴν πεποίηκε. Καὶ ὀφθαλμοὺς πεπηρωμένους ὑγείωσε, καὶ νοσήματα

διά-

διάφορα ἐθεράπευσε. καὶ πολλὰ τὰ τούτου κατορθώματα, τὰ μὲν, ὡς γραφέντα, τὰ δὲ, καὶ ἐξ ἀκοῆς ᾀδόμενα. Οὗτος μέγας καὶ ὑψηλὸς γενόμενος, ἐν τῇ Ἀντιοχέων Πόλει, καὶ τῇ ταύτης περιχώρῳ, καὶ ἐννενήκοντα ἐννέα χρόνους διαρκέσας ἐν τῷ θνητῷ σαρκίῳ τούτῳ, πρὸς Κύριον ἐξεδήμησεν.

Τῇ αὐτῇ ἡμέρᾳ, Οἱ Ἅγιοι Ἑξακόσιοι ἑβδομήκοντα Μάρτυρες, ξέφει τελειοῦνται.

ἡ. Τέμνουσιν ἀνδρῶν εἰκάδας τριπλῶν δέκα.

Μεθ' ὧν περ ἄλλους ἄνδρας ἑπτάκις δέκα.

Ταῖς αὐτῶν ἁγίαις πρεσβείαις, ὁ Θεός.

Ὠδὴ, ζ. Θεοῦ συγκατάβασιν.

Μαρτύρων τὸ καύχημα, τῆς εὐσεβείας μύστης γεγένησαι, τῷ λαμπρῷ σου Νυμφίῳ Μαρτύρων δῆμον, προσαγαγοῦσα Χριστῷ. μεθ' οὗ κραυγάζεις πανεύφημε ψάλλουσα· εὐλογητὸς ὁ Θεὸς, ὁ τῶν Πατέρων ἡμῶν.

Ὁ λόγος σου πάνσοφε, πρὸς σωτηρίαν πολλοὺς ἐξήρπασεν, ἐξ εἰδωλομανίας, καὶ φωτοφόρους ἔδειξε Μάρτυρας, μεγαλοφώνως σὺν σοὶ ἀνακράζοντας· εὐλογητὸς ὁ Θεὸς, ὁ τῶν Πατέρων ἡμῶν.

Νεανίς ὀπίσω σου, ἀκολουθοῦσα σοὶ προσενήνεκται, διὰ ξίφους τμηθεῖσα, σὸν μιμουμένη πάθος τὸ ἄχραντον, καὶ σοὶ τῷ Κτίστῃ βοῶσα καὶ λέγουσα· εὐλογητὸς ὁ Θεὸς, ὁ τῶν Πατέρων ἡμῶν.

Θεοτοκίον.

Ἁγίων ὁ Ἅγιος, ἐν σοὶ ἁγίως κατασκηνώσας ἁγνὴ, Θεοτόκε Παρθένε, σεσαρκωμένος ἐκ σοῦ γεγέννηται, διὰ τὸ σῶσαι τοὺς πίστει κραυγάζοντας· εὐλογητὸς ὁ Θεὸς, ὁ τῶν Πατέρων ἡμῶν.

Ἄλλος. Παῖδες Ἑβραίων ἐν καμίνῳ.

Φέγγει τῆς ἄνω φρυκτωρίας, αὐγαζόμενος γενναῖε Στρατιῶτα, τοὺς ὑμνοῦντάς σε νῦν, φωτίζεις μελῳδοῦντας· εὐλογητὸς εἶ Κύριε, ὁ Θεὸς εἰς τοὺς αἰῶνας.

Ὑμνεῖς τὸν πάντων εὐεργέτην, πυρακτούμενος τῷ ζήλῳ τούτου μάκαρ, καὶ πυρὶ αἰσθητῷ, φλεγόμενος καὶ μέλπων· εὐλογητὸς εἶ Κύριε, ὁ Θεὸς εἰς τοὺς αἰῶνας.

Λίθοις προσάγοντες τὸ σέβας, οἱ τὴν αἴσθησιν λιθώδη κεκτημένοι, λίθῳ Μάρτυς τὸν σὸν, βαρύνουσιν αὐχένα, κραυγάζοντα Μερκούριε· ὁ Θεὸς εὐλογητὸς εἶ.

Τίμασιν αἷμα συγκεράσας, σοῦ τὸ τίμιον Δεσπότου φιλανθρώπου, κοινωνὸς τῶν αὐτοῦ, ἐδείχθης παθημάτων, ἀναβοῶν Μερκούριε· ὁ Θεὸς εὐλογητὸς εἶ. θ'.

Φάξεις Ἀγγέλων καταπλήττει, μυστηρίου σου τὸ βάθος Θεοτόκε. ὁ Θεὸς γὰρ ἐκ σοῦ, σαρκούμενος ὡράθη. ᾧ μελῳδοῦμεν Πάναγνε· ὁ Θεὸς εὐλογητὸς εἶ.

Ὠδὴ, η. Ἑπταπλασίως κάμινον.

Ταῖς διδαχαῖς Βασίλισσα, πειθαρχοῦσα προσέδραμε, τῇ Θεοσεβείᾳ, καὶ στερρῶς ὑπέμεινε, τῶν πόνων καὶ αἴσθησιν, καὶ Βασιλείας τῶν Οὐρανῶν, τῆς ἀδιαδόχου, προφανῶς ἠξιώθη, βοῶσα τῷ Δεσπότῃ, Ἱερεῖς εὐλογεῖτε, λαὸς ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Μετὰ Μαρτύρων γένοιτο, τῶν πιστῶν τὰ αἰτήματα. ἡ γὰρ Ἀθληφόρος, τῷ Χριστῷ παρίσταται, αἰτοῦσα τὰ κρείττονα, καὶ σωτηρίας πρόξενα, τοῖς τὴν παναγίαν, καὶ σεπτὴν αὐτοῦς μνήμην, προθύμως ἐκτελοῦσι, καὶ πιστῶς μελῳδοῦσι· λαὸς ὑπερυψοῦτε, Χριστὸν εἰς τοὺς αἰῶνας.

Ἀναπετάσας δέχεται, ὁ Νυμφίος σε πάνσοφε, πύλας Παραδείσου, καὶ παστάδα πάνσεμνον, οἰκεῖν παρεσκεύασε, καὶ βασιλείας μέτοχον, ὡς συγκοινωνὸν, τῶν παθημάτων δεικνύει. ᾧ νῦν παρισταμένη, Βασιλέων θυγάτηρ, λαμπρῶς πεποικιλμένη, ἡμῶν μὴ ἐπιλάθῃ.

Σεσοφισμένοις ῥήμασιν, ἐπειρᾶτο ὁ Τύραννος, πιθανολογίαις, ὁ δεινὸς χρησάμενος, ἐκλύειν τὴν ἔνστασιν, τὴν σὴν ἐλπίσας ἔνδοξε. ἀλλὰ νυμφευθῆναι, τῷ Χριστῷ βουλομένη, ἐβόας τῷ Δεσπότῃ· Ἱερεῖς εὐλογεῖτε, λαὸς ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Θεοτοκίον.

Ἱερωτέρα πέφηνας, Θεοτόκε πανάμω-

με, τῆς ὑπερκοσμίου, τῶν Ἀγγέλων τάξεως. τὸν τοῦτον γὰρ τέτοκας, δημιουργὸν καὶ Κύριον, ἐκ παρθενικῆς, ἀπειρογάμου νηδύος, ἐν δύω ταῖς οὐσίαις, ἀσυγχύτως, ἀτρέπτως, μιᾷ δὲ ὑποστάσει, Θεὸν σεσαρκωμένον.

Ἄλλος. Εἱρμὸς ὁ αὐτός.

Ὑπὲρ Ἀθλητῶν προσθήκην σε, καὶ χορὸς ὑπεδέξατο, καθωραϊσμένον, καὶ φαιδρὸν γενόμενον, σεπταῖς ὡραιότησι, τῶν ὑπερτίμων ἄθλων σου, καὶ τῆς εὐσεβοῦς σου, καὶ σεπτῆς Μαρτυρίας. καὶ νῦν βοᾷς ἀπαύστως· Ἱερεῖς εὐλογεῖτε, λαὸς ὑπερυψοῦτε, Χριστὸν εἰς τοὺς αἰῶνας.

Εὐσεβοφρόνως ἔνδοξε, τὸν ἀγῶνα διήνυσας, καὶ γενναιοφρόνως, τὸν ἐχθρὸν κατήσχυνας, καὶ νίκην οὐράνιον, ὡς νικητὴς ἀράμενος, ταῖς Ἀγγελικαῖς, νῦν συναγάλλῃ χορείαις. μεθ' ὧν βοᾷς ἀπαύστως· Ἱερεῖς εὐλογεῖτε, λαὸς ὑπερυψοῦτε, Χριστὸν εἰς τοὺς αἰῶνας.

Ἐλειωθεὶς πανόλβιε, διὰ ξίφους Μερκούριε, καὶ ἐπιτυχὼν τοῦ προκειμένου τέλους σοι, τὴν γῆν μὲν τοῖς αἵμασι, τοῖς ἐκχυθεῖσιν ἤρδευσας, τὸ δὲ νικηφόρον, καὶ μακάριον σῶμα, λευκότερον χιόνος, ἐναπέδειξας ψάλλων· λαὸς ὑπερυψοῦτε, Χριστὸν εἰς τοὺς αἰῶνας.

Θεοτοκίον.

Ὡς τῆς ἡμῶν ὑπάρχουσα, ἀναπλάσεως Ἄχραντε, ἅπαντες αἰτίαν, οἱ πιστοὶ ὑμνοῦμέν σε. Θεὸν γὰρ παναίτιον, ὑπὲρ αἰτίαν τέτοκας, τὸν τὴν συντριβεῖσαν, ἐν κακίᾳ εἰκόνα, οἰκείᾳ εὐσπλαγχνίᾳ, ἀναπλάσαντα μόνη, ὑπερευλογημένη, καὶ Κεχαριτωμένη.

Ὁ Εἱρμός. Ἑπταπλασίως κάμινον.

Ὠδὴ, θ'.

Ἐξέστη ἐπὶ τούτῳ ὁ Οὐρανός.

Μετέστης πρὸς θαλάμους φωτοειδεῖς, νυμφικοῖς κοσμουμένη στολίσμασι, παρθενικὴν, ἔχουσα λαμπάδα τῇ δεξιᾷ, τῇ δὲ ἑτέρᾳ φέρουσα, τὴν ἀποτμηθεῖσάν σου κεφαλήν. καὶ νῦν παριστάμενη, Χριστῷ τῷ σῷ Νυμφίῳ, τοὺς σὲ ὑμνοῦντας περιφρούρησον.

Ἐδέχθησου θεόφρων ἡ προσευχή. τοὺς γὰρ πίστει τὴν σὴν ὀνομάζοντας, κλῆσιν σεμνὴ, σώζει ὁ Δεσπότης ἐκ πειρασμῶν, καὶ εὐρωστίαν δίδωσι, νόσων ἀπαλλάττων παντοδαπῶν, ψυχῶν τε καὶ σωμάτων. διό σε γεγηθότες, Αἰκατερίνα μακαρίζομεν.

Ἀμέμι καθωρμίσθης νῦν γαλήνῳ, εὐσταλῶς τε καὶ κούφως τὴν θάλασσαν, τὴν κοσμικὴν, Μάρτυς διελθοῦσα τρικυμιῶν, μὴ πειρασθεῖσα πάνσοφε, πλοῦτον πολυποίκιλον τῷ Χριστῷ, προσφέρουσα Παρθένε, τὸν δῆμον τῶν Μαρτύρων, Αἰκατερίνα Παμμακάριστε.

Πασταδῶν οὐρανίων ἔνδον τανῦν, σὺν παρθένων χορείᾳ χορεύουσα, μαρτυρικαῖς, περιλαμπομένη μαρμαρυγαῖς, Αἰκατερίνα πάνσοφε, λῦσον τῶν πταισμάτων μου τὰς σειρὰς, προθύμως δυσωποῦσα, τὸν πάντων εὐεργέτην, δι' ὃν τὸ αἷμά σου ἐξέχεας.

Θεοτοκίον

Ὠράθης ὦ Παρθένε Μήτηρ Θεοῦ, ὑπὲρ φύσιν τεκοῦσα ἐν σώματι, τὸν ἀγαθὸν, Λόγον ἐκ καρδίας τῆς ἑαυτοῦ, ὃν ὁ Πατὴρ ἠρεύξατο, πάντων πρὸ αἰώνων ὡς ἀγαθός. ὃν νῦν καὶ τῶν σωμάτων, ἐπέκεινα νοοῦμεν, εἰ καὶ τὸ σῶμα περιβέβληται.

Ἄλλος. Ἔφριξε πᾶσα ἀκοή.

Ἰχῶρες νῦν μαρτυρικὴν, εὐωδίαν ἀναπέμπουσι χάριτι, καὶ τὰ δυσώδη ἡμῶν, ἀῤῥήτῳ λόγῳ, πάθη διώκουσιν. ἀναπηγάζει τὰ ὀστᾶ, ἰάσεως νάματα, καὶ καταρδεύει ψυχὰς, τῶν ὑμνούντων τὰ αὐτῶν προτερήματα.

Ὡς μέγαν πύργον τῆς Χριστοῦ, Ἐκκλησίας ἱερῶς σε γεραίρομεν, ὡς στύλον ἄσειστον, ὡς τεῖχος Μάρτυς, ὄντως ἀπόρθητον, ὡς στρατιώτην δυνατὸν, Θεοῦ τοῦ Παντάνακτος, ὡς καθαιρέτην ἐχθρῶν, ὡς φωστῆρα νοητὸν καὶ παγκόσμιον.

Εὔνδρομον Ἄγγελον φωτὸς, πρὸς τὴν ἄθλησιν Θεόφρων κεκλήρωσαι. ὅθεν στρεβλούμενος, καὶ ταῖς λαμπάσιν ὑποκαιόμενος, καὶ συγκοπτόμενος δεινῶς, καὶ ξίφει

φει τεμνόμενος, οὐκ ἐδειλίασας, Ἀθλοφόρε τοῦ Χριστοῦ γενναιότατε.

Ἡμέρα πλήρης φωτισμοῦ, εὐφροσύνης καὶ χαρᾶς ἡμῖν ἔλαμψεν, ἡ θεία μνήμησου, τοῖς σὲ τιμῶσι, Μάρτυς Μερκούριε. ἐν ᾗ μνημόνευε ἡμῶν, τῶν μνημονευόντων σου, καὶ χαλεπῶν πειρασμῶν, καὶ κινδύνων καὶ παθῶν ἡμᾶς λύτρωσαι.

Θεοτοκίον.

Φώτισον πύλη τοῦ φωτὸς, τὴν τυφλώττουσαν ψυχήν μου τοῖς πάθεσι, καὶ πονηροῖς λογισμοῖς, ἀμαυρωθεῖσαν καὶ κινδυνεύουσαν, καὶ ἐξελοῦ με πειρασμῶν, κινδύνων καὶ θλίψεων. ἵνα δοξάζω σε, τὴν ἐλπίδα τῶν πιστῶν καὶ κραταίωμα.

Ἐξαποστειλάριον τῆς Ἁγίας.

Ἐν Πνεύματι τῷ ἱερῷ.

Ἐνεύρωσας τὸ φρόνημα, γυναικῶν ὦ Παρθένε, Αἰκατερίνα πάντιμε, ἀθλοφόρων ἡ δόξα, καὶ Φιλοσόφων ἀνοίαν, ἐν Θεῷ διήλεγξας, ὡς λῆρον οὖσαν καὶ μῦθον, τὴν Παράμωμον ὄντως, καὶ Μητέρα τοῦ Θεοῦ, συλλήπτορα κεκτημένη.

Τοῦ Ἁγίου. Ὅμοιον.

Πὰς παρατάξεις τῶν ἐχθρῶν, καὶ Δαιμόνων τὰ θράση, εἰς τέλος κατηδάφισας, καὶ τὸ στέφος ἐδέξω, Μερκούριε μακάριε, ἐκ χειρὸς τοῦ Κτίστου, ὡς Μάρτυς τῆς ἀληθείας. διασώζεις δὲ πάντας, ἐκ παντοίων θλιβερῶν, σκανδάλων τοῦ ἀλλοτρίου.

Τῆς Ἑορτῆς. Ὅμοιον.

Τοῦ Ἱεροῦ σε σήμερον, Θεοτόκε Παρθένε, δέχεται τὰ ἐνδότερα, χερσὶν Ἀρχιερέως. ἐν οἷς τριῶν ἀπὸ χρόνων, ἕως δύω καὶ δέκα, διέμεινας τρεφομένη, χειρὶ Θείου Ἀγγέλου, ὡς ἁγία Κιβωτὸς, τοῦ πάντα τεκτηναμένου.

Εἰς τοὺς Αἴνους, ἤ. προσόμ. τῆς Ἁγίας. ἦχος, δ'. Ἔδωκας σημείωσιν.

Μνήμην τὴν πανίερον, Αἰκατερίνα πανεύφημε, τῆς σεπτῆς σου ἀθλήσεως, τελοῦντες δοξάζομεν, ἐν φωναῖς ἀπαύστοις, τὸν δεδωρημένον, ὑπομονήν σοι καρτεραὶ, καὶ νικηφόρον σε ἀναδείξαντα, καὶ λόγον χορηγήσαντα, καταπτοοῦντα τοὺς Ῥήτορας, Ἰησοῦν τὸν φιλάνθρωπον, καὶ Σωτῆρα καὶ Κύριον.

Δίς.

Μάρτυς ἐθελούσιος, Αἰκατερίνα πανένδοξε, καθωράθης τὸν Τύραννον, εὐτόνως ἐλέγξασα, καὶ δεινὴν μανίαν, τῆς πολυθείας, Θεογνωσίας φωτισμῷ, καταβαλοῦσα, καὶ θείᾳ χάριτι. ἐντεῦθεν καὶ ὡς Μάρτυρα, καὶ ὡς Παρθένον παράμωμον, ὁ Χριστὸς ἐστεφάνωσεν, ὁ Σωτὴρ τῶν ψυχῶν ἡμῶν.

Χάριν τὴν τοῦ Πνεύματος, Αἰκατερίνα πανένδοξε, ἐν ἀνοίξει τοῦ στόματος, ἐδέξω καθάρασα, σεαυτὴν προθύμως, διὰ πολιτείας, καὶ λογισμῷ καρτερικῷ, τὴν τῶν τυράννων ὀφρὺν κατέσπασας, καὶ κάλλει τῷ τοῦ σώματος, τὴν ψυχικὴν ὡραιότητα, θεοφρόνως ἀντέθηκας, Ἀθλητῶν ἐγκαλλώπισμα.

Δόξα. ἦχος, β'. Βαβύλα.

Κίον ἄυλον ἐξησκημένη, βῆμα ἄθεον καταβαλοῦσα, ἔστης τροπαιοφόρος Αἰκατερίνα σεμνὴ, ἀνθηφοροῦσα τοῦ Θεοῦ τὴν λαμπρότητα. καὶ τὸ θεῖον σθένος ἐνδεδυμένη, δόγμα Τυράννου κατεμυκτήρισας, καὶ ῥητόρων ἔπαυσας, τὰς φλυνάφους ῥήσεις Πολύαθλε.

Καὶ νῦν. τῆς Ἑορτῆς. ἦχος, ὁ αὐτός.

Σήμερον τῷ Ναῷ προσάγεται, ἡ Παράμωμος Παρθένος, εἰς κατοικητήριον τοῦ Παντάνακτος Θεοῦ, καὶ πάσης τῆς ζωῆς ἡμῶν τροφοῦ. Σήμερον τὸ καθαρώτατον ἁγίασμα, ὡς τριετίζουσα Δάμαλις, εἰς τὰ ἅγια τῶν ἁγίων εἰσάγεται. ταύτῃ ἐκβοήσωμεν ὡς ὁ Ἄγγελος· Χαῖρε μόνη ἐν γυναιξὶν εὐλογημένη.

Δοξολογία Μεγάλη, καὶ Ἀπόλυσις.

Εἰς τὴν Λειτουργίαν Τυπικ. καὶ ἐκ τοῦ Κανόνος τῆς Ἑορτῆς ἡ γ'. ᾠδὴ, καὶ τῆς Ἁγίας ἡ ς'.

Τῷ αὐτῷ Μηνὶ, Κς.

Τοῦ Ὁσίου Πατρὸς ἡμῶν Ἀλυπίου τοῦ Κιονίτου, καὶ τοῦ Ὁσίου Πατρὸς ἡμῶν Νίκωνος τοῦ Μετανοεῖτε.

Ἕτερας εἰς τὸ, Κύριε ἐκέκραξα, ἦχ. πλ. δ'. καὶ ψάλλομεν ἓν. προσόμοια. ἦχος, α.

Παμμάκαρ Ἀλύπιε τῷ σῷ, ἐκ παιδὸς ἀγέθηκας, ζωῇ Χριστῷ τῷ Θεῷ ἡμῶν. ὑφ' ὃ θεμούμενος, τῆς σαρκὸς τὰ πάθη, λογισμῷ ὑπέταξας, τὸ χεῖρον ὑποτάττων τῷ κρείττονι. διὸ ἱκέτευε, δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν, τὴν εἰρήνην, καὶ τὸ μέγα ἔλεος.

Θεόφρον Ἀλύπιε φωστὴρ, καθωράθης μέγιστος, φωταγωγῶν τὸν ὑφήλιον, θαυμάτων λάμψεσι, καὶ ἐνθέοις ἔργοις. ὅθεν μετὰ κοίμησιν, τὸ ἄδυτόν σε φῶς ὑπεδέξατο. διὸ ἱκέτευε, δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν, τὴν εἰρήνην, καὶ τὸ μέγα ἔλεος.

Στύλος ἐλλαμπρύνας σοφὲ, Μοναχῶν Ἀλύπιε, ὑπερθεν φύλαξ ἱστάμενος, καὶ πιεζόμενος, καύσωνι καὶ κρύει, καὶ πολλαῖς ἀσκήσεσι. διὸ καθυπεδέξω τὸ Πνεύματος, θεῖα χαρίσματα, ἰαπτεύειν ἀῤῥωστήματα, καὶ διώκειν, πάθη χαλεπώτατα.

Ἕτερα πλ. προσόμοια τοῦ Ἁγίου Νίκωνος. ἦχος, πλ. β'.

Ὅλον ἀποθέμενοι, τὸν ῥύπον τοῦ σώματος, πόνοι καὶ πόνων οἱ τρόποι, καὶ τῶν τρόπων ἔλλαμψις, καὶ τῷ θείῳ Πνεύματι ἀπαστράπτουσα, ὑπὲρ μὲν ἅπαντα, τῇ ἰσχύι νικήσασα. θαυμαστῶς ἐμεγαλώθη γὰρ, καὶ θήκην μάματα, βλύζουσα πιστοῖς ξένον θέαμα, πῶς τάφος οὐκ ἐπέδυσεν, ἢ λίθος κατέσχε τὸν δυνάμιν. ἀλλ' ὡς καὶ πρὸ τέλους, μετάνοιαν ἐκραύγαζες ἡμῖν, ὧσαύτως μοι πρὸς ἐπίγνωσιν, ἔλκεις μετ' θάνατον.

Δεῦτε προσκυνήσωμεν, λαὸς ἐν οἴκῳ Κυρίου, ὅπως τὸ παράγγιον, σκιρτῶντες ἐθησαύρισαι τὸν παμμάκαρος. ᾧ τερπνοῖς ᾄσμασι, καὶ φαιδραῖς λαμπάσι, λιταῖς ἀόρτες βοήσωμεν· Ἅγιε πρόφθασον, καὶ τοὺς ἐν ἀνάγκαις ἐλέησον, καὶ κλύδωνος ἅρπασον, καὶ τῆς καταιγίδος τῆς θλίψεως, ἵνα τὸν τερπνῶς σε, καὶ παντίμοιρον δοξάζωμεν σορὸν, καὶ τὴν Εἰκόνα σεβώμεθα, μύρον ἀναβλύζουσαν.

Πλοῦτον ἀναφαίρετον, ἔχεσε πόλις Λακώνων, μακαρ ἀξιάγαστε, φαεναῖς ἀυγαζόμενα ταῖς λαμπρότησιν. ἣ καὶ μοῦ βραβεῦσον, τὴν εἰρήνην Νίκων, καὶ τροπαίων αὐτὴν ἔμπλησον, ἐχθρῶν τὴν ἔπαρσιν, καὶ παρεμβολὰς κάμψας βέλεσι, πρεσβείαις σου Πατὴρ ἡμῶν, καὶ τῆς συμπαθοῦς μεταδόσεως, πλῆσον τὰς καρδίας, ἡμῶν τῆς ἀϋμνήμτωσε πιστῶς, ἐν παῤῥησίᾳ δεόμενος, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Δόξα, καὶ νῦν, Θεοτοκίον.

Ἀπολυτίκιον τοῦ Ὁσίου, ἦχος, α.

Ὑπομονῆς σύλος γέγονας, ζηλώσας τοὺς Προπάτορας Ὅσιε, τὸν Ἰὼβ ἐν τοῖς πάθεσι, τὸν Ἰωσὴφ ἐν τοῖς πειρασμοῖς, καὶ τὴν τῶν Ἀσωμάτων πολιτείαν ὑπάρχων ἐν σώματι, Ἀλύπιε Πατὴρ ἡμῶν Ὅσιε, πρέσβευε Χριστῷ τῷ Θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Δόξα. Ἕτερον τοῦ Ἁγίου Νίκωνος. ἦχος, γ. Θείας πίστεως.

Χαίρει ἔχουσα ἡ Λακεδαίμων, θείαν λάρνακα, τῶν σῶν λειψάνων, ἀβρύνουσαν πηγὰς τῆς ἰάσεως, καὶ διασώζουσαν πάντας ἐκ θλίψεως, τοὺς σοὶ προσφέροντας Πάτερ ἐκ πίστεως, Νίκων Ὅσιε, Χριστὸν τὸν Θεὸν ἱκέτευε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλος.

Καὶ νῦν. Θεοτοκίον.

Εἰς τὸν Ὄρθρον μετὰ τὴν συνήθη κλῆσιν. Ὁ Καμὼν τῆς Ὀκτωήχου εἷς, καὶ τῶν Ἁγίων δύο. Ὁ Καμὼν τοῦ Ἁγίου Ἀλυπίου. Οὐ ἡ ἀκροστιχίς.

Χαίρων ἐπαινῶ τοὺς Ἀλυπίου πόνους.

Ἰωσήφ. Ὠδὴ, α'. ἦχος, πλ. α.

Ἵππον καὶ ἀναβάτην.

Χαίρητος πεπλησμένος, χαρᾶς με πλήρωσον, τὸν ψυχῶν ἐπαινέσαι, τὸν βίον σου Ἀλύπιε, καὶ τὴν πολιτείαν σου, δι' ἧς πάντας ὑπέφαινας, τοὺς Ἀγγέλους ἀγωνισάμενος.

Ἄλλον ὡς Σαμουὴλ σε, Θεὸς ἡγίασε, μητρικῆς ἐκ κοιλίας, Ἀλύπιε μακάριε, καὶ βλέπων τὰ ἔμπροσθεν, ὡς Προφήτην ἔνθεον, ἀπεργάσατο ἀξιάγαστε.

Ἵνα

Ἵνα Θεὸς δηλώσῃ, τὴν σὴν λαμπρότητα, ἣν περ ὕστερον ἔσχες, καλῶς ἀγωνισάμενος, φωτὸς θείου ἔπλησε, σοῦ τεχθέντος Ὅσιε, τὸ δομάτιον ὑπὲρ ἔννοιαν.

Θεοτοκίον.

Ῥῆσις σεπτοῦ Προφήτου, πέρας ἐδέξατο. ἰδοὺ γὰρ ἡ Παρθένος, σαρκὶ Θεὸν ἐκύησε, βροτοὺς ἀναπλάττοντα, συντριβέντας πρότερον, ἁμαρτίας πλημμελήμασι.

Ἕτερος Κανὼν τοῦ Ἁγίου Νίκωνος.

Ὠδὴ, α'. ἦχος, πλ. δ'. Ἁρματηλάτην.

Τῆς οὐρανίου πατριᾶς τῷ ἔρωτι, κατασχεθεὶς τὴν ψυχὴν, καὶ τὰ ἐκεῖ κάλλη, καὶ τὴν διαμένουσαν, ἐπιποθήσας εὔκλειαν, ἐπιγείου πατρίδος, καὶ γεννητόρων ἐμάκρυνας, Νίκων σεαυτὸν παναοίδιμε.

Τόπον ἐκ τόπου διαμείβων πέφευγας, τὰ παρατρέχοντα, τὴν κοσμικὴν σχέσιν, ταῖς ἀποχωρήσεσι, σαφῶς ἀποκρουόμενος, οὐδενὶ τῶν προσύλων, τὸ εὐγενὲς ἐνυβρίσαι σου, μάκαρ τῆς ψυχῆς ἀνασχόμενος.

Θεοτοκίον.

Δεδοξασμένα περὶ σοῦ λελάληνται, ἐν γενεαῖς γενεῶν, ἡ τὸν Θεὸν Λόγον, ἐν γαστρὶ χωρήσασα, ἁγνὴ δὲ διαμείνασα, Θεοτόκε Μαρία. διό σε πάντες γεραίρομεν, τὴν μετὰ Θεὸν προστασίαν ἡμῶν.

Ὠδὴ, γ'. Ὁ πήξας ἐπ' οὐδενός.

Ὡς λύχνος ἐπὶ λυχνίαν, πράξεως κρείττονος, ἐπιτεθειμένος, ταῖς σελασφόροις σου, Πάτερ ἀρεταῖς πᾶσαν ψυχὴν, πιστῶς σοι προσιοῦσαν, εὐσεβοφρόνως κατελάμπρυνας, σκότους ἁμαρτίας λυτρούμενος.

Νοός σου τὰς ἱερὰς, κινήσεις ποιούμενος, πρὸς τηρήσει θείων, νόμων τοῦ Πνεύματος, Ἄγγελος ἐφάνης ἐπὶ γῆς, Ἀγγέλων πολιτείαν, μετὰ σαρκὸς ἀναλαβόμενος, Πάτερ θεοφόρε Ἀλύπιε.

Ἐμφρόνως τῶν ὀχληρῶν, τοῦ βίου ἀοίδιμε, μεταναστὴς ὤφθης, καὶ προσεχώρησας, πρὸς ἀσκητικῆς διαγωγῆς, τὰ σκάμματα προθύμως, τὴν σὴν καρδίαν οἰκητήριον, Ὅσιε δεικνύων τοῦ Πνεύματος.

Θεοτοκίον.

Παρθένε τὸ καθαρὸν, τοῦ Λόγου παλάτιον, τὴν ψυχήν μου δεῖξον, οἶκον τοῦ Πνεύματος. ὕδατος πηγῆς ζωαρχικῆς, πότισόν με τῇ καύσει, τῆς ἁμαρτίας φλογιζόμενον, ὅπως καταχρέως δοξάζω σε.

Ἄλλος. Οὐρανίας ἀψίδος.

Ἐξ ἑώας εἰς δύσιν, διαδραμὼν ἅπαντας, τῷ τῆς μετανοίας, κηρύγματι κατεπύρσευσας. ὅθεν κατάλληλον, τῇ πράξει εὗρες τὴν κλῆσιν, μετανοίας Ὅσιε δειχθεὶς φερώνυμος.

Τοῦ Προδρόμου τὸν ζῆλον, ἐν τῇ ψυχῇ θέμενον, Πάτερ τὴν δευτέραν, ἐν Κόσμῳ Χριστοῦ ἐμφάνειαν, προανεκήρυττες, καὶ μετανοίας ἀξίους, ἐκ καρδίας ἔλεγες καρποὺς ποιήσατε.

Θεοτοκίον.

Χαῖρε μόνη τεκοῦσα, τὸν τοῦ παντὸς Κύριον. Χαῖρε τὴν ζωὴν, τοῖς ἀνθρώποις ἡ προξενήσασα. Χαῖρε κατάσκιον, καὶ ἀλατόμητον Ὄρος. τῶν πιστῶν τὸ στήριγμα, χαῖρε Πανάμωμε.

Ὁ Εἱρμός.

Οὐρανίας ἀψίδος ὀροφουργὲ Κύριε.

κα. τοῦ Ὁσίου Ἀλυπίου. ἦχος, πλ. δ'.

Τὴν σοφίαν καὶ Λόγον.

Συμεὼν ἡμῖν ὤφθης ἄλλος σοφέ. τὸ γὰρ σῶμα ὑψώσας στύλῳ ἐκ γῆς, Πάτερ Ἀλύπιε, τῶν δαιμόνων τὰς φάλαγγας, κατετροπώσω Θεόφρων, πικρῶς ὀλοφύροντας, καὶ εἰς ἀβάτους τόπους, αὐτοὺς ἀπεδίωξας. ὅθεν καὶ ἐδείχθης, ἐγκαλλώπισμα θεῖον, Πατέρων τὸ καύχημα, μοναζόντων τὸ στήριγμα. διὸ πίστει βοῶμέν σοι· πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ, τὴν ἁγίαν μνήμην σου.

Ἕτερον τοῦ Ἁγίου Νίκωνος, ἦχος, α'.

Τὸν τάφον σου Σωτήρ.

Τὸν ζῆλον τὸν σεπτὸν, Βαπτιστοῦ ἐμιμήσω, καὶ Κόσμῳ τὴν φρικτὴν, καὶ δευτέραν τοῦ Κτίστου, ἐμφάνειαν ἐκήρυττες, καὶ τοῖς πᾶσιν ἐκραύγαζες· νῦν ποιήσατε, καρποὺς ἀξίους Κυρίῳ, μετα-

νοίας τε, ἀπὸ καρδίας τελείας, Πατὴρ ἡμῶν Ὅσιε.

Θεοτοκίον. Ὅμοιον.

Κυβέρνησον ἁγνὴ, τὴν ἀθλίαν ψυχήν μου, καὶ οἴκτειρον ἀντὴν, ὑπὸ πλήθους πταισμάτων, βυθῷ ὀλισθαίνουσαν, ἀπωλείας παράμωμε. καὶ ἐν ὥρᾳ με, τῇ φοβερᾷ τοῦ θανάτου, ἐλευθέρωσον, κατηγορούντων δαιμόνων, φρικτῆς ἀποφάσεως.

Σταροθ'. Ὅμοιον.

Ὦ θαύματος φρικτοῦ, ὦ καινοῦ μυστηρίου, ἐβόα ἡ Ἁγνὴ, καὶ παράμωμος Κόρη, ἐν ξύλῳ ὡς ἔβλεψεν, ἁπλωθέντα τὸν Κύριον. ὁ τὰ σύμπαντα, ἐν τῇ δρακὶ περιφέρων, ὡς κατάκριτος, ὑπὸ κριτῶν παρανόμων, Σταυρῷ κατακρίνεται.

Ὠδὴ, δ'. Τὴν θείαν ἐννοήσας σου.

Ἀγάπην ἀληθῆ καὶ συμπάθειαν, πίστιν ἐλπίδα ἀρραγῆ, καὶ πολιτείαν ἀνόθευτον, ἀναλαβόμενος Πάτερ, θεράπων τοῦ Χριστοῦ ἐχρημάτισας.

Ἱστάμενος ἐν στύλῳ ἀκλόνητος, ταῖς ἐναντίαις προσβολαῖς, Δαιμόνων στίφος ἐκλόνησας, καὶ κλονουμένοις ἐγένου, παμμάκαρ ἀδιάσειστον ἔρεισμα.

Ναμάτων θείων ἔμπλεως γέγονας, καὶ κατεδρόσισας ψυχὰς, κατατακείσας τῷ καύσωνι, τῆς χαλεπῆς ἁμαρτίας, Ἀλύπιε Θεόφρον πανόλβιε. θ'.

Μὰ πάθη τῆς ψυχῆς μου θεράπευσον, καὶ φωταγώγησον τὸν νοῦν, καὶ τὴν καρδίαν μου Δέσποινα, ἡ φωτοδότην τεκοῦσα, Χριστὸν τὸν ὑπεράγαθον Κύριον.

Ἄλλος. Ἐ ἰσακήκοα Κύριε.

Ἀληθῶς ἐφιέμενος, γνώσεως μακάριε, πράξει γέγονας, θεωρίας σου ἐπίβασις, τοὺς Ἑλλήνων λήρους παρωσάμενος.

Μῆς καρδίας τὰ ὄμματα, πράξεσιν ἐνθέοις προκαθηράμενος, προεμήνυες τὰ μέλλοντα, ὀπτικὴν διάνοιαν προσκτησάμενος.

Θεοτοκίον.

Ἱλασμὸν ἡμῖν δώρησαι, τῶν ἀγνοημάτων ὡς ἀναμάρτητος, καὶ εἰρήνευσον τὸν Κόσμον σου, ὁ Θεὸς πρεσβείαις τῆς Τεκούσης σε.

Ὠδὴ, ε'. Ὁ ἀναβαλλόμενος.

Ὅλος ἀνακείμενος, τῷ Παντοκράτορι, χρονίαν στάσιν, ὕπαιθρος Πάτερ, νιφετοῖς καὶ καύσωνι, σφοδρῶς προσπαλαίων, προθύμως ἐκαρτέρησας.

Ὕμνοις καὶ δεήσεσι, σχολάζων Ὅσιε, τῆς τρισηλίου αὐγῆς τὴν χάριν, νοὸς καθαρότητι, ἐδέξω καὶ φέγγος, ἰάσεων ἀπήστραψας.

Σωμάσου τῷ κίονι, περιγραψάμενος, τὸν νοῦν βαδίζειν, ἀνεμποδίστως, πρὸς τὸν σοὶ ποθούμενον, Πάτερ ἐπαφῆκας, φωτὸς ἀποπληρούμενος. Θεοτοκίον.

Ἅγιον ἐκύησας, Θεὸν γενόμενον, βροτὸν δι' οἶκτον, ἁγία Κόρη, τὸν καθαγιάζοντα, τοὺς αὐτὸν ἐν πίστει, καὶ φόβῳ ἁγιάζοντας.

Ἄλλος. Ὀρθρίζοντες βοῶμέν σοι.

Πληγέντα τὸν εἰς σὲ παροινήσαντα, θεηλάτως, ταῖς εὐχαῖς ἀνέρρωσας, καὶ σὲ τιμᾷν παρεσκεύασας.

Ναὸν πανευκλεῆ ἀνεστήλωσας τῷ Σωτῆρι, ναὸς ζῶν καὶ ἔμψυχος, προχρηματίσας θεσπέσιε, Θεοτοκίον.

Ζωὴν ἡμῖν ἐβλάστησας ἄχραντε, Θεοτόκε, τὸν Κτίστην καὶ Κύριον, ζωοποιοῦντα τὰ σύμπαντα.

Ὠδὴ, ϛ'. Μαινομένην κλύδωνι.

Λίθοις σε τὰ πνεύματα, τῆς κακίας, βάλλοντα σαφῶς, ποιούμενον στάσιν ἐν τῷ κίονι, τῆς ἀρραγοῦς πέτρας οὐδόλως ἐσάλευσαν.

Ὑπομένων Ὅσιε, ὑπέμεινας, τὴν ὑπομονὴν, ἀληθῆσοι Κύριον δωρούμενον, καὶ ἐκ πάντων, τῶν δυσχερῶν σε ἐρρύσατο.

Παραδόξως Ὅσιε, Φῶς ὡρᾶτο, ὕπερθεν τοῦ σοῦ, καθ' ἑκάστην κίονος φωτίζον σου, θαυματουργὲ, τὰ τῆς ψυχῆς αἰσθητήρια.

Θεοτοκίον.

Ἐχυρὰν παράκλησιν, οἱ ἐν θλίψει, ἔχομεν ἁγνὴ, καὶ βεβαίαν πάντες σὲ ἀντίληψιν, Μήτηρ Θεοῦ, κινδύνων σῷζε τοὺς δούλους σου.

Ἄλλος.

Ἄλλος. Ἱλάσθητί μοι Σωτήρ.

Ἐδόξασέ σε Θεὸς, ὁ δοξασθείς σου τοῖς μέλεσιν, ἐν τέρασι θαυμαστοῖς. διὸ καὶ τῷ κίονι, ὅπως χρηματίσῃ σοι, ἐν τῷ θείῳ οἴκῳ, τὸ ἐλλεῖπον ἀνεπλήρωσας.

Ὡς ἄλλον σε Μωϋσῆν, ἡ Λακεδαίμων ἐγνώρισε, τὴν Αἴγυπτον τῶν παθῶν, πιέζοντα μάστιξιν, ἐνθέοις διδάγμασιν, τοῖς τῆς μεταροίας, καὶ κακίας ἐξαιρούμενον.

Θεοτοκίον.

Ῥυσθείημεν τῶν δεινῶν, πταισμάτων ταῖς ἱκεσίαις σου, Θεογεννήτωρ ἁγνὴ, καὶ τύχοιμεν πάναγνε, τῆς θείας ἐλλάμψεως, τοῦ ἐκ σοῦ ἀφράστως, σαρκωθέντος Υἱοῦ τοῦ Θεοῦ.

Ὁ Εἱρμός. Ἱλάσθητί μοι Σωτήρ,

Κοντάκιον τοῦ Ὁσίου Ἀλυπίου. ἦχος, πλ.

Ὡς ἀπαρχὰς τῆς φύσεως.

Ὡς ἀρετῶν ὑπόθεσιν, καὶ Ἀσκητῶν καλλώπισμα, ἡ Ἐκκλησία δοξάζει σε σήμερον, καὶ ἀνυμνεῖ σε Ἀλύπιε. ταῖς εὐχαῖς σου παράσχου, τοῖς τιμῶσιν ἐκ πόθου τὰς ἀριστείας σου, καὶ τὰ παλαίσματα, τῶν δεινῶν ἐγκλημάτων ἐκλύτρωσιν, ὡς ἐπώνυμος.

Ὁ Οἶκος.

Ἀλυπίου τὸν βίον ἔνθεον, καὶ ἰσάγγελον δεῦτε θαυμάσατε, Ἱερεῖς, Βασιλεῖς καὶ Μονάζοντες, καὶ Μιγάδες, λαοί τε Θεόφρονες. καὶ μιμησώμεθα τούτου τὰς πράξεις, ἵνα καὶ τῆς ἐκείνου μερίδος ἀξιωθῶμεν, ταῖς πρεσβείαις αὐτοῦ ὦ φιλέορτοι. καὶ γὰρ αὐτὸς οὐράνιον αἴνεσιν ἀδιαλείπτως Θεῷ φέρει, ὡς ἐπώνυμος.

Ἕτερον Κοντάκιον τοῦ Ἁγίου Νίκωνος. Ἦχος, π. β'. Τὴν ὑπὲρ ἡμῶν πληρώσας.

Τὴν Ἀγγελικὴν μιμούμενος πολιτείαν, Κόσμου τὰ τερπνὰ ὡς σκύβαλα ἐλογίσω, μεταροίας τὴν τρίβον δεικνύων ἡμῖν, θεοφόρε Νίκων Ὅσιε. διὰ τοῦτο σε γεραίρομεν, ἐκτελοῦντες νῦν τὴν μνήμην σου. ὑπάρχεις γὰρ ἀληθῶς, ἰαμάτων πηγή.

Ὁ Οἶκος.

Τῷ Θεῷ ἀνατεθεὶς, Πάτερ ἐκ βρέφους, τὴν τοῦ βίου ἐκφυγὼν ματαίαν δόξαν, πᾶσαν ἐκ νεότητος ἀρετὴν διηρίθμησας, ἐξασκήσας λαμπρότατα. Σταυρὸν δὲ ἐν τοῖς ὤμοις λαβὼν τὸν τοῦ Κυρίου, ταῖς τούτου Νίκων τρίβοις ὠδεύσας τραγῶς, μιμούμενος πᾶσαν τοῦ Βαπτιστοῦ Ἰωάννου, τὴν παρρησίαν τε, καὶ τὸν ζῆλον, τῆς μεταροίας κήρυξ ἐδείχθης, κραυγάζων ἐν ταῖς πόλεσι· Μετανοεῖτε, ἤγγικεν ἡ τοῦ Χριστοῦ ἀτελεύτητος βασιλεία ἡ οὐράνιος, τοῖς ἐν πίστει εἰλικρινεῖ, δεχομένοις νῦν αὐτὸν καθαρῷ λογισμῷ. Διὰ τοῦτο καὶ τὴν σορὸν τῶν λειψάνων τῶν σῶν προσκυνοῦμεν εὐσεβῶς. Ὑπάρχει γὰρ ἀληθῶς ἰαμάτων πηγή.

Τῷ αὐτῷ Μηνὶ, Κϛ'. Τοῦ Ὁσίου Πατρὸς ἡμῶν Ἀλυπίου τοῦ Κιονίτου.

ᾗ. Ἂν εἶχεν Ἀλύπιον ὄρθιος Κίων,
Πρὸς οὐρανοὺς ζητοῦντα βαίνειν, οὗ μένει.
Εἰκάδι ἕκτῃ ἄλυπον Ἀλύπιε βῆς εἰς οἶκον.

Οὗτος ἦν ἐπὶ Ἡρακλείου τοῦ Βασιλέως, ἐξ Ἀδριανουπόλεως τῆς Παφλαγόνων χώρας. Καὶ πρὸ τῶν ὀδυνῶν τῇ Μητρὶ, διὰ δήτινων δεξιῶν συμβόλων, ὁποῖος ἀποβῆναι ἔμελλε προγνωσθεὶς, καὶ μετὰ τὴν γέννησιν τοὺς τότε καὶ νῦν θεάματι καὶ ἀκοῇ καὶ καρτερίᾳ κατέπληξε. Καὶ γὰρ ἔδοξεν ἡ Μήτηρ τοῦτον ἐγγυμονοῦσα, ἀμνὸν ὡραῖον ἐν τοῖς κέρασιν ἀνημμένας ἔχοντα λαμπάδας ἀποφέρεσθαι. Ὅπερ σύμβολον τῆς ἐσύστερον λαμπρότητος καὶ ἀρετῆς τοῦ ἀνδρός. Οὗτος οὖν διὰ παντοίας ἀσκήσεως ἠγωνίσατο, καὶ θαύματα κατειργάσατο, καὶ τῇ καρτερίᾳ πάντας ὑπερέβαλεν. Ἐπὶ γὰρ κίονος αἴθριος ἔστη ἐπὶ χρόνοις τρισὶ καὶ πεντήκοντα. Ἐπεὶ δὲ καὶ τραύματι αὐτὸν ὁ πονηρὸς κατὰ τὸν Ἰὼβ ἔτρωσεν, ἐν αὐτῷ τῷ κίονι ἐφ' ἑνὸς κατακλιθεὶς πλευροῦ, διήρκεσεν ἔτη δεκατρία, μὴ μετακλιθεὶς πρὸς θάτερον μέρος, ἕως οὗ τὴν τιμίαν αὐτοῦ ψυχὴν παρέθετο τῷ Θεῷ. Ὁ δὲ πᾶς τῆς ζωῆς αὐτοῦ χρόνος γέγονεν ἔτη ἑκατόν.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ Ὁσίου Πατρὸς ἡμῶν Στυλιανοῦ τοῦ Παφλαγόνος.

ᾗ. Ἀσκήσεως πέπτωκεν ὁ στερρὸς στύλος.
Στυλιανὸς γὰρ τὸν βίον καταστρέφει.

Οὗτος ἐκ μήτρας ἁγιασθεὶς, γέγονε τοῦ Ἁγίου Πνεύματος οἰκητήριον. Τὸν γὰρ προσόντα αὐτῷ πλοῦτον σκορπίσας τοῖς πένησι, καὶ τὸν μοναστὴν ὑποδὺς βίον, πάντας ὑπερέβαλεν ἀσκήσει ἐπιπόνῳ καὶ σκληραγωγίᾳ. Εἶθ' οὕτω τὴν ἔρημον κατέλαβε, καὶ σπήλαιον ὑποδὺς, ὑπὸ θείου Ἀγγέλου τροφὴν ἐδέξατο, ποικίλων παθῶν ἀνιάτων ἰατὴρ γενόμενος. Ὁ πηνίκα γὰρ ὁ φθοροποιὸς θάνατος διὰ τῆς τῶν νεογνῶν θνήξεως, ἀτεκνούσας τὰς κυούσας ἀπετέλει, τὸ τοῦ Ἁγίου ὄνομα αἱ μητέρες ἐπικαλούμεναι, καὶ τὸ τίμιον αὐτοῦ χρωματουργοῦσαι εἰκόνισμα, πρὸς τεκνογονίαν αὖθις μετεσκευάζοντο. Θαυὼν δὲ ἐν τῇ τῶν Παφλαγόνων χώρᾳ κατετέθη, ἰάσεις πολλὰς καὶ θαυματουργίας ἀποτελῶν.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ Ὁσίου Πατρὸς ἡμῶν Ἀκακίου τοῦ ἐν τῇ Κλίμακι.

ΠΙ. Κακὸν φυγὼν παῖν Ἀκάκιος ἐν βίῳ, Καλοῖς ἀπείροις ἐντρυφᾷ λιπὼν βίον.

Οὗτος ἦν ἔντιμι τῆς Ἀσίας Μονῇ, καὶ νέαν ἔτι τὴν ἡλικίαν ἄγων, τὸν ἀσκητικὸν βίον μετήρχετο. Εἶχε δὲ ἐπιστατοῦντα αὐτῷ γέροντα ἀκόλαστον πάνυ καὶ ἠμελημένον. Καὶ τοιαῦτα δεινὰ παρ' αὐτοῦ ὑπέμεινεν, οἷα τοῖς πολλοῖς ἴσως καὶ ἄπιστα εἶναι δοκοῦσι. Ποτὲ μὲν γὰρ εἶχε τὸν ὀφθαλμὸν μεμελανωμένον, ποτὲ δὲ τὸν τράχηλον, ποτὲ δὲ τὴν κεφαλὴν πεπληγμένην. Ἐπεὶ δὲ διαβιβάσας μετὰ τοῦ ἀνιλεοῦς ἐκείνου γέροντος χρόνους ἐννέα, ἐπορεύθη πρὸς Κύριον, καὶ ἐτάφη μετὰ τῶν Πατέρων ἐν τῷ κοιμητηρίῳ, ἀφίκετο ὁ τούτου ἐπιστάτης πρόστινα γέροντα μέγαν τῶν αὐτόθι, καὶ λέγει αὐτῷ· ὁ Ἀδελφὸς Ἀκάκιος ἐτελεύτησε. Τοῦ δὲ μὴ πεισθέντος, λέγει πρὸς αὐτὸν ἐκ δευτέρου, ἔρχου καὶ ἴδε. Ἦλθον οὖν ἀμφότεροι εἰς τὸ κοιμητήριον, καὶ ὥσπερ ζῶντι ὁ τίμιος γέρων ἐφώνησε πρὸς τὸν τελευτήσαντα, καὶ φησίν· Ἀδελφὲ Ἀκάκιε ἀπέθανες; Ὁ δὲ εὐγνώμων ὑπήκοος, καὶ μετὰ θάνατον ὑπακοὴν ἐπεδείκνυτο, καὶ φησὶ πρὸς τὸν μέγαν· Πῶς Πάτερ ὅσιε ἄνθρωπον ὑπακοῆς ἐργάτην ἀποθανεῖν δυνατόν; Τότε ὁ γέρων ὁ πρὶν αὐτοῦ ἐπιστάτης, ἔμφοβος γενόμενος ἐπὶ τῷ θαύματι, ἐπὶ πρόσωπον σὺν δάκρυσιν ἔπεσε, καὶ πλησίον τοῦ μνήματος ἐκείνου κελλίον ποιήσας, ἐκεῖσε σωφρόνως τὸ λοιπὸν τοῦ βίου διήνυσε, λέγων ἀεὶ τοῖς Πατράσιν, ὅτι φόνον πεποίηκα. Ὁ μὲν οὖν Θεῖος Ἀκάκιος, ἐν τοιούτοις ἀγωνίσμασι τὴν μακαρίαν διανύσας ζωὴν, οὕτω μακαρίως τοῦ βίου μεθίσταται. Τὸ δὲ τίμιον αὐτοῦ σῶμα τῆς φυσικῆς ἀνώτερον διαλύσεως θείᾳ δυνάμει τηρούμενον, εἰς πολλὰς ἐτῶν περιόδους σῷον καὶ ὁλόκληρον ἐφυλάττετο. Καί ποτε τῶν τὴν Μονὴν ταύτην οἰκούντων Μοναχῶν, ἐξελθόντων εἰς τὸ ἀμήσασθαι, ἅτε τῆς ὥρας πρὸς τοῦτο καλούσης, καὶ δύω καταλειφθέντων ἐν τῇ Μονῇ, τοῦ μὲν ἀσθενοῦς, τοῦ δὲ πρὸς φυλακὴν τῆς Μονῆς, συνέβη ἀποθανεῖν τὸν ἀσθενῆ. Ὁ δὲ ἕτερος μόνος ὤν, καὶ μὴ ἱκανῶν πρὸς τὴν τοῦ ἀδελφοῦ κηδείαν, τὸ τοῦ θαυμαστοῦ Ἀκακίου μνῆμα ἀνοίξας, ἔθηκε τὸν τελευτήσαντα ἀδελφὸν μετὰ τοῦ ἁγίου. Καὶ τῇ ἐπαύριον παραγενόμενος, εὑρίσκει ὃν ἔθηκε μετὰ τοῦ Ἁγίου, ἔξω ἐρριμμένον, εἶτα τίθησι πάλιν αὐτὸν ἐν τῷ μνήματι. Ὡς δὲ καὶ αὖθις τὸν αὐτὸν τρόπον εὗρεν αὐτὸν ἔξωθεν ἐρριμένον, ἐδικαιολογεῖτο μετὰ τοῦ ἁγίου λέγων πρὸς αὐτόν· Ἤκουσταί μοι ἅγιε Ἀκάκιε, ὅτι σοι ὡς οὐδενὶ ἑτέρῳ ἡ ὑπακοὴ ἐσπουδάσθη, ἀλλὰ νῦν ὡς ὁρᾷν ἔχω, ἀνήκοος ἐγένου καὶ ὑπερήφανος, ὡς καὶ τὸν ἀδελφὸν μὴ παραδέχεσθαι, ἀλλ' ἀπορρίπτειν αὐτόν. Ἢ τοίνυν ἔασον αὐτὸν κεῖσθαι μετὰ σοῦ, ἢ ἐὰν ἔτι τοῦτο ποιήσῃς, οὐκ ἀνέξομαί σου, ἀλλ' ἐκβαλῶσε ἐκ τοῦ μνημείου. Θεὶς οὖν αὐτὸν πάλιν ἐν τῷ τάφῳ τοῦ Ἁγίου, ἀπῆλθε. Καὶ τῇ ἐπαύριον ἐλθὼν, τὸν μὲν παρ' αὐτοῦ τεθέντα ἀδελφὸν, εὗρε κείμενον ἐν τῷ τάφῳ, τὸν δὲ ἅγιον οὐχ εὗρε. Καὶ νῦν ἔστιν ἰδεῖν τὸν τάφον κενὸν, τὴν ἐπωνυμίαν σώζοντα τοῦ Ἁγίου.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ Ὁσίου Πα-

Πατρὸς ἡμῶν Ἰακώβου τοῦ Ἀναχωρητοῦ.

ᾱ. Ὁ Ἰάκωβος ἀναχωρήσας Κόσμον, Ὑπερκόσμιον νῦν κατοικεῖ πατρίδα.

Οὗτος ὁ μακάριος Ἰάκωβος καταλαβὼν τὸ ὄρος, τὸ ὂν ἀπὸ τριάκοντα σταδίων τοῦ ἄστεος, ἐνεκαρτέρει, οὐκ ἄντρον ἔχων, οὐ σκηνὴν, οὐ καλύβην, ὡς διὰ τῶν τοιούτων τὰς ἀνάγκας τῆς φύσεως ἀποκρούσασθαι. Καὶ ταῦτα λέγω, οὐ παρ' ἄλλου μαθὼν, ἀλλ' αὐτόπτης γενόμενος. κοιλιακὸν γὰρ νόσημα ἐπελθὸν αὐτῷ ποτὲ, μόλις ἔπεισεν ἀφιέναι τοὺς προσιόντας οἴκαδε πάλιν νοστῆσαι. διδάσκων γὰρ ἦν αὐτοὺς τὸν περὶ εὐσεβείας λόγον. Ἀλλὰ καὶ ὑποχωρησάντων, ἕως ἑσπέρα κατέλαβεν, ἑαυτὸν ἐβασάνιζε, καὶ τῆς φύσεως κατεπειγούσης. Οὗτος, ὡς ἔφημεν, τὸν οὐρανὸν ἔχων ὄροφον, πρὸς ἅπαντα καρτερῶν ἦν ὡς ἐν ἀλλοτρίῳ ἀγωνιζόμενος σώματι. Τὸ δὲ σῶμα σιδήροις κατησφαλίσατο, ἔνδοθεν μὲν τριχίνοις δύω φέρουσι κύκλους, καὶ δύω χώματα ἔμπροσθέν τε καὶ ὄπισθεν, εἰς δὲ τοὺς βραχίονας ἀνὰ ἕνα. Τροφὴ δὲ αὐτῷ πρὸς ἑσπέραν, φακὸς διάβροχος. Ἐκ τούτων δὲ τῶν πόνων, τὰ τῆς θείας χάριτος ἐδρέψατο δῶρα. Ὅτι παιδίον ἀπονεκρωθὲν, τοῦ πατρὸς ἀποδυρομένου, καὶ λέγοντος πρὸς τὸν Ἅγιον, οἶδα δοῦλε τοῦ Θεοῦ ὅτι δύνασαι, μόνον μὴ κατοκνήσῃς προσεύξασθαι. Ἰδὼν ὁ Ἅγιος, καὶ τοῖς δάκρυσι τοῦ Πατρὸς ἐπικαμφθεὶς, τὸ γόνυ κλίνας, καὶ τὸν Θεὸν ἐπικαλεσάμενος, τὸν παῖδα ἀνέστησε, καὶ παρέδωκε τῷ πατρὶ αὐτοῦ ὑγιῆ. Πολλὰ μὲν οὖν τὰ τοῦ Ἁγίου ἀνδραγαθήματα, ἀλλὰ διὰ τὸ πλῆθος τὰ πολλὰ παραλείψαντες, ἑνὸς ἐπιμνησθῶμεν. Οὗτος πολλὰ πειρασθεὶς ὑπὸ τῶν δαιμόνων, εὐχῇ καὶ μόνῃ τούτους ἀπεκρούσατο. Ἀπεκόμιζε δέ τις τὸ ὕδωρ αὐτῷ μήκοθεν διὰ τῆς Ἑβδομάδος, καὶ σχηματίσας ὁ διάβολος ἑαυτὸν εἰς τὸ τοῦ Ἁγίου ὁμοίωμα, ὑπήντα κατὰ τὸ μέσον τῆς ὁδοῦ τὸν διακονητὴν, καὶ λαμβάνων τὸ ὕδωρ, ἀπέστελλεν αὐτὸν οἴκαδε. Τοῦτο ποιῶν, ἔσπευδεν ἐξ ἀνυδρίας ἀπάγξαι τὸν Ἅγιον. Ποτὲ δὲ καὶ παρὰ καιρὸν ἐλθὼν ὁ διακονητὴς, διέλαθε τὸν κακὸν συμμεριστὴν, καὶ λέγει ὁ γέρων ἰδὼν τὸν τὸ ὕδωρ διακομιζόμενον ἄνθρωπον. τί τοῦτο τέκνον; πολὺς καιρὸς διῆλθεν, ἐξ ὅτου ὕδωρ οὐ διεκόμισας, καὶ εἰς ἀγανάκτησιν οὐ μικρὰν ἤλθομεν ἐξ ἀνυδρίας. Ὁ δὲ, ἀεί ποτε Πάτερ, φησὶ, κατὰ τὴν ὡρισμένην ὥραν καὶ ἡμέραν ἀποκομίζω τὸ ὕδωρ, ἀλλὰ συναντῶν μοι ποτὲ μὲν εἰς τόνδε τὸν τόπον, ποτὲ δὲ εἰς τόνδε, οὐ συνεχώρεις μοι ἐλθεῖν ὧδε. Ὁ Ἅγιος πρὸς αὐτόν· ἀπὸ τοῦ νῦν, κἂν μυριάκις με ἴδῃς συναντῶντά σοι καὶ κωλύοντά σε, ἢ ἐπιτιμῶντά σοι τέκνον, μή μοι δὸς τὸ σκεῦος, ἕως εἰς τοῦτον ἀφίκῃ τὸν τόπον. Οὕτω καλῶς ἠγωνίσατο, καὶ μέγας θαυματουργὸς γενόμενος, ἀπῆλθε πρὸς Κύριον εὐφραινόμενος.

Τῇ αὐτῇ ἡμέρᾳ, Τοῦ Ὁσίου Πατρὸς ἡμῶν Νίκωνος τοῦ Μετανοεῖτε.

ᾱ. Οἱ Λακεδαίμων, οὐδαμῶς δαίμων λάκοι.

Σοβεῖ γὰρ αὐτὸν τοῖς τεραστίοις Νίκων.

Οὗτος ἐκ τῆς τῶν Ἁρμενίων ὥρμητο χώρας, Μεγιστάνου τινὸς Υἱὸς ὑπάρχων. Τῆς θείας οὖν φωνῆς ἀκούσας τῆς λεγούσης, πᾶς ὃς ἀφῆκε πατέρα, ἢ μητέρα, καὶ τὰ ἑξῆς, καταλιπὼν πάντα, παραγίνεται ἐν τινι μοναστηρίῳ, ἐν ᾧ πᾶσαν καὶ παντοίαν ἄσκησιν ἐπεδείξατο, καὶ πάντας τοὺς πρὸ αὐτοῦ τῇ ἄκρᾳ σκληραγωγίᾳ ὑπερέβη. Ἐπεὶ δὲ εἰς γνῶσιν ἦλθε τῷ ἑαυτοῦ πατρὶ, ἀνηρευνῶντο παρ' αὐτοῦ τὰ τῶν μοναστῶν καταγώγια. Αὐτὸς δὲ ἐξελθὼν ἐκεῖθεν, περιήρχετο πᾶσαν ἑώαν, τὸ, Μετανοεῖτε, βοῶν. Ἐντεῦθεν καὶ τὴν ἐπίκλησιν ἔσχε τοῦ Μετανοεῖτε. Περιελθὼν δὲ καὶ τὴν τῶν Κρητῶν νῆσον, καὶ τὴν Πέλοπος, καὶ πάσας πόλεις καὶ χώρας περινοστησάμενος, ὕστερον παρεγένετο ἐν πόλει Λακώνων. Ἐν ᾗ παντοῖα θαύματα ἐνδειξάμενος, ναὸν ἀνεστήλωσε Χριστῷ τῷ Σωτῆρι ἡμῶν. Ἐν ᾧ μονάσας

μέ-

μέχρι τέλους, ἀπῆλθε πρὸς ὃν ἐπόθει, τὸν Στέφανον τῆς ἀσκήσεως εἰληφὼς παρ' αὐτοῦ.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ Ὁσίου Πατρὸς ἡμῶν Σίλου Ἐπισκόπου Κορίνθου, τῆς Περσίδος.

Καὶ τὰ Ἐγκαίνια τοῦ Ἁγίου Γεωργίου, ἐν τῷ Κυπαρίσσῳ.

Ταῖς αὐτῶν ἁγίαις πρεσβείαις, ὁ Θεός.

Ὠδὴ, ζ'. Ὁ ὑπερυψούμενος.

Ὁ καρτερικώτατος, καὶ στερρὸς Ἀλύπιος, χρόνοις ἐπὶ πλείοσι, κρύει πιεζόμενος, τοῦ Πνεύματος τῇ θάλψει, ἐθάλπετο παραδόξως.

Ὕψος πρὸς οὐράνιον, ἔχων τὸ πολίτευμα, σώματος ἠλόγησας, ὡς φθείρεσθαι μέλλοντος, καὶ τούτου σημαίνου, οὐκ ἐφρόντισας τοῖς πόνοις.

Πᾶσαν ἡδυπάθειαν, Πάτερ ἀρνησάμενος, τῷ κρύει καὶ καύσωνι, παλαίων ἐνήθλησας, αἴθριος ἀναμέλπων· ὁ Θεὸς εὐλογητὸς εἶ. Θεοτοκίον.

Ὁ ἀπεριόριστος, σάρκα ἀνελάβετο, ἔννουν τε καὶ ἔμψυχον, ἐκ σοῦ Ἀειπάρθενε, τοῦ σῶσαι τοὺς βοῶντας· ὁ Θεὸς εὐλογητὸς εἶ.

Ἄλλος. Οἱ ἐκ τῆς Ἰουδαίας.

Ὡς ἐν ἅρματι Πάτερ, ἀρετῶν τετρακτύϊ σὺ ἐποχούμενος, ἀνέδραμες εἰς ὕψος, Ἠλίας ὥσπερ ἄλλος, μελῳδῶν τῷ Σωτῆρί σου· ὁ τῶν Πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

Δηλωτὴν ὥσπερ ἄλλον, τοῖς ποθοῦσί σε Πάτερ τὸ ῥάκος ἔλιπες. ἐν ᾧ σου τὸ σαρκίον, ἐκτρύχων, καὶ πιέζων, τὴν ψυχὴν διανέπαυες, ὁ τῶν Πατέρων βοῶν, Θεὸς εὐλογητὸς εἶ. Θεοτοκίον.

Σοφίας ἔμπλησον πάντας, καὶ δυνάμεως θείας ἡ ἐνυπόστατος, Σοφία τοῦ Ὑψίστου, διὰ τῆς Θεοτόκου, τοὺς ἐν πίστει σοι ψάλλοντας· ὁ τῶν Πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

Ὠδὴ, η'. Σοὶ τῷ παντουργῷ.

Νέος Σαμουὴλ, προθεωρῶν τὸ μέλλον, νοὸς καθαρότητι, ὤφθης Ἀλύπιε, πᾶσι προλέγων, ὡς ἄνθεος Προφήτης, τὰ ὑπὸ Κυρίου, δηλούμενά σοι Πάτερ.

Ὁ φωτοειδὴς, τῆς Ἐκκλησίας στύλος, ὁ πύργος ὁ ἄσειστος, τεῖχος τὸ ἄρρηκτον, πάντων ἀνθρώπων, Θεῷ πεπιστευκότων, ὁ Χριστοῦ θεράπων, Ἀλύπιος τιμάσθω.

Ὕπνωσας καλῶς, ὕπνον δικαίοις Πάτερ, πᾶσιν ὀφειλόμενον, κοιμίσας πρότερον, πάθη ποικίλα, ἐντεύξεσιν ἀλρύπνοις. ὅθεν σε προστάτην, ἄλρυπνον νῦν πλουτοῦμεν.

Θεοτοκίον.

Σοῦ ὁ τοκετὸς, τὴν τικτομένην βλάβην, κακίᾳ τοῦ ὄφεως, νῦν ἀπεστείρωσε, μόνη κατάρας, ἀναίρεσις Παρθένε. ὅθεν σε τιμῶμεν, εἰς πάντας τοὺς αἰῶνας.

Ἄλλος. Ἐπταπλασίως κάμινον.

Τὸ καθαρὸν καὶ ἄσπιλον, τῆς ψυχῆς περιβόλαιον, τὸ καρτερικὸν, καὶ ἀπαθὲς σαρκίον σου, ὡς θεῖον θησαύρισμα, ἡ Λακεδαίμων φέρουσα, καὶ σωματικῶν, καὶ ψυχικῶν ἀλγημάτων, τὴν ῥῶσιν ἐξαιτεῖται, μελῳδοῦσα συμφώνως· λαὸς ὑπερυψοῦτε, Χριστὸν εἰς τοὺς αἰῶνας.

Πῶν ἰαμάτων χάριτας, ἡ σορὸς ἀναβλύζουσα, πᾶσαν νοσημάτων, καὶ παθῶν ἐπήρειαν, παντοίαν τε κάκωσιν, καὶ μαλακίαν ἅπασαν, πάντων θεραπεύει, τῶν πιστῶς μελῳδούντων· οἱ Παῖδες εὐλογεῖτε, Ἱερεῖς ἀνυμνεῖτε, λαὸς ὑπερυψοῦτε, Χριστὸν εἰς τοὺς αἰῶνας.

Ὑπὲρ ἡμῶν ἱλέωσαι, τὸν Σωτῆρα καὶ Κύριον, τῶν καταφευγόντων, τῇ σῇ σκέπῃ Ὅσιε, ὡς νίκης ἐπώνυμος, καὶ Θεῷ παριστάμενος, πάσης λυτρωθῆναι, τῶν ἐχθρῶν κακουργίας, δαιμόνων ἐπηρείας, καὶ ἀνάγκης καὶ νόσου, τοὺς πίστει σε ὑμνοῦντας, εἰς πάντας τοὺς αἰῶνας.

Θεοτοκίον.

Νοῦς ἐξειπεῖν οὐ δύναται, τὸ φρικτὸν τῆς λοχείας σου, πῶς καὶ παρθενεύεις, μετὰ τόκον ἄχραντε, ὡς μόνος ἐπίσταται, ὁ τῶν ἁπάντων Κύριος. ὃν ἱλεουμένη, μὴ ἐλλίπῃς Παρθένε, σωθῆναι τοὺς ἐν πίστει,

ϛει, τῷ Υἱῷσου βοῶντας λαὸς ὑπερυψοῦτε, Χριϛὸν εἰς τοὺς αἰῶνας.

Ὁ Εἱρμός.

Ἑπταπλασίως κάμινον τῶν Χαλδαίων.

Ὠδὴ, θ'. Ησαΐα χόρευε.

Ἱερὸς ὁ βίος σου, ἐκ σπαργάνων, ὤφθη τῷ Θεῷ, λαμπόμενος ἀρετῶν, μάκαρ τῷ φωτί. τίμιος ὁ θάνατος, ἐναντίον γέγονε Χριϛοῦ, Πάτερ Ἀλύπιε, μοναζόντων ἀκροθήνιον.

Ὡς φωϛὴρ ὑπέρλαμπρος, καταυγάζεις, ἅπασαν τὴν γῆν, ἐλαύνων τὴν πονηρὰν, νύκτα τῶν παθῶν, καὶ λύων σκοτόμαιναν, τῶν δαιμόνων, καὶ φωταγωγῶν, θείαις λαμπρότησιν, ἰαμάτων πάντας Ὅσιε.

Ἐτάσιν ἐπὶ κίονος, ἐποιήσω, ἔτεσι σοφὲ, ἑξήκοντα πρὸς ἑπτὰ, οἷα Ἀθλητὴς, ἀθλῶν προθυμώτατα, καὶ τῷ κρύει, καὶ τῷ παγετῷ, Πάτερ καὶ καύσωνι, ἀνενδότως πιεζόμενος.

Ἡ ἁγία μνήμησου, τῷ Ἁγίῳ Πνεύματι ἡμᾶς, καθαγιάζει σοφὲ, ταύτην ἱερῶς, τελοῦντας καὶ πίϛεισε, ἀνυμνοῦντας, Πάτερ ἐν αὐτῇ, ὡς ἀντιλήπτορα, καὶ προϛάτην τῶν ψυχῶν ἡμῶν.

Θεοτοκίον.

Φωτισμόν μοι δώρησαι, τῷ ἐν σκότει ὄντι τῶν παθῶν, καὶ ῥῦσαί με πονηρῶν, ἔργων καὶ φλογὸς, ἐναποκειμένης μοι, τῷ ἀθλίῳ, καὶ ἁμαρτωλῷ, Ἄχραντε Δέσποινα, προϛασία τῶν ὑμνούντων σε.

Ἄλλος. Ἐξέϛη ἐπὶ τούτῳ ὁ Οὐρανός.

Ἀμέσως ἀπολαύων Πάτερ ζωῆς, ὑπὲρ ἧς ἠγωνίσω πρὸς δυνάμιν, ἐπὶ τῆς γῆς, βίῳ διαπρέψας ἀγγελικῷ, καὶ μεταβὰς μακάριε, Νίκων πρὸς αὔλους διαμονὰς, σωθῆναι Θεοφόρε, δυσώπει τοὺς ἐν πίϛει, ἐν τῷ Ναῷσου προσεδρεύοντας.

Ἀγάλλῃ σὺν Ἀγγέλοις ἐν Οὐρανῷ, τῷ τῶν ὅλων Θεῷ παριϛάμενος, καὶ ἐπὶ γῆς, βρύει σου ἡ θήκη τὰς δωρεάς. ἐν ᾗ σεπτῶς κατάκειται, σῶμά σου τὸ ἅγιον καὶ σεπτὸν, τοῖς πόθῳ προσιοῦσι, καὶ φόβῳ ἁπτόμενοις, Νίκων παμμάκαρ τῶν λειψάνων σου.

Θεοτοκίον.

Ἐν σοὶ τῆς παρθενίας τὸ καθαρὸν, ἐτιμήθη Μαρία πανύμνητε. σὺ γὰρ Θεὸν, μόνη συλλαβοῦσα ἄνευ σπορᾶς, σεσαρκωμένον τέτοκας, μείνασα Παρθένος παναληθής. διόσε Θεοτόκον, κυρίως ἀνυμνοῦμεν, καὶ προσκυνοῦμεν καὶ δοξάζομεν.

Ὁ Εἱρμός. Ἐξέϛη ἐπὶ τούτῳ ὁ Οὐρανός.

Ἔξαποϛ. Τοῦ Ἁγίου Ἀλυπίου.

Γυναῖκες ἀκουτίσθητε.

Ἀγῶνας ὑπὲρ ἄνθρωπον, μετῆλθες Πάτερ Ὅσιε, τῇ τοῦ Χριϛοῦ δυναϛείᾳ. πεντήκοντα πρὸς τρισὶ γὰρ, ἔτεσιν ἐπὶ κίονος, ἔϛης σοφὲ Ἀλύπιε, πάντοθεν πιεζόμενος, καὶ νῦν τὸ ἔσχατον μάκαρ, τῶν ἀγαθῶν πάντων εὗρες.

Ἕτερον, τοῦ Ἁγίου Νίκωνος.

Ὁ Οὐρανὸν τοῖς ἄϛροις.

Ἡ θήκη ἔνθα σου κεῖται, τὸ εὐκλεέϛα, τὸν σῶμα, χάριτας βλύζει τοῖς πᾶσι, τῶν ἰαμάτων δαψιλῶς, τοῖς προσιοῦσιν ἐν πίϛει, Νίκων ἀεὶ Θεοφόρε.

Θεοτοκίον.

Αἱ τῶν Ἀγγέλων πᾶσαι, καὶ Ἀρχαγγέλων χορεῖαι, ἀνευφημοῦσί σε Κόρη, Μήτηρ Θεοῦ τοῦ ὑψίϛου, καὶ τῶν βροτῶν ἅπαν γένος, δοξολογοῦμέν σε πόθῳ.

Εἰς τοὺς Αἴνους, οἱ προσόμοια τοῦ Ἁγίου Νίκωνος, ἦχος, α'.

Τῶν οὐρανίων ταγμάτων.

Τῶν ἐφετῶν ἀπολαύων, ἀμέσως Ὅσιε, τῶν ἐπὶ γῆς φωτίζεις, πάντων τὰς διανοίας, ἐν πίϛει ἐκτελούντων, μνήμην τὴν σὴν, Θεοφόρε Πατὴρ ἡμῶν, καὶ τῷ Ναῷσου τῷ θείῳ πανευσεβῶς, ἀθροισθέντων παμμακάριϛε.

Εὐ τοῦ Προδρόμου τὸν ζῆλον ἐκμιμησάμενος, Μετανοεῖτε πᾶσιν, ἀνεβόας παμμάκαρ, ἐξ ὅλης τῆς καρδίας. ἡ γὰρ Χριϛοῦ, βασιλεία ἐφέϛηκεν. ὃν ἐκδυσώπει ἀπαύϛως ὑπὲρ ἡμῶν, τῶν ἐν πίϛει δοξαζόντων σε.

Ἐκ τῆς Ἑώας εἰς Δύσιν, Πάτερ διέδραμες, καὶ μετανοίας πάντας, κατεπύρσευσας λόγοις, ὡς ἄλλον Μωϋσῆν δὲ, Πόλις

λις ἡ σὴ, Λακεδαίμων ἐγμώρισε. τὴν γὰρ παθῶν ἀποτέμνεις Αἴγυπτον μὲν, μεταμοίας τοῖς διδάγμασιν.

Δὶς τερμύτες τὸ α'.

Δόξα, ἦχος, πλ. β'.

Ὅσιε Πάτερ εἰς πᾶσαν τὴν γῆν, ἐξῆλθεν ὁ φθόγγος τῆς κατορθωμάτων σου. διὸ ἐν τοῖς Οὐρανοῖς, εὗρες μισθὸν τῆς καμάτων σου. τῆς Δαιμόνων ἔλυσας τὰς φάλαγγας, τῆς Ἀγγέλων ἔφθασας τὰ τάγματα, ὧν τὸν βίον ἀμέμπτως ἐζήλωσας. παῤῥησίαν ἔχων ἐν τῇ μνήμῃ σου, εἰρήνην αἴτησαι τοῖς ψυχαῖς ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον.

Μεταβολὴν τῆς θλιβομένων, ἀπαλλαγὴν τῆς ἀθυμούντων, ὑπάρχουσα Θεοτόκε Παρθένε. σῶζε Πόλιν καὶ λαὸν, τῆς πολεμουμένων ἡ εἰρήνη, τῆς χειμαζομένων ἡ γαλήνη, ἡ μόνη προστασία τῆς πιστῶν.

Ἡ Σταυροθεοτοκίον.

Τὴν ἡμέρος αἰτίαν Χριστέ.

Ἡ παναγία ὡς εἶδέ σε, ἐπὶ Σταυροῦ κρεμάμενον, θρηνῳδοῦσα, ἀνεβόα μητρικῶς· Τέκνον καὶ Θεέ μου, γλυκύτατόν μου τέκνον, πῶς φέρεις πάθος ἐπονείδιστον;

Ἡ λοιπὴ Ἀκολουθία τῆς Ὄρθρου, καὶ Ἀπόλυσις.

Τῷ αὐτῷ Μηνὶ, ΚΖ.

Τοῦ Ἁγίου Μεγαλομάρτυρος Ἰακώβου τοῦ Περσοῦ.

Ἑωσφόρος εἰς τὸ, Κύριε ἐκέκραξα, ἱστόμενα ιε'. καὶ ψαλλόμενα ιε'. προσόμοια,

ἦχος, β'.

Ὅτε, ἐκ τοῦ ξύλου σε.

Κόσμου, τὰ τερπνὰ καταλιπὼν, γένους περιφανείαν πλοῦτον, καὶ ὡραιότητα, πᾶσαν τε τὴν αἴσθησιν, ἀπαρνησάμενος, καὶ τὸ σῶμα τεμνόμενος, παθῶν ἐκμιμήσεως, χαίρων ἠκολούθησας, Χριστῷ Ἰάκωβε. ὡς ὤν, κοσμικῶν παθημάτων, ἀξίως ἐλεύθερος ἐκ τῆς Βασιλείας μὲν συμμέτοχος

Θέλη, θεριζόμενος σαρκὸς, καὶ τὰς ἀφορήτους ὀδύνας, τῷ αἰκισμῷ καρτερῶν, Μάρτυς ἀξιάγαστε, Χριστῷ Ἰάκωβε, καὶ τυραννίδα ἐμότητα, πατήσας ἀνδρείως, μίσους τὸν πολύτιμον, σέφανον εἴληφας. ὦ μῦ, ἐγκοσμιόμενος Μάκαρ, θείῳ τῷ Δεσπότῃ θρόνῳ, μὴ τῷ σωθήλωσε παρίστασαι.

Ἔχων, παῤῥησίαν πρὸς Χριστὸν, παύτων τῷ ἐμπίσει τελέντων, τὴν σὴν σεπτὴν ἑορτὴν, Μάρτυς παναοίδιμε, θερμῶς προστασα, τῷ κινδύνῳ ῥυόμενος, παθῶν ἀπαλλάττων, πάσης περιστάσεως, δεινῶν λυτρούμενος, μέμνων καὶ ψυχῶν σωτηρίαν, θείαις σου ἐντεύξεσιν ὅπως, τὰς λαμπρὰς ἀγῶνάς σε δοξάζωμεν.

Δόξα, ἦχος, β', Τοῦ Στιχηρά.

Καρτερῶν ἐν ἀθλήσει, Μάρτυς Ἰάκωβε, τὸ σῶμά σου παρέδωκας διὰ Χριστὸν τὸν Θεόν· καὶ μελιζόμενος χεῖρας καὶ μηρὰς, καὶ βραχίονας καὶ κνήμας καὶ τὰς δακτύλους, καὶ τελευταῖον τὴν κάρησιν, ἀνέπτασαι ἐν Οὐρανοῖς, συμβασιλεύων τῷ Βασιλεῖ τῶν πάντων. διὸ ἀθλήσεων κράτιστε, μὴ διαλίπῃς ἱκετεύων, τῶν σωθῆναι τὰς ψυχὰς ἡμῶν, ἐκ πάσης βλάβης τῶν ἀλλοτρίων.

Καὶ νῦν. Θεοτοκίον.

Ὅτε, ἐκ τοῦ ξύλου σε.

Θεόμην, τὸν ἀχώρητον Θεὸν, ἀσπορεὶ χωρήτως ἐν μήτρᾳ, ἐχυφόρησας, ἄνθρωπον γενόμενον δι' ἀγαθότητα, Παναγία Θεόνυμφε. Διὸ δυσωπῶσε, τῷ σεμνοχωρήτῳ σε παθῶν ἀπαλλαξον, ὅπως τὴν σεμνὴν καὶ ἀθέαν, πρέσβυν διοδεύσας προφθάσω, τὸν ἐπὶ ζωῇ Παρθένε φέρουσαν. Σταυροθ. Ὅμοιον.

Ὅτε, ἡ ἀμίαντος ἀμνὰς, ἔβλεψε τὸν ἴδιον ἄρνα, ἐπὶ σφαγὴν ὡς βροτὸν, θέλοντα ἑλκόμενον, θρηνοῦσα ἔλεγεν· ἀτεκνώσαι μὲ ἀσπόνδως με, Χριστὲ τὸν τεκόσαν σε; τί τοῦτο πεποίηκας, ὁ λυτρωτὴς τῶν πάντων; ὅμως, ἀμνόν σε καὶ δοξάζω, σὸν τὸν ὑπὲρ μέτρον καὶ λόγον, ἄκραν ἀγαθότητα φιλάνθρωπε.

Εἰς τὸν ϛι. ϛι. τῆς Ὀκτωήχου.
Δόξα, ἦχος, π. α.

Ἐθαυμαστώθης Ἰάκωβε, ἐν ταῖς βασάνοις πάσαις μακροθυμήσας. τῶν γὰρ δακτύλων καὶ τῶν χειρῶν, καὶ βραχιόνων ἐκκοπέντων σου, ὁμοίως καὶ ποδῶν καὶ κνημίδων σου, μέχρι μηρῶν ἐκαρτέρησας. λοιπὸν ἀχομένου σου, καὶ τὴν σεπτήν σου κάραν ἀπέτεμον, Μάρτυς πολύαθλε, ὑπὲρ ἡμῶν μὴ παύσῃ Χριστὸν δεόμενος, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. θν. Χαίροις ἀσκητικῶν.

Χαίροις ἡ καλλονὴ Ἰακὼβ, ἣν ἐξελέξατο Θεὸς, ἣν ἠγάπησεν. ἡ θύρα τῶν σωζομένων, ἡ φλογοφόρος λαβὶς, τῆς ἀρᾶς ἡ λύσις παντευλόγητε. γαστὴρ θεοχώρητε, πεπτωκότων ἀνόρθωσις, ἁγιωτέρα, Χερουβὶμ καὶ τῆς κτίσεως, ὑπερέχουσα, δυσθεώρητον ὅραμα. ἄκουσμα τὸ καινότατον, ἀνέκφραστον λάλημα, ἅρμα τοῦ Λόγου νεφέλη, ἐξ ἧς ἀνέτειλεν Ἥλιος, Χριστὸς καταυγάζων, τοὺς ἐν σκότει καὶ παρέχων, τὸ μέγα ἔλεος.

Σταυροθεοτοκίον. Ὅμοιον.

Ἄρνα τὸν ἑαυτῆς ἡ ἀμνὰς, ποτὲ ὁρῶσα, πρὸς σφαγὴν ἐπειγόμενον, προθύμως κατηκολούθει, ταῦτα βοῶσα αὐτῷ. ποῦ πορεύῃ Τέκνον μου γλυκύτατον; Χριστὲ τίνος χάριν, τὸν δρόμον τοῦτον πεποίησαι; μήτοιγε γάμος, ἐν Κανᾷ πάλιν ἕτερος, οἶνον ὅπου πρὶν, ἐξ ὑδάτων τετέλεκας; δός μοι λόγον τῇ δούλῃ σου, Υἱέ μου παμφίλτατε, μή με παρίδῃς Οἰκτίρμων, σιγῶν ἐπὶ τὴν τεκοῦσάν σε, Θεὲ ὑπὲρ λόγον, ἀδωρούμενος τῷ κόσμῳ, τὸ μέγα ἔλεος.

Ἀπολυτίκιον. ἦχος, δ.

Ὁ Μάρτυς σου Κύριε.
Εἰς τὸν Ὄρθρον μετὰ τὴν συνήθη ϛιλ.
Οἱ Κανόνες τῆς Ὀκτωήχου, καὶ τοῦ Ἁγίου.
Οὗ ἡ ἀκροστιχίς.
Τὸν Πέρσην Ἰάκωβον ἐν ᾄσμασι Μάρτυρα μέλπω.

Ὠδὴ, α. ἦχος, β. Δεῦτε λαοί.

Τῷ τοῦ Χριστοῦ, βήματι νῦν παριστάμενος, στεφανηφόρος ἔνδοξε, Μάρτυς Ἰάκωβε, φωτοφόρον μοι αἴγλην, καὶ χάριν οὐρανόθεν, δίδου πρεσβείαις σου.

Ὄρθρος ἡμῖν, ἔλαμψας ὥσπερ πολύφωτος, Ἀνατολῆς ὁρμώμενος, καὶ κατελάμπρυνας, τὴν Χριστοῦ Ἐκκλησίαν, λαμπρότητι τῶν ἄθλων, μάκαρ Ἰάκωβε.

Νεανικὴν, ἔνστασιν ἐπιδειξάμενος, ὡς νικητὴς ἠξίωσαι, τῆς ἀναῤῥήσεως, καὶ τελείων ἐπάθλων, καὶ δόξης αἰωνίου, Μάρτυς Ἰάκωβε. θν.

Προφητικαὶ, σάλπιγγες σὲ προηγόρευσαν, τὸ ἐπὶ σοὶ Μυστήριον, μυσταγωγούμεναι, Θεοτόκε Παρθένε, καὶ πόῤῥωθεν ὁρῶσαι, τὰ σὰ θαυμάσια.

Ὠδὴ, γ. Στερέωσον ἡμᾶς.

Ἐγένου ἐκλεκτὴ Χριστοῦ ὡς ἄμπελος, δρεπανὴ βασάνων καθαιρουμένη, καὶ πολὺν τὸν καρπὸν φέρουσα, τοῖς λιμοῖς τοῦ Σωτῆρος προσαγόμενος.

Ῥεόντων τὸ φθαρτὸν καὶ ἀδιάλυτον, παρεῖδες ἐμφρόνως στεφανηφόρε, ὡς ἀγχίνους δὲ προέκρινας, τῶν ἀεὶ προσμενόντων τὸ ἀσάλευτον.

Στεφάνους σοι λαμπροὺς κατατεμνόμενον, τὸ σῶμα ὠμότητι τῶν Τυράννων, προεξέμησεν Ἰάκωβε, καὶ τρυφῆς Παραδείσου τὴν ἀπόλαυσιν. θν.

Ἠλέηται σαφῶς διὰ τοῦ τόκου σου, τοῦ θείου Παρθένε ἡ ἀνθρωπότης, ἐνωθεῖσα καθ' ὑπόστασιν, τῷ Δεσπότῃ τῶν ὅλων Θεονύμφευτε. Ὁ Εἱρμός.

„ Στερέωσον ἡμᾶς ἐν σοὶ Κύριε, ὁ Ξύλῳ
„ νεκρώσας τὴν ἁμαρτίαν, καὶ τὸν φό-
„ βον σου ἐμφύτευσον, εἰς τὰς καρδίας ἡ-
„ μῶν τῶν ὑμνούντων σε.

κα. ἦχος, πλ. Τὴν σοφίαν καὶ Λόγον.

Ἐκ Περσίδος Ἀστέρα νεοφανῆ, ὁ Χριστὸς ἀνατείλας τοῖς ἐπὶ γῆς, τὸν θεῖον Ἰάκωβον, καὶ ἀοίδιμον Μάρτυρα, δι' αὐτοῦ τὸν ζόφον, τῆς πλάνης ἀπήλασε, καὶ τοῖς πιστοῖς τὴν χάριν, τοῦ Πνεύματος ἔλαμψεν. ὅθεν, οἱ τὴν μνήμην, τὴν αὐτοῦ ἐκτελοῦντες, πιστῶς ἑορτάσωμεν, καὶ βοήσωμεν λέγοντες, Ἀθλοφόρε πολύαθλε, πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν

πται-

πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ, τὴν ἁγίαν μνήμην σου.

Θεοτοκίον. Ὁμοίον.

Ψὴν ψυχὴν μου Παρθένε τὴν ταπεινὴν, ἀπὸ βρέφους μολύνας ὁ μιαρὸς, καὶ λόγοις καὶ πράξεσιν, ἐμαυτὸν κατερρύπωσα, καὶ οὐκ ἔχω τί πρᾶξαι, ἢ πῦ καταφεύξασθαι, ἀλλ' οὐδ' ἄλλην ἐλπίδα, πλὴν σοῦ Κόρη ἐπίσταμαι. φεῦ μοι ὁ ἀχρεῖος, διὰ τοῦτο οἰκέτης, πρὸς σὲ τὴν παναχραντον, νῦν προστρέχω καὶ δέομαι, ὁμολογῶν σοι τὸ Ἥμαρτον, πρέσβευε τῷ σῷ Υἱῷ, καὶ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δοθῆναί μοι. εἰς σὲ γὰρ πᾶσαν ἐλπίδα ἀνέθηκα.

Σταυροθεοτοκίον. Ὅμοιον.

Ψὸν Θεὸν καὶ Δεσπότην καὶ λυτρωτὴν, ἡ Ἁγνὴ θεωροῦσα ἐν τῷ Σταυρῷ, ἀδίκως κρεμάμενον, θρηνῳδοῦσα ἐβόα σοι· ὁ μὲν Κόσμος εὐφραίνεται, δεχόμενος τὴν λύτρωσιν, τὰ δὲ σπλάγχνα μου φλέγονται, ὁρώσης σου τὴν νέκρωσιν. ἧπερ ὑπομένεις, διὰ σπλάγχνα ἐλέους, Θεὲ ὑπεράγαθε, ἀνεξίκακε Κύριε. ἀλλὰ σπεῦσον ἀνάστηθι, ἐκ νεκρῶν ὦ φιλάνθρωπε, καὶ λύτρωσαι τὴν ποίμνην σου, ἐκ πάσης περιστάσεως.

Ὠδὴ, δ. Ἐ ἰσακήκοα Κύριε.

Νενευρωμένος ἔνδοξε, τῇ ἐκ Θεοῦ, δοθείσῃ πανοπλίᾳ, πυρσολατρῶν πᾶσαν, πλάνην κατέφλεξας.

Ἱλασμὸν ἡμῖν αἴτησαι, τοῖς τὴν σεπτὴν, σοῦ μνήμην ἐκτελοῦσι, παρρησίαν ἔχων, Μάρτυς Γάκωβε.

Ἀπορρέοντος αἵματος, οἱ ὀχετοὶ, τῶν σῶν μελῶν τρισμάκαρ, τὴν τῆς πλάνης φλόγα, πᾶσαν κατέσβεσαν.

Θεοτοκίον.

Κυβέρνησόν μου Πάναγνε, τοὺς λογισμοὺς, πρὸς εὔδιον λιμένα, τῆς σῆς ἀπαθείας, καὶ καθαρότητος.

Ὠδὴ, ε. Ὁ τοῦ φωτὸς χορηγός.

Ὥσπερ τις γῆ ἀγαθὴ, καὶ καρποφόρος ἀληθῶς γέγονας, τῷ τῶν πικρῶν, βασάνων ἀρότρῳ, τεμνόμενος σοφὲ, πολύχουν τῷ Κτίστῃ, προσφέρων γεώργιον.

Βέλη παράριστε, πεπυρωμένα τοῦ ἐχθροῦ ἔσβεσας, λύθρῳ τῶν σῶν, κοπέντων τρισμάκαρ, σώματος μελῶν. ἐλπίδι γὰρ ὤφθης, καὶ πίστει φραξάμενος.

Ὁλοκαρπούμενος, ὡς ἱερεῖον τῷ Χριστῷ πάνσοφε, τῶν σῶν μελῶν, δεινῶς κοπτομένων, κατάλληλον ὠδὴν, καὶ πρόσφορον ὕμνον, ἑκάστῳ προσέφερες.

Νέμοις καθάρσιον, τῶν τῆς ψυχῆς μου μολυσμῶν ἔνδοξε, Μάρτυς Χριστοῦ, τὰς σὰς ἀλγηδόνας, ἀντίλυτρον διδοὺς, καὶ τοὺς τῶν αἱμάτων, κρουνούς σου πανεύφημε.

Θεοτοκίον.

Ἐπαληθεύουσαν, τῷ σεβασμίῳ καὶ φρικτῷ τόκῳ σου, καὶ τὴν φωνὴν, καρδίᾳ καὶ γλώσσῃ, προσάπτοντες τρανῶς, σὲ νῦν Θεοτόκον, ἁγνὴν ὀνομάζομεν.

Ὠδὴ, ς. Ἐν ἀβύσσῳ πταισμάτων.

Νουθεσίαν ἐμφρόνως δεξάμενος, τῶν οἰκειοτάτων σου, χαίρων ἐχώρησας, πρὸς τοὺς ἀγῶνας ἔνδοξε, καὶ στεφάνους τῆς νίκης ἀπείληφας.

Ἀλλοτρίῳ καθάπερ ἐν σώματι, πάσχων ἐκαρτέρησας, Μάρτυς Γάκωβε, καὶ μελῳδὸν κοπτόμενος, τῷ Δεσπότῃ τὸν ὕμνον ἀνέπεμπες.

Σωτηρίου προδήλως ἱμάτιον, καὶ τῆς εὐφροσύνης, χιτῶνα δι' αἵματος, τοῦ σοῦ βαφέντος πάνσοφε, νικηφόρος ὡς Μάρτυς ἐνδέδυσαι.

Μαρτυρίου τὸν δίαυλον ἤνυσας. ὅθεν ἱερόνικον, στέφανον εἴληφας, καὶ νῦν Μαρτύρων τάγμασι, συγχορεύεις Γάκωβε ἔνδοξε.

Θεοτοκίον.

Ἀπειράνδρως Παρθένε ἐκύησας, καὶ διαιωνίζεις, Παρθένος ἐμφαίνουσα, τῆς ἀληθοῦς Θεότητος, τοῦ Υἱοῦ καὶ Θεοῦ σου τὰ σύμβολα.

Ὁ Εἱρμος.

„Ἐν ἀβύσσῳ πταισμάτων κυκλούμενος, „τὴν ἀνεξιχνίαστον τῆς Εὐσπλαγ„χνίας σου, ἐπικαλοῦμαι ἄβυσσον. ἐκ „φθορᾶς ὁ Θεός με ἀνάγαγε.

Κοντάκ. ἠχ. β. Τὰ ἄνω ζητῶν.

Πεισθεὶς τῇ καλῇ, συζύγῳ καρτερόψυχε, καὶ τὸ φοβερὸν, κριτήριον φοβύ-

βάμενος, τῶν Περσῶν τὸ φρόνημα, ἐ τὸν φόβον, Γάκωβε κατέπτυσας, ἐ ἀ-
μεδείχθης Μάρτυς Θαυμαστὸς, τὸ σῶμα ὡς κλῆμα τεμνόμενος. Ὁ Οἶκος.

Ἀπὸ ψυχῆς σεμάξωμεν πάντες, δά-
κρυα ἐκχέοντες, καθορῶντες πι-
κρῶς τὸν Μαρτυρα μελιζόμενον. δίκλω
κυμῶν γὰρ ὠρυομένων, συνελθόντες οἱ δή-
μιοι, τὰ μέλη κατετίτρωσκον τῷ Θαυμα-
στῷ, ἐ γεμίσαι ὦ Μάρτυσι Μάρτυρος. Τίς
ἦν ὑπάρχει, ἄξιπω, εἰ δοκεῖ, μικρὸν
ὑπομείνατε, ἐ λέξω πάντα μὴ σιωπῆς,
πῶς ἀνθημερὸν θανάτου δέδωκε, τὸ σῶ-
μα ὡς κλῆμα τεμνόμενος.

Τῷ αὐτῷ Μηνὶ, ΚΖ'. Ἀθλησις τῆς Ἁ-
γίας Μεγαλομάρτυρος Γακώβης τῆς Πέρσ.

Ὁ. Γλυκασθεὶς μελισδόν, ἐ σφαγὴν Πέρσης
φέρων,
Ψυχὴ σεσώσθω, φρυδάμοι μέλη λέγει.
Εἰκάδι Πέρσης ἑβδομάτῃ σφαγὴν ἐκμε-
λισθείς.

Οὗτος ἐπὶ Ὁμορίου ἐ Ἀρκαδίου τῶν
Βασιλέων, Χριστιανὸς ὢν ἐκ προγό-
νων, οἰκῶν ἐν Βηθλαβᾷ τῇ πόλει, ἐν χώ-
ρᾳ τῶν Ἐλληνίων, γένους ὑπάρχων ἐ περι-
φανοῦς, ἐ παρὰ τοῦ Βασιλέως Εἰσδι-
γέρδου τιμώμενος. Διὰ δὲ τοῦτο, τῷ παρὰ
τοῦ Βασιλέως σφόδρα φιλεῖσθαι Περσῶν,
ἀπέχθη τῶν τῶν Χριστιανῶν Πίστεως, ἐ
συνεφελκύσθη τῷ Βασιλεῖ πρὸς τὴν ἀπώ-
λειαν, ἀπαρνησάμενος τὸν Χριστόν. Ἐ-
πεὶ δὲ ἦτε μήτηρ αὐτοῦ, ἐ ἡ γαμετὴ ἠλο-
γήσασαν ἑαυτὰς τῆς κοινωνίας αὐτοῦ, καθό
τι τῆς τοῦ Χριστοῦ ἀγάπης, τὴν τοῦ Βασιλέως
προετιμήσατο, ἐ διὰ πρόσκαιρον δόξαν,
αἰωνίαν αἰχμάλωτον ἠλάξατο ἐ κατάκρισιν,
ἐ τοῦτο αὐτῷ διὰ γραμμάτων μηνύσασαι,
πλησγεὶς τὴν ψυχὴν, ἀπέχθη τῆς ματαίας
τοῦ Βασιλέως θρησκείας, ἐ ἀπεκλαίετο ἐφ'
οἷς ἥμαρτεν, ἀποστὰς ἀπὸ τοῦ Χριστοῦ.
Διάτοι τοῦτο, καθίσαται τῷ Βασιλεῖ Περ-
σῶν εἰς ἐξέτασιν, τοῦ Βασιλέως λίαν ἐν τού-
τῳ χαλεπήναντος. Ὃν ἵνα τὸν πικρὸν ὑ-
πέχθη θανάτου, κτ' μίαν ἑκάστην τοῦ σώ-
ματος ἁρμονίαν κατατμηθεὶς, τῶν χειρῶν,
ἐ τῶν ποδῶν, ἐ βραχιόνων, ὡς περιλε-
φθῆναι μόνον αὐτῷ μετὰ τῆς κοιλίας τὴν
κεφαλήν. Εἶθ' ὕστερον καὶ ταύτην μαχαί-
ρᾳ ἀφαιρεθῆναι.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ Ὁσίου Πα-
τρὸς ἡμῶν Ῥωμανοῦ τοῦ Θαυματουργοῦ.

Ἁ. Ῥώμη Ῥωμανὸς τοῦ Χριστοῦ ὁ γεμναῖος,
Θαυματουργὸς γέγονε ἐν γῇ ἐ πόλῳ.

Οὗτος ὁ μακάριος Ῥωμανὸς, ἐν τῇ Ῥω-
σῶν τεχθεὶς, ἐ τὴν πρώτην ἡλικίαν
διαβὰς, ἔρχεται εἰς Ἀντιόχειαν, ἐ ἔξω τοῦ
Ἄστεως ἐν ἀλλοτρίῳ ἐ μικροτάτῳ οἰκίσκῳ
ἑαυτὸν καθείρξας, διετέλεσε μέχρι γή-
ρους, μήτε πυρὶ χρησάμενος, μήτε λυ-
χνίαν ὂν φῶς δεξάμενος τὸ παράπαν. Τρο-
φὴ δὲ ἦν ἄρτος ἐ ἅλας, πόμα δὲ ὕδωρ μι-
κρὸν, ἐ αὐτὸ ὅσον μόνον πρὸς τὸ ζῆν. Ἐ-
μεδιδύσκετο δὲ ἐ τεῖχιρα, ἐ ἐνδοθεν τρι-
χῶν σιδηρᾶ βαρύτατα. Οὗτος θείας χάρι-
τος ἀξιωθεὶς, πολλῶν μὲν ἀνθρώπων νο-
σήματα ἐθεράπευσε, ἐ πολλὰς γυναῖκας
φαρμάκοις δι' ἀνοίας τεκνογονίας ἐποίησε,
ἐ πολλὰς τῇ θείᾳ αὐτοῦ παραμυθίᾳ πρὸς
τὴν τοῦ Θεοῦ βασιλείαν παραπέμψαι πα-
ρεσκεύασε. Καὶ οὕτω βιώσας ἐ τελειωθεὶς,
ἀπῆλθε πρὸς τὰς αἰωνίους μονάς.

Τῇ αὐτῇ ἡμέρᾳ, Ὁ Ὅσιος Πηγάσιος,
ἐν εἰρήνῃ τελειοῦται.

Ἁ. Ὁ Πηγάσιος ἀρετῇ πολλαῖς λαμπρύνας,
Ἐν Οὐρανοῖς ἔλαμψεν ὡς Ἥλιος Νέος.

Τῇ αὐτῇ ἡμέρᾳ, Ὁ Ἅγιος Ναθαναὴλ,
ἐν εἰρήνῃ τελειοῦται.

Ἁ. Ἀφεῖσα Κόσμον, πρὸς Θεὸν ψυχὴν
πρέσχε,
Ναθαναὴλ ἔκραζε μέλλων ἐκπνέειν.
Ταῖς αὐτοῦ ἁγίαις πρεσβείαις, ὁ Θεὸς,
ἐλέησον ἐ σῶσον ἡμᾶς. Ἀμήν.

Ὠδὴ, ζ'. Εἱρμὸς χρυσῆς.

Πατρὸς τὴν τιμὴν, καρτερίᾳ τε ψυχῆς κατα-
τεμνόμενος, Μάρτυς τὸ σῶμα ἀπερι-
σκεπτος, ἐ ἀγρύπνως διετέλεσας, πίστει στη-
ριζόμενος θείᾳ, ἐ κραυγάζων Γάκωβε· εὐ-
λογητὸς εἶ ὁ Θεὸς, ὁ τῶν Πατέρων ἡμῶν.

Ἐθνῶν τὰς σκέψεις, λογισμοὺς πρὸς τὸν σκο-
πὸν τῆς ἄνω κλήσεως, ἐ ταῖς βασάνοις κα-

καταψηλάφησος, ὁ κατεκλύσθης, ἀλλ' ἔφερες, ῥᾳδίως τὰς πλησγὰς τῷ αἰόλωνι, καὶ τεμνόμενος ἔψαλλες· ἀλογητὸς εἶ ὁ Θεὸς, ὁ τῶν Πατέρων ἡμῶν.

Μακάριος εἶ, καὶ καλῶς σοι ἔχει μοι μακαριώτατε, μεμνημένοτι τῶν ἀτιθάσσου, τῆς πονηρᾶς ἀγριότητα, καὶ τῶν τοῦ τυράννου μανίαν, καὶ προθύμως κραυγάζομεν· ἀλογητὸς εἶ ὁ Θεὸς, ὁ τῶν Πατέρων ἡμῶν. Θεοτοκίον.

Ἡ δύτε φωτὸς, καὶ λαμπάδος θείκης καὶ ἀπαυγάσματος, ὤφθης λυχνία λαμπρυσαυγίζουσα, καὶ κόσμον ὅλον ἀυγάζουσα, αἴγλη τῆς σεπτῆς Παρθενίας, καὶ τοὺς ψάλλοντας σώζουσα· ἀλογημένη ἡ Θεοτόκος, σαρκὶ κυήσασα.

Ὠδὴ, η'. Τὸν ἐν καμίνῳ τῷ πυρός.

Ῥώμη Θεοῦ κραταιωθεὶς, πονηρῶν τὰς συγχροφὰς καὶ παραταξεις, διεσκέδασας μάκαρ, καὶ κῦ κράτος ἐλαμψας, τῆς νίκης τὸν τρόπαιον ἐλήφας, κράζων· ἀλογεῖτε, Χριστὸν εἰς τοὺς αἰῶνας.

Πᾶς ἀφαιρέσεις τῶν μελῶν, ὡς προθήκας ἀγαθῶν Μάρτυς ἑώρας, ὁ τοὺς μὴ βλέπων πόνους, ἀλλὰ τὸ μέλλον σκοπῶν, Μαρτύρων ὡραῖον τρόπαιον, παρὰ τοῦ δικαίου, Κριτοῦ κατεστεφανισμένον.

Ὑπομονῇ ὑπερφυῆ, κεκτημένος ἀσφαλὴς καθάπερ πύργος, διετέλεσας μάκαρ, τῶν δυσμενῶν τὰς ὁρμὰς, ἀτρόμως καὶ βέλη δεχόμενος, κράζων· ἀλογεῖτε, Χριστὸν εἰς τοὺς αἰῶνας.

Ῥώμη πολλή σοι προσβαλὼν, ὁ ἀρχέκακος ἐχθρὸς καὶ ψυχοφθόρος, καὶ Τυράννους ἐγείρας, καταβαλεῖν τῆς ψυχῆς, τὸν τόνον οὐκ ἴσχυσεν εἰδοξε, τῶν σῶν παρτάχίαν, Χριστὸν περιεβάλε.

Θεοτοκίον.

Θαμασίας διαυγῆ, ἐπιγάμεθα πηγὴν σε Θεοτόκε, ὡς τεκοῦσαν τὸν Λόγον, τὸν ἀθανάτου Πατρὸς, τὸν πάντας θανάτου λυτρούμενον, τοὺς ὑπερυψοῦντας, ἀυτὸν εἰς τοὺς αἰῶνας. Ὁ Εἱρμός.

„ Τὸν ἐν καμίνῳ τῷ πυρὸς, τῶν Ἑβραίων
„ τοῖς Παισὶ συγκαταβάντα, καὶ τὸν
„ φλόγα εἰς δρόσον, μεταβαλόντα Θεὸν,
„ ὑμνεῖτε τὰ ἔργα ὡς Κύριον, καὶ ὑπερ-
„ ψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ, θ'. Τὸν ἐκ Θεοῦ Θεὸν Λόγον.

Μετὰ Μαρτύρων ὡς Μάρτυς, συγχορεύων τρισμάκαρ, καὶ θρόνῳ παρισταμενος Χριστῷ, τοὺς ἐκτελοῦντας τὸν μιαιφονίαν, καὶ τὸν σὸν φωτοφόρον, μετ' εὐφροσύνης θείαν ἑορτὴν, χαλεπῶν ἐκ κινδύνων, ταῖς σαῖς πρεσβείαις λύτρωσαι.

Ἔνθα Μαρτύρων οἱ δῆμοι, ἔνθα πάντων Ἁγίων, ἁγίως ἀναπαύεται πλῆθος, ἔνθα Δικαίων τὰ Πνεύματα, ἔνθα ἡ Ἐκκλησία, τῶν πρωτοτόκων μοῦ ἐν Οὐρανοῖς, κατεσκιώσας ὅμοιος, ὡς Μάρτυς ὦ Γάνωβε.

Λαμπαδηφόρος παρέστης, τῷ Σωτῆρι τῶν ὅλων, δι' οὗ σὺ τῶν σώματος μελῶν, τὸν ἐκκοπὸν ἐκαρτέρησας, καὶ πυρὸς καὶ μαχαίρων, τῆς πείρας κατεφρόνησας γενναίως. διὸ πίστει σε πάντες, καὶ πόθῳ μακαρίζομεν.

Ἐποικιλμένον πορφύραν, δι' αἱμάτων βαφεῖσαν, τῶν σῶν μοι πεκειμένος Χριστῷ, συμβασιλέας Γάνωβε. διὰ γὰρ παθημάτων, τῆς ἀπαθείας εὗρες τὸν πηγὸν, ἧς τρυφᾷν αἰωνίως, πανμακαρ κατηξίωσαι. Θεοτοκίον.

Ὡς τὸν Θεὸν συλλαβοῦσαν, καὶ Θεοῦ γενομένου Μητέρα, κατ' ἀλήθειαν ἀγνὴ, σὲ Θεοτόκον δοξάζομεν, τῶν πραγμάτων τὴν φύσιν, τῷ κλήσιν προσαρμόζοντες τρανῶς, καὶ προσφόρως τῷ θείαν, φωνοῦσοι προσκομίζοντες. Ὁ Εἱρμός.

„ Τὸν ἐκ Θεοῦ Θεὸν Λόγον, τὸν ἀῤῥήτως
„ τῷ σοφίᾳ, ἥκοντα καινουργῆσαι τὸν
„ Ἀδὰμ, βρώσει φθορᾷ πεπτωκότα δι-
„ μῶς, ἐξ ἁγίας Παρθένου, ἀφράστως
„ σαρκωθέντα δι' ἡμᾶς, οἱ πιστοὶ ὁμοφρό-
„ νως, ἐν ὕμνοις μεγαλύνομεν.

Ἐξαπος. Γυναῖκες ἀκατίσθητε.

Περσῶν τῶν πλανῶν ἔφλεξας, τῷ ζήλῳ πυρπολούμενος, Χριστὸν Γάνωβε Μάρτυς, ὡς κλῆμα τῆς ἀμπέλου δὲ, τὸ σῶμά σου τεμνόμενον, Τυράννου γνώμῃ παν-

σοφε,

σοφε, ἀνέμελπες κατάλληλον, ᾠδὴν καὶ πρόσφορον ὕμνον, τῇ ἀπροσίτῳ Τριάδι.

Θεοτοκίον. Ὅμοιον.

Μαρία καθαρώτατον, χρυσοῦν θυμιατήριον, τῆς ἀχωρήτου Τριάδος, δοχεῖον γεγενημένη. ἐν ᾧ Πατὴρ ηὐδόκησε, καὶ ὁ Υἱὸς ἐσκήνωσε, καὶ Πνεῦμα τὸ Παράγιον, ἐπισκιάσαν σοι Κόρη, ἀνέδειξε Θεοτόκον.

Σταυροθεοτ. Ὅμοιον.

Σταυρῷ ἑστῶσα Παράγνε, τοῦ σοῦ Υἱοῦ καὶ βλέπουσα, τὸ ὑπὲρ φύσιν σου σπλάγχνον, ἐμπεπαρμένον τοῖς ἥλοις, Τέκνον μου ἀνεκραύγαζες· πῶς πάσχεις ὁ τῷ νεύματι, τὴν σύμπασαν σαλεύων γῆν; πάντως οἰκτείρων ἀνθρώπων, τὸ γένος φέρεις εὐσπλάγχνως.

Εἰς τὸν εἰ. εἰ. τῆς Ὀκτωήχου.

Δόξα, ἦχος, πλ. Γεωργίου Σικελιώτου.

Πιστῶν ἀθροισθέντες σήμερον, φιλοθεάμονες, ἀθρήσατε πάλιν, ξένην καὶ διαλλάττουσαν, Ἰακώβου τοῦ ἐκ Περσίδος ἡμῖν ἀστράψαντος, δίκην Ἀστέρος τοῦ τοῖς Μάγοις φανέντος, καὶ πρὸς τὴν ἀληθῆ ἐπίγνωσιν καθοδηγήσαντος. Οὗτος γὰρ ὁ γεννάδας, ἐν τῷ πίπτειν τοὺς πολεμίους ἀνέτρεπε, καὶ ἐν τῷ ἁρμομελοτομεῖσθαι τοὺς Τυράννους ὀξενεύρου, τῇ ἄνωθεν προθυμίᾳ νευρούμενος, καὶ βοῶν· εἰ καὶ τὰ μέλη μου αἰσθητὰ ὄντα τέμνετε, ἀλλ' ἔχω Χριστὸν, νοητῶς μοι τὰ πάντα γινόμενον. Ὅθεν προβλέπων τὴν μέλλουσαν ζωὴν, διὰ τοῦ ἐν πᾶσι προκειμένου θανάτου, πρὸς ἐκείνην ἔσπευσε περᾶσαι. Εἰς ἣν καὶ αὐλιζόμενος, αἰτεῖται ἡμῖν, παρὰ τοῦ στεφοδότου Θεοῦ, ἱλασμὸν, φωτισμὸν, καὶ τὸ μέγα ἔλεος, τοῖς ἐκτελοῦσι τὴν μνήμην αὐτοῦ.

Καὶ νῦν. Θεοτοκίον.

ἦχος, ὁ αὐτός.

Ὦ τοῦ παραδόξου Θαύματος.

Σκότει ἀγνοίας κρατούμενον, καὶ ἀθυμίας δεινῆς, νυσταγμῷ βαρυνόμενον, καὶ στενοχωρίας με, τῷ ζόφῳ καλυπτόμενον, καὶ τοῖς κινδύνοις, συμποδιζόμενον, μή με παρίδῃς, εἰς τέλος φθείρεσθαι, Δέσποινα εὔσπλαγχνε, τούτων πάντων ῥύσαί με, τῶν πειρασμῶν. σὲ γὰρ μόνην κέκτημαι, ἐλπίδα μετὰ Θεόν.

Σταυροθεοτοκίον. Ὅμοιον.

Πῶς ὑπενέγκω τὴν ἄδικον, Λόγε σφαγὴν σου ὁρᾷν; πῶς τὰ θεῖά σου ὄμματα, τὰ τυφλοὺς φωτίσαντα, μεμυκότα τεθέαμαι; πῶς δὲ καὶ χείλη, βλέπω σιγῶντά σου, τὰ μογγιλάλων, χείλη ἀνοίξαντα; σπλάγχνα σπαράχθητε, ῥάγηθι καρδία μου, οὐ φέρω ζῆν, κέκραγε δακρύουσα, πικρῶς ἡ Πάνσεμνος.

Ἡ λοιπὴ Ἀκολουθία τοῦ Ὄρθρου, καὶ Ἀπόλυσις.

Τῷ αὐτῷ Μηνὶ, ΚΗ.

Τοῦ Ὁσίου Πατρὸς ἡμῶν Στεφάνου τοῦ Νέου, καὶ τοῦ Ἁγίου Μάρτυρος Εἰρηνάρχου.

Ἑσπέρας, εἰς τὸ, Κύριε ἐκέκραξα, ἱστῶμεν εἰ. ς. καὶ ψάλλομεν εἰ. προσόμοια τοῦ Ὁσίου, ἦχος, πλ. β.

Ὅλην ἀποθέμενοι.

Ὅλος ἐκ νεότητος, ἀνατεθεὶς τῷ Κυρίῳ, σαρκὸς ἔξω γέγονας, κοσμικῆς τε σχέσεως ἱερώτατε, μοναστὴς ἄριστος, πεφυκὼς Στέφανε, καὶ δοχεῖον Θείου Πνεύματος. καὶ γὰρ συγκλείσας σου, οἴκῳ στενοτάτῳ μακάριε, τὸ σῶμα ἀνεπτέρωσας, νοῦν πρὸς Οὐρανὸν ἐνοπτρίζεσθαι, τὸ ἄρρητον κάλλος, Χριστοῦ τοῦ Βασιλέως καὶ Θεοῦ, οὗ προσκυνῶν τὸ ὁμοίωμα, ἤθλησας στερρότατα.

Μεσαρακονθήμερον, ὡς ὁ Δεσπότης νηστεύσας, ἐν εἱρκτῇ φρουρούμενος, σεαυτὸν πρὸς ἄθλησιν παρεσκεύασας, ἱερὲ Στέφανε, Μοναστῶν ἔρεισμα, καὶ Μαρτύρων ἐγκαλλώπισμα. ὅθεν ὡς θῆρές σοι, οἱ ἀνηλεεῖς ἐπιθέμενοι, ἀρνίον ὥσπερ ἄκακον, ἔσυραν ἀδίκως ἐσπάραξαν, καὶ μετὰ ἀνόμων, κατέθεντο ἀθλήσαντα στερρῶς, καὶ παρρησίᾳ πρεσβεύοντα, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Ταὸς ὁ παράνομος, παρανομίαις ὑπείκων, παρανόμου Ὅσιε, βασιλέως λίθοις σε ὡς τὸν Πρώταθλον, ἀφειδῶς ἔβαλε, καὶ τὴν κάραν Πάτερ, τὴν ἁγίαν σου

συνέτριψε, ταῖς λεωφόροις τε, σύρων ὠμοτάτως ὀξέχεε, τὰ σπλάγχνα σου πανόλβιε, μηδὲ μετὰ πότμον οἰκτείρας σε. ὦ τῆς σῆς ἀνδρείας. ὦ γνώμης. ὦ πολλῆς ὑπομονῆς. δι' ἧς ἀπείληφας Στέφανε, στέφος ἀμαράντινον.

Ἕτερα εἰ. τοῦ Ἁγίου Μάρτυρος.

Ἦχος ὁ αὐτός. Τριήμερος ἀνέστης.

Ἀγῶνας τοῦ σεπτοῦ Ἀθλητοῦ, τοὺς πόνους τοῦ ὁπλίτου Χριστοῦ, εὐφημοῦντες, καταχρέως οἱ πιστοὶ, βοήσωμεν Κυρίῳ, αὐτοῦ ταῖς ἱκεσίαις, πάσης ἀνάγκης ὀξελοῦ ἡμᾶς.

Εἰρήνησοι πολλὴ ἐκ Θεοῦ, ἀθλήσαντι γεγένηται, καὶ τὸν σάλον, διελθόντι τῶν δεινῶν, Εἰρηνάρχε παμμάκαρ, γενναῖε στρατιῶτα, καὶ πρεσβευτὰ τῶν εὐφημούντων σε.

Συνήθλησε Γυναίων χορὸς, καὶ Παίδων θεῖος ὅμιλος, σὺν τῷ θείῳ, Εἰρηνάρχῳ καρτερῶς, τελοῦντός σου ἀγῶνας, καὶ πλάνην ἐκνευροῦντος, Μάρτυς Ἀκάκιε μακάριε.

Δόξα, ἦχος, πλ. β'. τοῦ Στουδίτου.

Ἐκ βρέφους τῷ Θεῷ, ἀνετέθης ἱερώτατε Στέφανε, ὥς περ ὁ μέγας προφήτης Σαμουήλ. καὶ ἐν τῷ ὄρει ἀνελθὼν, μοναδικῶς εὐηρέστησας αὐτῷ. αὖθις δὲ πρὸς ἄθλησιν, ἀπεκδύσω ἀνδρικῶς, καὶ ὑπὲρ τῆς Εἰκόνος αὐτοῦ, ὀξορίας καὶ θλίψεις, ὑπέστης καρτερώτατα, καὶ δεσμοῖς καὶ φυλακαῖς ἀντεκαρτέρησας, συρόμενος καὶ τυπτόμενος, καὶ λιθαζόμενος, καὶ τὴν κάραν συντριβόμενος, τῶν στεφάνων ἠξιώθης παρὰ Χριστοῦ τοῦ Θεοῦ. Αὐτὸν ἱκέτευε, τοὺς ἐκ πόθου τελοῦντας, τὴν ἀεισέβαστον μνήμην σου, λυτρωθῆναι ἐκ παθῶν καὶ πειρασμῶν, καὶ τῆς μελλούσης θλίψεως, καὶ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. θν. ἦχος, ὁ αὐτός.

Θεὸν ἐκ σοῦ σαρκωθέντα ἔγνωμεν.

Ἢ σταυροθν. Ὅλην ἀποθέμενοι.

Τὸν ἄρνα τὸν ἴδιον, ἀμνὰς ἡ ἄσπιλος πάλαι, καὶ ἄμωμος Δέσποινα, ἐν Σταυρῷ ὑψούμενον ὡς ἑώρακε, μητρικῶς ἠλάλαζε, καὶ ἐκπληττομένη, ἀνεβόα τί τὸ ὅραμα, τέκνον γλυκύτατον, τοῦτο τὸ καινὸν καὶ παράδοξον; πῶς δῆμος ὁ ἀχάριστος, βήματι Πιλάτου παρέδωκε, καὶ κατακρινοῦσι, θανάτῳ τῶν ἁπάντων τὴν ζωήν; ἀλλ' ἀνυμνῶ σου τὴν ἄφατον, Λόγε συγκατάβασιν.

Εἰς τὸν εἰ. στιχηρὰ τῆς Ὀκτωήχου.

Δόξα ἰδιόμελον. ἦχος, πλ. δ'.

Τὸ κατ' εἰκόνα τηρήσας ἀλώβητον, Ὅσιε Πάτερ, ὑπὲρ τῆς Χριστοῦ Εἰκόνος, ἀντέστης ἀνδρικώτατα, μὴ ὑποπτήξας τοῦ Κοπρωνύμου τὰς ἀπειλὰς, ἀλλὰ τῷ τοῦ Πνεύματος ξίφει, τοῦτον ἀπέκτεινας. Διὸ παρρησίαν κεκτημένος πρὸς Θεὸν, περίσωζε τὴν Ποίμνην σου, ὀξ αἱρέσεων πασῶν, Στέφανε πολύαθλε.

Καὶ νῦν. Θεοτοκίον.

Δέσποινα πρόσδεξαι.

Ἢ Σταυροθεοτοκίον.

Ὦ τοῦ παραδόξου θαύματος.

Τί τὸ ὁρώμενον θέαμα, ὃ τοῖς ἐμοῖς ὀφθαλμοῖς, καθορᾶται ὦ Δέσποτα; ὁ συνέχων ἅπασαν, κτίσιν ξύλῳ ἀνήρτησαι, καὶ θανατοῦσαι, ὁ πᾶσι νέμων ζωήν; ἡ Θεοτόκος κλαίουσα ἔλεγεν, ὅτε ἑώρακεν, ἐν Σταυρῷ ὑψούμενον, τὸν ὀξ αὐτῆς, ἀρρήτως ἐκλάμψαντα, Θεὸν καὶ ἄνθρωπον.

Ἀπολυτίκιον τοῦ Ὁσίου. ἦχος, δ'.

Ὁ ὑψωθείς.

Ἀσκητικῶς προγυμνασθεὶς ἐν τῷ ὄρει, τὰς νοητὰς τῶν δυσμενῶν παρατάξεις, τῇ πανοπλίᾳ ὤλεσας παμμάκαρ τοῦ Σταυροῦ. αὖθις δὲ πρὸς ἄθλησιν, ἀνδρικῶς ἀπεδύσω, κτείνας τὸν Κοπρώνυμον, τῷ τῆς πίστεως ξίφει, καὶ δι' ἀμφοῖν ἐστέφθης ἐκ Θεοῦ, Ὁσιομάρτυς ἀοίδιμε Στέφανε.

Καὶ τὸ, Ὁ Μάρτυς σου Κύριε.

Εἰς τὸν Ὄρθρον, ἀναγινώσκομεν ἐκ τοῦ Βίου τοῦ Ἁγίου Στεφάνου, δόσεις δ'. ἡ συνήθης εἷλο. Κανὼν τῆς Ὀκτωήχου εἷς, καὶ τῶν Ἁγίων δύω. Ὁ Κανὼν τοῦ Ὁσίου.

Οὗ ἡ ἀκροστιχίως.

Χριστὸς στέφει σε Μαρτύρων στέφει μάκαρ.

Γωσήφ. Ὠδὴ, α'. ἦχος, πλ. β'.

Ὡς

Ὡς ἐν ἠπείρῳ πεζεύσας.

Χαρμονικῶς διοδεύσας σὺ τὴν ϛερεάν, τρίβον τῆς ἀσκήσεως, μαρτυρίᾳ πλατυσμῷ, δυσμενῶν ἐτέφρωσας ὁρμὴν, καὶ εὐρύχωρον ζωὴν μάκαρ κεκλήρωσαι.

Ῥίζα σε βλάστησε καρπὸς πρώϊμος καρποφορεῖ, Ἄμμης ἡ ἐπώνυμος, ὡς τὸν πάλαι Σαμουὴλ, ϛ δοτόν σε δίδωσι Θεῷ, τὴν τῆς βίας σοφὲ χάριν σημαίνουσα.

Τερωτάτως τῷ θείῳ πρὸ Μοναζῶν, προσχωρήσας Τάγματι, ὡς φαιδρότατος ἀστὴρ, ἀρεταῖς ἐξελάμψας πίστως, καταυγάζων μυστικῶς Ὅσιε Στέφανε.

Ϛερεοχωρήσας τὸ σῶμα τῷ συγκλεισμῷ, τῆς ϛενῆς οἰκήσεως, ἀμέπτερωσας τὸν νοῦν, πρὸς τὰ ἐπουράνια σοφὲ, ἀναβάσεσι καλῶς προσλατυνόμενος. Ἦχ. δ.

Μὴν ἀδιοδεύτου πύλην τὸ καθαρὸν, τῆς ἀγνείας τέμενος, τὴν κλῆν ἀμνυμένοις, τὴν ἁγίαν Δέσποιναν φωναῖς, ἱεραῖς ὁ ἱερὸς λαὸς δοξάσωμεν.

Ἕτερος Καμὼν τῆς Μαρτύρος.

Οὐ κ ἀκροτιχίς.

Εἰρηνικῶς μοι προσνέμοις Μάρτυς χάριν. Θεοφάνους.

Ἦχος, ϛ Εἱρμὸς, ὁ αὐτός.

Ϛὲκ τῆς σκαμβάλωμα τῆς βίας ϛ τῆς παθῶν, τῆς παρευσχλήτων με, εἰρηνεύσας μοι τὸν νοῦν, Ἀθλητὰ Εἰρήναρχε τὴν σὴν, ἀνθημῆσαι γαληνῶς μνήμην ἀξίωσον.

Ἱερομήνυς ϛεφάνους ὡς Ἀθλητὴς, ἐλήφθης Εἰρήναρχε, μετετέθης ἐκ τῆς γῆς, πρὸς εἰρηνικὴν ἄμαχον ϛ φῶς, καὶ ζωὴν ἀληθεμένην μακαριώτατε.

Ῥοίθροις αἱμάτων τὴν φλόγα τῆς διωκτῆς, κατασβέσας ἤρδευσας, διαφοίας τῆς πίστεως, ἀναθάλλειν ἔρωτα ζωῆς, αἰωνίου ἀσεβῶς Μάρτυς Εἰρήναρχε. Ἦχ. γ.

Ἡ τὸν ἀχώρητον Λόγον τῇ σῇ γαστρὶ, χωρηθέντα τέξασα, Θεοχώρητε Σκηνὴ, τῆς ϛενοχωρίσης με δεινῶς, τροκυμίας τῆς κακῶν Ἁγνὴ ἀπάλλαξον.

Ὠδὴ, γ'. Οὐκ ἔστιν ἅγιος ὡς σύ.

Ὕμνοις ὑμνήσω πρὸς Θεὸν, καλλιωνόμενος Πάτερ, ὡραιότατος ὤφθη, ϛ χαρίσματος παντὸς, ἀπλέως ἀληθῶς, ϛ τῆς θείας, μέτοχος λαμπρότητος.

Ϛεπτὴν Εἰκόνα τὸ Χερσὶ, ϛ τῆς τοῦτον Τεκούσης, ἀσπαζόμενος μάκαρ, βασιλέως δυσσεβοῦς, τὸ δόγμα τὸ δυσσεβὲς, ἐβδελύξω, θείᾳ Θείᾳ Πνεύματος.

Ϛεδήρῳ σὲ τὸν σιδηρῷ, κεκτημένον καρδίᾳ, ὁ παράφρων δεσμεύσας, παραπέμπει φυλακαῖς, ὡς φύλακα τῆς πιστῶν, διδαγμάτων, Στέφανε παμόλβιε.

Μὲς σὺς ὡραίους προφανῶς, ἔχεις Ὅσιε πόδας, μαρτυρίᾳ πρὸς τείβους, βηματίζοντας λαμπρῶς, ϛ κεφαλὰς δυσμενῶν, διαθλῶντας, Στέφανε μακάριε.

Θεοτοκίον.

Ἐκ σῆς τῆς μόνης καθαρᾶς, ὁ ὑπέρθεος Λόγος, ἐσαρκώθη ὡς οἶδε, ϛ διέσωσε ἡμᾶς, τοὺς προσκυνοῦντας αὐτῷ, τὴν δι' οἴκτον, θείαν συγκατάβασιν.

Ὁ αὐτός.

Νικήσαι θείᾳ θείκῃ, ϛ χωρεῖς πρὸς ἀγῶνας, θαρσαλέως παμμάκαρ, ὑπομενῶν αἰκισμοὺς, ϛ τρέβλας τῆς δυσμενῶν, Ἀθλοφόρε, Μάρτυς γεννικώτατε.

Τροχιοῦσι δίδωσι Χριστὸς, Ἀθλοθέτης ὁ μέγας, διολέσαι τὴν πλάνην, καταιχμῶσι τὸν ἐχθρὸν, καυχώμενον αἱμαιδῶς, ϛ δικαίως, Μάρτυς φρυαττόμενον.

Καθέλε πόνοις αἰθρικοῖς, τὸν ἀρχέκακον ὄφιν, ὁ χορὸς τῆς Ἁγίων, ἀθλήσας κραταιῶς, ϛ μάσιγας ϛ δεσμὰς, ὑπομένας, θείᾳ Θείᾳ Πνεύματος.

Θεοτοκίον.

Ἣν εἶδε πάλαι Ἰακὼβ, ἀπὸ γῆς τεταμένην, πρὸς ἀέριον ὕψος, θείᾳ κλίμακα σαφῶς, Μαρίαν τὸ καθαρὸν, τὸ Δεσπότην, μέλπωμεν παλάτιον.

Ὁ Εἱρμός.

Οὐκ ἔστιν ἅγιος ὡς σύ, Κύριε ὁ Θεός μου.

Κάθισμα τὸ Ὅσιε. Ἦχος α.

Τὸν τάφον σου Σωτῆρ.

Ἀσκήσει λαμπρυνθεὶς, ὡς χρυσὸς ἐν χωνείᾳ, ἐξήστραψας σοφὲ, τῇ νομίμῳ ἀθλήσει, ϛ στέφανον εἴληφας, τῇ σῇ κλήσει καταλλήλον. ὅθεν χαίροντες, τὴν

παραγίαψου μνήμιω, ἑορτάζομεν, τὰς σὰς ἀγῶνας τιμῶντες, ἀοίδιμε Στέφανε.

Ἕτερον. ἦχος, δ. Ὁ ὑψωθείς.

Μῶν Μαρασῶν ὑπογραμμὸς ἀνεδείχθης, τῇ Ἀθλητῇ καλλωπισμὸς ἀνέφαπτος, δι' ἀμφοτέρων Στέφανε κοσμούμενος. ὅθεν ἀξιάγαστε, καὶ διπλᾶς τὰς στεφάνας, ἔλαβες ἀσκήσεως, καὶ ἀθλήσεως Πάτερ. ἀλλ' ἐκτενῶς Χριστὸν ὑπὲρ ἡμῶν, τῇ σὲ ὑμνοῦντων, ἱκέτευε Στέφανε.

Ἕτερον τῆς Μάρτυρος. Ὅμοιον.

Τῇ καὶ ὑγρὰ τὰς καρτερούσας ἀγῶνας, κατεμερίθη Ἀθλητα γεννναιόφρον, δι' ὧν τῆς πλάνης ἔλυσας τὸ φρύαγμα, καὶ τὸν ὑπερκόσμιον, μετὰ πάντων Μαρτύρων, δόξαν ἀπολαμβάνουσαν, ἐκλιπαρῶ σε μακάρια. ἀλλ' ὑπὲρ πάντων πρέσβευε Χριστῷ, τῇ σὲ τιμῶντων, τερπνοφόρε Εἰρήναρχε.

Θεοτοκίον. Ὅμοιον.

Καταφυγὴ τῇ ἐν δεινοῖς ὑπαρχόντων, καταλλαγὴ πρὸς τὸν Θεὸν τῶν πταιόντων, Ὑπεραγία Δέσποινα περίσωζε ἡμᾶς, πάσης περιστάσεως, καὶ κακίας ἀνθρώπων, καὶ φρικτῆς κολάσεως, καὶ παθῶν ἀτιμίας, τοὺς ἀδιαλείπτως πίστει σε ἀεί, προσκαλουμένους, Παρθένε παμμακάριστε.

Σταυροθεοτοκίον. Ὅμοιον.

Ἐν τῷ Σταυρῷ παρισταμένη Παρθένε, τῷ τοῦ Υἱοῦ καὶ Θεοῦ ἀνεβόας, ὀδυνηρῶς τεκοῦσα, δακρύσασα θερμῶς. οἴμοι ὦ γλυκύτατε, πῶς ἀνδρῶν παρανόμων, φέρεις τὰ λακτίσματα, καὶ τὰς πτώσεις ἑκών ἤλων, καὶ ἑκὼν κακούργων θανάτου σαφῶς, σῶσαι τὸ γένος, βροτῶν προμηθούμενος;

Ὠδὴ, δ. Χριστός μοι δύναμις.

Φωτὶ τῷ Πνεύματος, λαμπαδηχούμενος, δι' ἐντεύξεως θείας, τυφλοῖς τὸ φῶς, Πάτερ ἐχορήγησας, τὸν σὸν Δεσπότην καὶ Θεὸν, μιμησάμενος θεοπρεπῶς.

Θαλάσσιον πόρρωθεν, τοῖς θαλαττεύουσι, κυβερνῶν τοὺς μακαρίους πρὸς γαλήνην, ὅρμον θείᾳ χάριτι, προσκαλούμενος σου πιστῶς, Πάτερ Στέφανε τὸ ὄνομα.

Τετραγώνως, καθάπερ σφάγιον, ἱερὸν προσηνέχθης τῷ διὰ σὲ, τεθνεῶτι Στέφανε, καὶ πρωτοτόκως ἐν σκηναῖς, ἀναπαύσω ἀφραιομένος.

Ἑπτῶσι ῥήμασι, ὁ πρὶν ἡμίεκτος, ὑγιὴς ὅλος ὤφθη καταπλαγείς, Μάρτυς τὸν δοθέντα σοι, χάριν ἐξ ὕψους δαψιλῶς, εἰς ἀνθρώπων περιποίησιν.

Θεοτοκίον.

Ἐν σοὶ Παναμώμε, τῆς σωτηρίας μου, τὰς ἐλπίδας ἐθέμην ἐπὶ τὸν σὸν σκέπην καταπέφυγα. χαῦνόν μοι Κόρη βοηθὸς, τῶν δεινῶν ἐξαίρουμένη με.

Ὠδὴ ε'.

Νομίμως ἔδραμες, νομίμως ἠθλησας, καὶ νομίμως ἐστέφθης τῷ τοῦ Θεοῦ, νόμῳ κρατυνόμενος, καὶ ἀπαράτρεπτον σαυτὸν, σωτῆρα μακαριώτατε.

Ἐν στέγῃ σῶν ἐδόξεν, τῆς πλανῆς ἔχεσθαι, τῇ θεογενεσίᾳ ὡς μυσεχθὴς, χαίρων προσεχώρησας, φῶς μέρος ἀπολαβών, καὶ φωτὸς ἀποδεικνύμενος.

Ὑδόλως ἔκρυψε, βυθὸς δεξάμενος, σὲ παμόλβιε Μάρτυς ἐπεγνωκὼς, θεῖον παθημάτων σου, παραληθέντα τὸν Χριστὸν, σκιὸς Μάρτυς ὦ Εἰρηνάρχε.

Ἐκραγόμενος, καὶ προδυόμενος, καὶ ξεόμενος ἅμα καὶ τῷ πυρὶ, πανθέν φλεγόμενος, ἐκ βλήθητε Χριστὸν, Ἀθλοφόροι ἀξιόμνητοι.

Θεοτοκίον.

Παρθένος ἔμεινας, μετὰ τὸν κύησιν, ὡς πρὶν ἧς πρὸ τοῦ τόκου ὅτι Θεὸν, Λόγον ἀπεκύησας, τὸν λυτρωσάμενον ἡμᾶς, μεσιτεύουσα Παναμώμε.

Ὠδὴ, ς'. Τῷ θείῳ φέγγει σου ἀγαθέ.

Μαρτυρικαῖς ἔστεψε τιμαῖς, τοὺς ἀσκητικούς σου ἀληθῶς, καμάτους Ὅσιε Στέφανε, ὁ ἀγωνοθέτης, μόνος Θεὸς ἡμῶν, καὶ τῷ παλαμναίῳ ἐμβραβεύσας σε.

Ἀγωνιζόμενος ἀνδρείως, δῆμος συμμαρτύρων ταῖς εἱρκταῖς, προσομιλῶν Μάρτυς ἄρηκας. σὲ γὰρ ὡς ἀστέρες ἄδυτον Ἥλιον, κυκλοῦντες ἐπὶ πλέον κατελαμπρύνουσι.

Ῥήμασι θείοις τοὺς ἱεροὺς, Ὁμολογητὰς καὶ μιμητὰς, θείων παθῶν μακαρίζομεν, τοὺς τριακοσίους καὶ τεσσαράκοντα, καὶ δύω τοὺς ἀθέους καταπαλαίσαντας.

Περιχῶν ἀφαίρεσιν παικτικῶς, ὤτων ἐκκοπήν τε καὶ χειρῶν, μελῶν τε θείων κατάφλεξιν, ὑπὲρ τῆς Εἰκόνος Χριστοῦ ὑπηνέγκεν, ὁ δῆμος τῶν Ὁσίων ὁ εὐκλεέστατος.

Θεοτοκίον.

Ὑπεραγία ἡ τὸν Θεὸν, μόνη ἐπὶ γῆς ὡς ἀληθῶς, τὸν ὑπεράγιον τέξασα, τοὺς σὲ Θεοτόκον, ἀεὶ κηρύττοντας, ἁγίασον καὶ σῶσον τῇ μεσιτείᾳ σου.

Ὁ αὐτός.

Ῥομφαίᾳ τέτρωται ὁ ἐχθρὸς, τῆς ὑπομονῆς τῆς καρτερᾶς, τοῦ γενναιόφρονος Μάρτυρος, καὶ ταῖς τούτου πτέρναις καθυποτέτακται, καὶ γέλως καθορᾶται καὶ καταισχύνεται.

Ὁποῦσου ἔστη προφητικῶς, Μάρτυς ἐν εὐθύτητι σοφὲ, ἀπεριτρέπτῳ φρονήματι, καθυποσκελίζων τὸν πολυμήχανον, ταῖς τρίβοις μαρτυρίου καλλωπιζόμενος.

Εὐ τὴν κακίαν τῶν διωκτῶν, ἄκακος ἀκέραιος ὀφθεὶς, Μάρτυς ἀπώσω Εἰρηνάρχε, καὶ τῇ τελειώσει σου τῇ δι' αἵματος, στεφάνοις ἀφθαρσίας κατεστεφάνωσαι.

Θεοτοκίον.

Νοήσας πόρρωθεν μυστικῶς, ὁ τῶν Προφητῶν θεολαμπὴς, χορὸς Παρθένε Θεόνυμφε, θείου Τοκετοῦ σου βάθος ἀπόρρητον, Συμβόλοις ἱεροῖς Σὲ προδιεχάραξεν.

Ὠδὴ, ϛ'. Τοῦ βίου τὴν θάλασσαν.

Ῥημάτων σου δυνάμιν, ὁ κακίας εὑρετὴς, ὑπενεγκεῖν οὐκ ἴσχυσεν. ὅθεν δεσμοῖς σε Στέφανε καὶ ποιναῖς, θανάτῳ βιαίῳ τε, ὠμοτάτως ὁ πλάνος παραδέδωκεν.

Ὡς ἄρτος ὀπτώμενος, τῷ πυρὶ καὶ ἐκ ποδῶν, ἀνηλεῶς κρεμάμενος, ὡλοκαυτώθης Παῦλε καὶ τῷ Θεῷ, θυσία προσήνεξαι, συναυλίας Μαρτύρων ἀξιούμενος.

Νομίμως ἐνήθλησαν, συγκλεισθέντες καὶ πνιγμῷ, τὸν βίον καταλύσαντες, ἐν τῇ Ἐφέσῳ Ὅσιοι Μονασταὶ, ὀκτὼ καὶ τριάκοντα, οὓς ἐν πίστει καὶ πόθῳ μακαρίσωμεν.

Ἑτερρῶς τῷ δικάζοντι, ἀντετάξω καὶ πληγαῖς, καταξανθεὶς τὸ σῶμά σου, θανατωθῆναι εἵλω διὰ Χριστὸν, τὸν μόνον ἀθάνατον, ἀξιάγαστε Πέτρε μεγαλώνυμε.

Θεοτοκίον.

Μὴν μόνην πανύμνητον, τὴν καλὴν ἐν γυναιξὶ, τὴν τοῦ Θεοῦ λοχεύτριαν, χριστιανῶν τὸ τεῖχος τὸ ἀῤῥαγὲς, τὴν Ἄχραντον Δέσποιναν, ἀδιστάκτῳ καρδίᾳ μακαρίσωμεν.

Ὁ αὐτός.

Ἐπέβης τοῖς ὕδασι, κυβερνώμενος χειρὶ, ζωαρχικῇ Εἰρηνάρχε, καὶ διεσώθης τούτοις τῶν διωκτῶν, βυθίσας σεβάσματα, προσευχῇ ἐπιμόνῳ ἱερώτατε.

Μικροῖς ἀντωνούμεναι, τὰ μεγάλα ἑαυτὰς, τοῖς αἰκισμοῖς ἐξέδωκαν, αἱ ἱεραὶ Γυναῖκες τὸν πτερνιστὴν, τῆς Εὔας ἐν πνεύματι, θανατώσασαι ὄφιν τὸν ἀρχέκακον.

Οἱ παῖδες οἱ ἅγιοι, ἱερεῖα καθαρὰ, καὶ προσφοραὶ ὁλόκληροι, τῷ τυθέντι ὡς θῦμα ἀληθινῷ, ἀμνῷ προσηνέχθησαν, εἰς ὀσμὴν εὐωδίας ἀγαλλόμενοι.

Θεοτοκίον.

Ἰδοὺ νῦν σεσάρκωται, ἐξ αἱμάτων σου ἁγνῶν, Παρθενομῆτορ Κύριος. καὶ τοῖς βροτοῖς ἐνοῦται δίχα τροπῆς, δι' ἄφατον ἔλεος, τὴν ἡμῶν σωτηρίαν ἐργαζόμενος.

Ὁ Εἱρμός. Τοῦ βίου τὴν θάλασσαν.

Κοντάκιον. ἦχ. γ'. Ἡ Παρθένος σήμερον.

Ὡς προλάμψας Στέφανε, τῷ τῆς ἀσκήσεως τρόπῳ, καὶ τῷ Κόσμῳ ἤστραψας, τῷ τῆς ἀθλήσεως δρόμῳ. ἔλυσας ζοφώδη πλάνην αἱρετιζόντων. ἔδειξας βεβαίαν δόξαν ὀρθοδοξούντων. διὰ τοῦτο ἐδοξάσθης, ὡς θεῖος Μάρτυς τῆς ἀληθείας Χριστοῦ.

Ὁ Οἶκος.

Ἀθετοῦντας ὁρῶν, ἔνδοξε τοὺς παράφρονας, τὸν ἀΰλως τὸ πρὶν, Κύριον καὶ Θεὸν ἡμῶν, φανέντα σαρκὸς δὲ ὕλῃ ἐπ' ἐσχάτων, ἐν ᾗ τυποῦσθαι τοῦτον καὶ σέβεσθαι,

θαι, μηδ' ὅλως θεατίζοντας, ἀδεμὶ ἡγήσω ὑπὲρ τὸμ Κτίσαντα. ἀλλ' ἀμάλαβὼν ἀνδρεῖον φρόνημα, ἐν μέσῳ τούτων ἀθὺς παρῆλθες, ἐλέγχων τούτους ἀθαρσῶς, ὡς δυσσεβοῦντας ἐμμανῶς. διὰ τοῦτο παμμάκαρ, ἐπαξίως ἐδοξάσθης, Ὡς θεῖος Μάρτυς τῆς ἀληθείας Χριστοῦ.

Ἕτερον Κοντάκιον. Ἦχος, δ'.

Ἐ πεφάνης σήμερον.

Ἑορτάζει σήμερον, ἡ Ἐκκλησία, ἑορτίων ἀνθρώπων, ἐν τῇ σῇ μνήμῃ καὶ πιστῶς, ἀναβοᾶν ἀξιοῦσα. Στέφανε θεῖε, Ὁσίων τὸ καύχημα.

Ὁ Οἶκος.

Ἧς πᾶσαν γῆν ὡς ἀληθῶς, διέδραμεν ὁ φθόγγος, τῶν σῶν κατορθωμάτων, σοφὲ Ὁσιομάρτυς, ὧν περ ἐφιάσω θαυμαστῶς. ὅθεν δυσωπῶ σε, παῤῥησίαν πρὸς Θεὸν ὡς κεκτημένος Ὅσιε, ἱκέτας τοὺς δοξάζοντάς σε λόγον ἐπάξιον, τοῦ ἀφεθῆναι τὰς ἁμαρτίας, ὡς ὑπέρτιμος ἔχων ἐν ὁράτῳ ἐχθρῷ, καὶ μονομαχῶν. ὡς πρὶν ἀσκητικῶς καθείλες, ἁπάσας τὰς κινήσεις τῆς σαρκὸς ἀπονεκρώσας, ἀθλήσει δὲ νῦν, τὸν Τύραννον ἐκτροπώσω, Ὁσίων τὸ καύχημα.

Τῷ αὐτῷ Μηνί, ΚΗ'. Μνήμη τοῦ Ὁσίου Πατρὸς ἡμῶν καὶ Ὁμολογητοῦ Στεφάνου τοῦ Νέου.

Πλησθεὶς Νέε Στέφανε τοῦ κάρφους ξύλου,

Εὗρες πρεπόντως οὐχὶ γηράσκοντα στέφος. Εἰκάδι ἀγδοάτῃ Στεφάνου Νέου κράτα θραῦσαν.

Ὅς ὑπῆρχεν ἐπὶ τῆς βασιλείας Λέοντος, τοῦ δὲ Ἀρτεμίου, πατριάρχου τοῦ ἐν ἁγίοις Γερμανοῦ, γενόμενα δὲ θρέμμα τῆς Βασιλίδος τῆς Πόλεως, καὶ Χαριεστάτων γονέων Υἱός, Ἰωάννου καὶ Ἀννης. Οὗτος ἐξ ἁπαλῶν ὀνύχων τοῖς γράμμασιν ἐσχόλαζε, καθ' ἑκάστην μὲν τῆς Μητρὸς τῇ τοῦ Θεοῦ Ἐκκλησίᾳ παρηδρεύε, τῇ μητρικῇ δὲ σκληραγωγίᾳ ἑαυτὸν ἐκδίδου. ὅθεν καὶ τὸ Ἀγγελικὸν περιέθετο Σχῆμα, τῷ ἑκκαιδεκάτῳ χρόνῳ τῆς ἡλικίας αὐτοῦ. Εὐθὺς μὲν ἐπὶ πλέον πρὸς τὰς πυθμαντικὰς ἀγῶνας ἑαυτὸν ἐπιδίδωσι, πάσας τὰς τοῦ σώματος περικόπτων ὁρμάς. Οὐ πολὺ τὸ ἐν μέσῳ, καὶ ὁ Θεσσαλονίκης Ἰωάννης ὁ τότε καθηγούμενος, ἐν εἰρήνῃ ἀνεπαύσατο, καὶ ὁ μακάριος Στέφανος τὴν ἐπισκοπὴν τότε ἐγχειρίζεται, ἐν τῷ περιωνύμῳ βουνῷ τοῦ Ἁγίου Αὐξεντίου, διαμένων τὸν ἀσκητικὸν βίον. Ἐπεὶ δὲ ὁ τῆς ζιζανίων σπορᾶς, πόλεμον ἀπεστόμβου ἤγειρε κατὰ τῆς Ἐκκλησίας, τοῦ μὴ προσκυνεῖν τὰς ἁγίας καὶ σεπτὰς Εἰκόνας. Λέοντος δὲ τοῦ ὀργάνου τούτου, ὁ τῆς Συρίας ὁρμώμενος. ἀλλ' αὐτὸς μὲν τῆς παρούσης ζωῆς ἀπερράγη, ὑπὸ τοῦ μακαρίου Γερμανοῦ ἀποκρυβεὶς, καὶ διελεγχθεὶς ἐκπαλαι. τὸ δὲ ἐκείνου σκαιότατον γράμμα, Κωνσταντῖνος φημὶ ὁ Κοπρώνυμος, μείζονα δεινὰ κατεργάσατο, πορθῶν καὶ καταῤῥέφων τὴν Ἐκκλησίαν, καὶ τὰς ἱερὰς Εἰκόνας πυρὶ κατανικαίων, καὶ τοὺς Μοναχοὺς ξίφεσι καὶ διαφόροις βασάνοις ὑποβάλλων. ὃς μαθὼν καὶ περὶ τοῦ Ἁγίου Στεφάνου, ὡς προσκυνεῖ τὰς ἁγίας Εἰκόνας, καὶ αἱρετικὸν αὐτὸν ἀποκαλεῖ, μὴ πειθαρχῶν αὐτῷ, μηδὲ ὑποκρίνασθαι αἱρέσεται τὴν αἵρεσιν, ἀποστείλας ἐκράτησεν αὐτόν. Καὶ μὴν μυρίας αἰκίας, κατέκλεισεν αὐτὸν ἐν τῇ φυλακῇ τῇ λεγομένῃ Πραιτωρίου, ἐν ᾗ ἐφρουροῦντο καὶ ἕτεροι Μοναχοὶ λογάδες, ἐκ διαφόρων τόπων δι' αὐτὸ τοῦτο συναθροισθέντες, τὸν ἀριθμὸν τεσσαράκοντα δύο, καὶ ἄλλοι οἱ περὶ Πέτρον καὶ Ἀνδρέαν, ἐκ διαφόρων χωρῶν, τὸν ἀριθμὸν τριακόσιοι, οἱ μὲν βίγας, οἱ δὲ ὦτα, ἄλλοι ὄμματα ἀφηρημένοι, καὶ χεῖρας, καὶ γαμεάδας. ὓς ἁρπάσας ὁ μακάριος Στέφανος, ἠσπάζετο, καὶ πρὸς τὰς ἀγῶνας ἐπῄλειφε, πᾶσαν μοναχικὴν κατάστασιν καὶ ἀκολουθίαν ἐν τῷ Πραιτωρίῳ διατελῶν. Μαθὼν δὲ τοῦτο ὁ βασιλεύς, καὶ ὅτι τὸ Πραιτώριον Μοναστήριον γέγονε διὰ τὸν Στέφανον, πληρωθέντος ἤδη ἐνδεκαμήνου χρόνου ὑπὸ τῆς εἰς τὸ Πραιτώριον τούτου καθείρξεως, ἐκβάλλεται τῆς φυλακῆς, καὶ εἰς χῶ ῥίπτεται, λίθοις βαλλόμενος, καὶ ξύ-

ξύλοις τυπτόμενος. Εἷς δέ τις τῶν φονώντων λαβόμενος ξύλου, καὶ κρούσας κατὰ τῆς μήλιγκος, ἀνεῖλε τὸν Ἅγιον, τῆς ἁγίας αὐτοῦ διαιρεθείσης κεφαλῆς ἐκ τοῦ κρούσματος, καὶ τὴν τιμίαν αὐτοῦ ψυχὴν τῷ Θεῷ παρατέθησιν. Οἱ δὲ λοιποὶ τῶν δημίων ἔσυρον αὐτὸν, ἐπὶ τῆς λεωφόρου γυμνὸν καὶ νεκρὸν τὸ σῶμα. αἵτε χεῖρες καὶ πόδες αὐτοῦ λίθοις προσκρούοντες, συνετρίβοντο, καὶ οἱ δάκτυλοι σὺν τοῖς ὄνυξιν ἀπεσπῶντο, ἕως καί τις τῶν τοῦ ἀλάστορος θεραπευτῶν, λίθον μέγιστον ἀκοντίσας, τὴν γαστέρα τοῦ Ὁσίου διέρρηξε, καὶ αὐτίκα πᾶσαι αἱ τῶν σπλάγχνων συνθέσεις εἰς γῆν ἐξεχύθησαν. Καὶ κάπηλός τις δαλὸν ἐκ τοῦ πυρὸς ἀνελόμενος, καὶ κρούσας κατὰ τῆς κεφαλῆς, καὶ εἰς δύω μέρη ταύτην διατεμὼν, τὸν ἐγκέφαλον ἐπὶ τὴν γῆν ἔρριψε. Τὸ δὲ τίμιον αὐτοῦ λείψανον παρὰ τῶν μιαρῶν ἐκείνων ἐν τοῖς πελαγίου ἐρρίφη, ὕστερον δὲ παρὰ εὐλαβῶν τινῶν ἐτάφη, ἐν ᾧ νῦν κατάκειται τάφῳ.

Τῇ αὐτῇ ἡμέρᾳ, Ὁ Ἅγιος Ἀνδρέας συρόμενος κατὰ γῆς διὰ τὴν τῶν Ἁγίων Εἰκόνων προσκύνησιν, τελειοῦται.

ϛ. Ἐκ γῆς ἐπλάσθην, γῆμε δὴ καὶ κτεινάτω.

Πλάστου γὰρ αὐτῆς Ἀνδρέας τιμῶ Τύπους.

Τῇ αὐτῇ ἡμέρᾳ, Ὁ Ἅγιος Πέτρος τυπτόμενος ὑπὲρ τῶν Ἁγίων Εἰκόνων, τελειοῦται.

ϛ. Ἀν εἰκόνων τύπτωσι τὸν Πέτρον χάριν,

Εὕρωσιν αὐτὸν πέτρινον τῷ σαρκίῳ.

Τῇ αὐτῇ ἡμέρᾳ, Ἡ Ἁγία Ἄννα τυπτομένη πρὸς τὸ κατειπεῖν τοῦ Ἁγίου Στεφάνου, τελειοῦται.

ϛ. Μάστιξιν Ἄνναν εὐτόνως τετυμμένην,

Ἔδειξε Χριστὸς εὐπρεπῶς ἐστεμμένην.

Τῇ αὐτῇ ἡμέρᾳ Μνήμη τῶν Ἁγίων Μαρτύρων, τῶν συμμαρτυρησάντων τῷ Ἁγίῳ Στεφάνῳ, ὑπὲρ τῶν Ἁγίων Εἰκόνων.

ϛ. Τιμῶντες Εἰκόνισμα σαρκός σου Λόγε,

Θνήσκουσιν οἱ Ἅγιοι βίαιον μόρον.

Πολλοὶ τῶν στρατιωτῶν Ὀρθόδοξοι ὄντες, ἀποταξάμενοι τῷ βίῳ, γεγόνασι Μοναχοί. Τοὺς τοιούτους δὲ ὁ παράνομος τιμωρησάμενος βασιλεὺς, τοῦ βίου ὑπεξήγαγε. Καὶ γὰρ τὸν ἐνὰ Βασίλειον καλούμενον, ἐκκαλούμενος πρὸς τὴν αὐτοῦ πλάνην, καὶ μὴ πειθόμενον, ἀλλὰ τὴν προσκύνησιν τῶν ἁγίων Εἰκόνων σέβεσθαι τούτου εἰπόντος, λὰξ κατὰ τῆς γαστρὸς αὐτὸν κρούσας, τὰ ἔγκατα ἐξέχεε, καὶ οὕτως ἐτελεύτησεν. Ἄλλος ἐγκλεισθεὶς ἐν τῷ Σωσθενίῳ, ῥινοκοπηθεὶς, ἐν Χερσῶνι ἐξωρίσθη. Καὶ μέλλων φονευθῆναι, ἔφυγεν εἰς Χαζαρίαν, ἐν ᾗ καὶ Ἐπίσκοπος γέγονε, καὶ ὕστερον ἐτελειώθη. Ἕτερος δὲ Στέφανος τοὔνομα, εἰς Συγδαίαν ἐξωρίσθη, καὶ πολλοὺς ὠφελήσας, τέλος εὗρε τοῦ βίου. Ὁμοίως δὲ καὶ Γρηγόριος σὺν ἄλλοις πολλοῖς ἐξορισθέντες, ἐτελεύτησαν. Ἀλλὰ καὶ Ἰωάννης ὁ ἀπὸ Λεγαταρίων, ἐν Δαφνουσίᾳ ἐξορισθεὶς, καὶ τυπτόμενος συχνῶς, τὸν βίον ἀπέλιπε.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ Ἁγίου Μάρτυρος Εἰρηνάρχου, καὶ τῶν σὺν αὐτῷ ἑπτὰ Ἁγίων Γυναικῶν.

ϛ. Τὸν Εἰρήναρχον ἡ φονεύτρια σπάθη,

Σῷ Σώτερ Εἰρήναρχε συντάττει μέρει.

Ἔδειξε νεκρὰς ἐν Σεβαστείᾳ Πόλει,

Γυναῖκας ἑπτὰ πανσεβάστους τὸ ξίφος.

Εἰρήναρχος ὁ Μάρτυς, ἐγένετο ἀπὸ τῆς Πόλεως Σεβαστείας. Νέος δὲ ὢν τὴν ἡλικίαν, δήμιος τὴν τάξιν ὑπῆρχε, καὶ τιμωρουμένων τῶν Ἁγίων Μαρτύρων, αὐτὸς ἐξυπηρέτει ἐν ταῖς κολάσεσιν. Ἐταζομένων δὲ Γυναικῶν Χριστιανῶν, ἐπὶ τῆς βασιλείας Διοκλητιανοῦ, παρὰ Μαξίμου Ἄρχοντος Σεβαστείας, φωτίζεται τὴν ψυχὴν Εἰρήναρχος, ὑπὸ τῆς θείας χάριτος τοῦ Χριστοῦ, ὡς ἔβλεπε τὰς γυναῖκας ὑπὲρ Χριστοῦ ἀνδριζομένας, καὶ καταιχυνούσας τὸν Τύραννον, διὰ τῶν πάρ αὐτῶν γενομένων θαυμάτων. Ὅθεν παρρησίᾳ ὁμολογήσας τὸν Χριστὸν, καὶ ἑαυτὸν ἀνάκρ

ρύττων Χριστιανὸν, πρῶτον μὲν τῇ τοῦ Ἄρχοντος προστάξει ἐν τῇ λίμνῃ ἀπερρίφη. Ἔπειτα ἐκ τῆς λίμνης ζῶν ἐξελθὼν, εἰς κάμινον ἐμβάλλεται πυρός. Καὶ ταύτης παραδόξως διασωθεὶς, τὴν κεφαλὴν ἀποτέμνεται σὺν Ἀκακίῳ τῷ Πρεσβυτέρῳ τῷ τοῦτον βαπτίσαντι.

Ταῖς αὐτῶν ἁγίαις πρεσβείαις, ὁ Θεός.

Ὠδὴ, ζ'. Δροσοβόλον μὲν τὴν κάμινον.

Ἐμηνύθησοι τὸ τέλος τὸ μακάριον, παντουργικῷ βουλήματι. ὅθεν πλείονι, ἐπιδοὺς ἀσκήσει σεαυτὸν, ἐκ δόξης εἰς δόξαν προχωρεῖς, ἀποκτανθεὶς διὰ Χριστὸν, τὸν ἐπὶ πάντων Θεόν.

Φερωνύμως τῷ Πρωτάθλῳ συνδεδόξασαι. καὶ γὰρ λιθολευστούμενος, καὶ συρόμενος, καὶ τυπτόμενος ἀνηλεῶς, αἱμάτων ἐπλήρωσας τὴν γῆν, καὶ τὴν ψυχήν σου τῷ Θεῷ, χαίρων παρέδωκας.

Ἐν πλατείαις Μάρτυς Στέφανε συρόμενος, ἀνηλεῶς τῆς Πόλεως, ἐξωμάλισας, μαρτυρίου τρίβον τοῖς πιστοῖς. ἐν ᾗ ἐπιβαίνοντα στερρῶς, πρὸς τὴν οὐράνιον σαφῶς, Πόλιν κατήντησας.

Θεοτοκίον.

Τερώτατοι Προφῆται προεδήλωσαν, Ἁγνὴ ἐκφαντικώτατα, τὸ μυστήριον, τῆς σεπτῆς λοχείας σου καὶ νῦν, ἡμεῖς τὰς ἐκβάσεις τηλαυγῶς, κατανοοῦντες εὐσεβῶς, σὲ μακαρίζομεν. Ὁ αὐτός.

Συμπαθείας τῆς πρὸς σάρκα διαζεύξας σου, τὸν νοῦν μακαριώτατε, φλογιζόμενος, καὶ πυρὶ καιόμενος σοφὲ, τῶν Παίδων ἐβόας τὴν ᾠδήν· εὐλογητὸς εἶ ὁ Θεὸς, ὁ τῶν Πατέρων ἡμῶν.

Μεμακάρισται τῶν Παίδων θεῖος ὅμιλος, καὶ γυναικῶν ἑπτάριθμος, χορὸς ἅγιος, τοὺς ξεσμοὺς τὸ πῦρ τοὺς αἰκισμοὺς, στερρῶς ὑπομείναντες ὁμοῦ, καὶ οὐρανίων ἀγαθῶν, καταξιούμενοι.

Ἀπελαύνονται ἐκ μόνης σου προσκλήσεως, τῆς πονηρίας πνεύματα, ἐγνωκότα σε, Ἀθλητὴν ἀήττητον Χριστοῦ, Εἰρήναρχε μέλποντα θερμῶς· εὐλογητὸς εἶ ὁ Θεὸς, ὁ τῶν Πατέρων ἡμῶν.

Θεοτοκίον.

Ῥαθυμίᾳ με κρατούμενον διέγειρον, πρὸς ἐργασίαν Ἄχραντε, θείων πράξεων, ἐνισχύουσά με κατ' ἐχθρῶν, ἀεὶ πολεμούντων με δεινῶς, καὶ ἐναντίοις λογισμοῖς, δελεαζόντων με.

Ὠδὴ, η'. Ἐκ φλογὸς τοῖς Ὁσίοις.

Μανικώτατοι ὥσπερ θῆρες συνέλαβον, τοῦ Χριστοῦ τὸ ἀρνίον παίοντες κτείνοντες, καὶ μετὰ ἀνδρῶν, ἀνομούντων συνθάπτοντες, οἱ παρανομίᾳ, συζῶντες εἰς αἰῶνας.

Ἀκλεῶς σου τὴν κάραν ἐχθρὸς συνέτριψεν, ἣν Θεὸς ἐν ὑψίστοις στέφει κατέστεψε, τῷ νικητικῷ, στεφανίτα πολύαθλε, κλέος τῶν Μαρτύρων, καὶ πάντων τῶν Ὁσίων.

Καρτερῶς τῷ διώκτῃ ἀντιταττόμενος, ὁ θεόφρων Ἀνδρέας πληγαῖς συγκόπτεται, καὶ ἀνηλεῶς θανατοῦται ὁ δίκαιος, μέλπων τῷ Δεσπότῃ, Χῷ εἰς τοὺς αἰῶνας.

Ἁγιώτατος οἶκος ἤδη γενόμενος, τὸν ἐν πᾶσιν ἁγίοις ἀναπαυόμενον, ἔσχες ἐν τῇ σῇ, ἐνοικοῦντα πολύαθλε, Στέφανε καρδίᾳ, εἰς πάντας τοὺς αἰῶνας. Θ'.

Ῥαντισμῷ θείου λύθρου θεοχαρίτωτε, ἐκ πλευρᾶς κενωθέντος, τοῦ σοῦ Υἱοῦ καὶ Θεοῦ, τὸν ἐκ πονηρᾶς ἁμαρτίας προσόντα μοι, ῥύπον δυσωπῶσε, ἀπόπλυνον Παρθένε. Ὁ αὐτός.

Ῥῶν αἱμάτων τῷ λύθρῳ ἀεὶ σταζόμενος, καὶ μαστίγων τῷ κάλλει καλλωπιζόμενος, τῷ νικοποιῷ, ἐφανίσθης Εἰρήναρχε, νικης τὰ βραβεῖα, πρὸς τούτου δεδεγμένος.

Ὑψωθεὶς τῇ ἀγάπῃ τοῦ Παντοκράτορος, διωκτῶν ἐπηρμένην ὀφρὺν κατέαξας, καὶ εἰδωλικὸν, ἐταπείνωσας φρύαγμα, Μάρτυς Ἀθλοφόρε, Εἰρήναρχε παμμάκαρ.

Συμπαθείας με θείας Μάρτυς ἀξίωσον, πειρασμῶν καὶ κινδύνων ἀπολυτρούμενος, πίστει σε θερμῇ, τὸν τιμῶντα Εἰρήναρχε, καὶ ὑπὸ τὴν σκέπην, τὴν σὴν προσπεφευγότα.

Θεοτοκίον.

Χαῖρε ἅγιον ὄρος καὶ θεοβάδιστον, ἀπορρήτων πραγμάτων χαῖρε φανέρωσις, ἄκουσ-

ἄκεσμα φέροντος, δυσθεώρητον ὅραμα, χαῖρε τῷ πεσόντων, ἀνάκλησις Παρθενίκε.

Ὁ Εἱρμός. Ἐκ φλογὸς τοῖς Ὁσίοις.

Ὠδὴ θ'. Θεὸν ἀνθρώποις ἰδεῖν.

Τὸν ἀγάλλῃ Ἀγγέλων τάγματα, Πατριάρχων Ὁσίων Προφητῶν Ἀποστόλων τε, καὶ Δικαίων ἁπάντων θεόπνευστε. οἷς συμπερίπολλων, μνήσθητι πρόσθι, τῷ εἰλικρινῶς ἐπὶ τῆς γῆς, μακαριζόμενος.

Ὡς φῶς ὡς ὄρθρος ὡς μέγας Ἥλιος, ὡς Οὐρανὸς κατάστερος θαυμάτων λαμπρότησι, καὶ στιγμάτων ἁγίων γεγενῆσαι, πάντων τὰς διανοίας, τῷ ἀθρήνητον σε, Στέφανε λαμπρύνων ἀληθῶς, Μάρτυς πολύαθλε.

Στερροῖς ἀσκήσεως ἀγωνίσμασι, καταβαλὼν τὸ σκότος τὰς ἀρχὰς Πάτερ πρότερον, ἐπ' ἐχάτων ἀθλήσας στερρότατα, παντελῆ ἀπωλείᾳ, ταύτας παρέδωκας, Στέφανε Μαρτύρων κάλλιστε, Ὁσίων καύχημα.

Ἡσὶν περίδοξος μνήμη σήμερον, φωτὶ σικαῖς ἀκτῖσι χαρισμάτων τῶν Πνεύματος, καταυγάζει τὰ τῆς γῆς πληρώματα. ὧν ἐν ἀγαλλιάσει, μὴ ἑορτάζοντας, φώτισον ἁγίασον ἡμᾶς, Θεομακάριστε.

Θεοτοκίον.

Φωτὸς δοχεῖον Θεοχαρίτωτε, τῷ ἱερῶν Μαρτύρων ἀληθῶς τὸ κραταίωμα, καὶ Ὁσίων ἁπάντων τὸ καύχημα, σῶσον ἡμᾶς κινδύνων, καὶ περιστάσεων, καὶ τῆς τῶν ἐχθρῶν ἐπιδρομῆς, τοὺς ἀνυμνοῦντάς σε.

Ὁ αὐτός.

Τὸ ἔσχατον καὶ ἀκρότατον, τῶν ἐφετῶν κατέλιπας θεόφρον Εἰρηναρχε, καὶ μεθέξει Χριστοῦ ἐχρημάτισας, φάλλων σὺν ἀσωμάτοις· Ἅγιος, ἅγιος, ἅγιος, Τριὰς ἡ παντουργός, καὶ παντοδυνάμος.

Ἡδύθεις παγίδων τῷ θηράσαντι σε, πρὸς καλιὰν ὑψίον κατέπαυσας ἔνδοξε, καὶ Μαρτύρων σωρηθῆς στρατεύμασι, μετὰ τῶν σῶν σωρήθλων. ὅθεν γεραίρομεν, μνήμην σου τὴν ὑμῶν, περιχαρῶς πανηγυρίζοντες.

Τὸ σχοινὶ καὶ κράτος Χριστὸν τιθέμενος, τὸ χαλεπὸν βασάνων διεπέρασας πέλαγος, καὶ τοὺς αὖθις λιμένας κατέλαβες, ὅλος ὡραϊσμένος, ὅλος τῷ Πνεύματος, ταῖς φωτοχυσίαις, δαψιλῶς περιχεόμενος. θρ.

Νοεῖν τὸ θαῦμα τὸ ἀκατάληπτον, τῷ τοκετῷ τῷ σῷ Παρθενομήτωρ μὴ θέμενοι, σιωπῇ τέτο μᾶλλον δοξάζομεν, καὶ σὲ δοξολογοῦμεν, τὸν Παμμακάριστον, μόνην καὶ καλὴν ἐν γυναιξὶν, ὦ Παναμώμητε.

Ἐξαποστειλ. Ἐπεσκέψατο ἡμᾶς.

Ἐκομίσω πρὸς Χριστὸν, διπλοῦν τὸ στέφος Στέφανε, ἀσκήσας ὑπερβαλλόντως, καὶ μαρτυρήσας τὸν αὐτὸν, Εἰκόνα σεβαζόμενος, πάντων τε τῶν Ἁγίων. μεθ' ὧν ἡμῶν μνήσθητι.

Ἕτερον. Ὅμοιον.

Πρὸς τὸν Εἰκόνα τοῦ Χριστοῦ, μὴ προσκυνοῦντας Στέφανε, κατήχησας ὡς ἄθεος, καὶ μαρτυρίοις καλλοναῖς, καὶ στίγμασι κεκόσμησαι. διὰ τοῦτο πιστῶς σε, ἀεὶ μακαρίζομεν.

Θεοτοκίον. Ὅμοιον.

Τὸν χραμτε Δέσποινα ἀγνὴ, καὶ μόνη ἀπερόγαμε, ἡ Βασιλὶς καὶ Κυρία, σὺ δυσώπει τὸν ἐκ σοῦ, τεχθέντα Λυτρωτὴν ἡμῶν, σῶσαι Κόσμον ἐκ παντὸς, κακοῦ τε καὶ θλίψεως.

Σταυροθεοτοκίον. Ὅμοιον.

Μαρισαμένη τῷ Σταυρῷ, Χριστὲ ἡ σὲ κυήσασα, ὀδυρομένη ἐβόα· ὦ Τέκνον καὶ Θεὲ, αἰσχρὰ ὑβρισμένον σε, τὸν ἔγερσιν τοῖς πίστεσι, ταύτην τιμῶσιν ἐκ πόθε, καὶ σῶσον ὡς εὔσπλαγχνος.

Εἰς τὸν ᾱ. κ. τῆς Ὀκτωήχου.

Ἡ λοιπὴ Ἀκολουθία τοῦ Ὄρθρου, καὶ Ἀπόλυσις.

Τῷ αὐτῷ Μηνὶ, ΚΘ'.

Τοῦ Ἁγίου Μάρτυρος Παραμόνου, καὶ τῶν Ἁγίων Μαρτύρων Φιλημένου. Ἑωθινὸν, εἰς τὸ, Κύριε ἐκέκραξα, ἦχος δ'. στιχ. ᾱ. καὶ φάλλομεν κ. προσομ. ἦχ. δ'.

Ὁ

Ὁ ᾨξ ὑψίστῳ κλιθείς.

Φωτοφανείαις σαφῶς πεπυρσάμενος, παμμάκαρ Παράμονε, τῷ θείῳ Πνεύματος, σκότος βαθύτατον τέλεον, ἀπεβδελύξω, πολυθείας τε ἠυτομόλησας, ἀθέτῳ λαβόμενος, καιρῷ παρόλβιε, πρὸς τὰ προκείμενα σκάμματα, γεννναιοφρόνως, τε νικηφόρος ὀφθεὶς κατέβαλες, τὸν ἀλαζόνα τε πολέμιον, παίπων βροτῶν μεγαλιώνων Χριστόν. ὃν ἱκέτευε σῶσαι, τε φωτίσαι τὰς ψυχὰς ἡμῶν.

Διὰ τὸν παίπων Θεὸν τε Βασιλέα, δῆμον πολυάριθμον κατασφαττόμενον, καταγνοὺς Παράμονε, τῷ θείῳ ζήλῳ, ὅλως ἐθέλχθης τε ἀνεβόησας· Χριστὸς δεῦρος γηήσιος, ὑπάρχω παίτοτε. γνῶτε παράνομοι τύραννοι, καὶ ὡς ἀρνίον, ἄκακον θύεσθαι μιῷ αὐτόκλητος, παρεγενόμην. μὴ δ' μέλλετε, θῦμα δεκτὸν τῷ τυθέντι σαρκὶ, δι' ἐμὲ ἑκουσίως, τῷ γενέσθαι κατεπείγομαι.

Ἐπταετίᾳ τιμώμενος δεκάδι, τελειοῦται τε ὁ τίμιος, ἑκατονταδὶ χορὸς, τῷ Ἀθλοφόρῳ πολύθεον, καθέλε πλανίην, παράνομον τῶν διὰ τῆς πίστεως. μεθ' ὃ ἐξεφάνωσαι, ἀγωνισάμενος, γεννναιοφρόνως Παράμονε, τε ταῖς χορείαις, τῷ Ἀσωμάτῳ χαίρων κατέθηνσαι. μεθ' ὧν δυσώπει πάσης θλίψεως, καὶ πειρασμῶν λυτρωθῆναι ἡμᾶς, τὸν σὲ ἀνάφημνοῦντας, τε γηήσιως μακαρίζοντας.

Δόξα, τε νῦν. Ὅμοιον.

Οὐκ ἀποκρύπτω ὁ πάλαι τὰ δεινά μου, ὅτι πάντα κέκτημαι ἅπερ μισεῖ ὁ Θεὸς, σάρκα μολυνάς τε πνεῦμα μου, καὶ μὴν ἀνομίαις, καὶ ἀθεμίτοις ἔργοις τε λόγοις αἰσχροῖς, γλώσσῃ κατακρίνωντε τοὺς ἁμαρτάνοντας, ἀυτὸς τὰ χείρω ἐργάζομαι. Θεογενῆτωρ, τέκνων μοι δίδου πάντων διόρθωσιν. ἵνα ἐκνήψας, τῆς κακίας μου, συνθέας προσπέσω τε κλαύσωμαι, ἃ δεινὰ εἰργασάμην, τῆς ζωῆς μου τὸ ὑπόλοιπον.

Σταυροθεοτοκίον. Ὅμοιον.

Μὴ ἐπόδυσόν μου Μῆτερ καθορῶσα, ἐν ξύλῳ κρεμάμενον, τὸν σὸν Υἱὸν τε Θεὸν, τὸν ἐφ' ὕδατων κρεμάσαντα, τὴν γῆν ἀχέτως, καὶ πᾶσαν κτίσιν δημιουργήσαντα. τε γὰρ αἰσχύνομαι τε δοξασθήσομαι, τε τὰ τῆς Ἁδου Βασίλεια, σωτηρίῳ θέμει, τε ἀφανίσω τοῦτον τῷ δωτῆρι, καὶ τοὺς δεσμίους ἐκλυτρώσομαι, τῆς αὐτῶν κακουργίας ὡς εὔσπλαγχνος, τε χαρίσομαι τούτοις, Βασιλείαν τὴν αἰώνιον.

Ἀπολυτίκιον. Ὁ Μαρτυρεσσι Κύριε.

Εἰς τὸν Ὄρθρον ἀναγινώσκομεν τὸν λοιπὸν τοῦ βίου τοῦ Ὁσίου Στεφάνου.

Ὁ Καμὼν τῶ Ἁγίω. Οὗ ἡ ἀκροστιχίς.

Τὸ μνῆμά τοι τὸν σὸν μοῦ δίδου Μάρτυς χάριν. Ἰωσήφ.

Ὠδὴ, α'. ἦχος, δ'.

Θαλάσσης τὸ ἐρυθραῖον.

Ὑμνῆτα, τὸν φωτοφόρον μιμήσασθε, Μάρτυς Παράμονε, φωτιζόμενοι τοῦ Πνεύματος ἀυγαῖς, τὸν καρδίαν μου φώτισον, καὶ παραμύθιον θείαις με, μομφθεσίαις ἐνδυνάμωσον.

Μαρτύρων, περιφανῶς τὸν εὔκλειαν, μάκαρ ἐπλούτησας, μαρτυρικαῖς ἐμπρέπων καλλοναῖς, τε ὡραίοις ἐν τίγμασιν, ὡραιωθεὶς Παράμονε. ὅθεν πιστῶς σε μακαρίζομεν.

Ναμάτων, ζωοποιῶν τοῦ Πνεύματος, ὑπάρχων ἔμπλεως, τοὺς ἀθείας καύσωνι δεινῷ, ἐκτακέντας ἐδρόσισας, τε πρὸς τὸ ὕδωρ ὡδόξε, τῆς ἀναπαύσεως ὡδήγησας. Θεοτοκίον.

Ὑμνῶ σε, τὸν ἄνευ σπορᾶς τεκοῦσαν βροτὸν γεγενημένον. ὃν ἐκτενῶς ἱκέτευε ἀγνὴ, ὡς Τίόν σου τε Κύριον, τὰ τῆς ψυχῆς μου πάθη ἰάσασθαι Παναμώνιε.

Ὠδὴ, γ'. Εὐφραίνεται ἐπὶ σοί.

Πλοῦ ἔπαρσιν τοῦ ἐχθροῦ, ταπεινωθεὶς διὰ Χριστὸν ἔπαυσας, καὶ τὰς ἀυτοῦ φάλαγγας, ξίφει καρτερίας συνέκοψας.

Ἐκύρωσας πομπὴν, τῆς πίστεως ἡμῶν βέλημα, τε καρτερῶς ἤθλησας, Μάρτυς ἀθλοφόρε Παράμονε.

Ναμάρωσαι θεϊκῇ, ὡς φρατιώτης δυνατὸς χάριτι, τε χαλεπὰ βάσανα, Μάρτυς ὥσπερ ὄναρ λελόγισαι.

Θεο-

Θεοτοκίον.

Στερέωσόν μου τὸν νοῦν, περιτρεπόμενον πολλοῖς πάθεσι, Μήτηρ Θεοῦ παράγνε, ὅπως καταχρέως δοξάζω σε.

Ὁ Εἱρμός.

Εὐφραίνεται ἐπὶ σοὶ, ἡ Ἐκκλησία σου.

θθι κα. ἦχος, δ'. Ταχὺ προκατάλαβε.

Ὁ Μάρτυς Παράμονος, καρτερικῶς ἐναθλῶν, τοῖς ῥείθροις τοῦ αἵματος, πολυθείας πυρὰν, ἐνθέως κατέσβεσεν. ὅθεν τῶν ἰαμάτων, εἰληφὼς θείαν χάριν, δαίμονας ἀπελαύνει, καὶ νοσήματα παύει. αὐτοῦ Χριστὲ πρεσβείαις, σῶσον τὰς ψυχὰς ἡμῶν.

θν. Ὅμοιον.

Τὴν χάριν νῦν ἅπαντες, ἀνευφημήσωμεν, μητρὸς τοῦ Θεοῦ ἡμῶν, ὡς δι' αὐτῆς τὴν χαρὰν, τῷ Κόσμῳ αὐγάσασαν. λύσιν τῆς ἁμαρτίας, εὑραμένη ἡ φύσις, ἅπασα τῶν ἀνθρώπων, γηθομένη κραυγάζει· εὐχαῖς αὐτῆς Κύριε, ῥῦσαι ἡμᾶς τῶν δεινῶν.

Σταυροθν. Ὅμοιον.

Σταυρῷ ὡς ἑώρακας, τὸν σὸν Υἱὸν καὶ Θεὸν, Παρθένε πανύμνητε, καὶ ἀπειρόγαμε, ἀνύμνεις δακρύουσα, δόξα βοῶσα Λόγε, τῇ φρικτῇ σου βουλήσει, θέλων ὅτι νεκρῦσαι, ἡ ζωὴ τῶν ἁπάντων, ῥυόμενος τὸν κόσμον, φθορᾶς ὡς ὑπεράγαθος.

Ὠδὴ, δ'. Ἐπαρθέντασε ἰδοῦσα.

Ἡ καρδία σου ἀνδρείᾳ ὠχυρωμένη, καὶ παῤῥησίᾳ ἔνδοξε, πεπυρακτωμένη, βάσανα πολύπλοκα, νηπίων τοξεύματα, Μάρτυς γενναιόφρων λελόγισαι.

Νεκρωθέντας ταῖς προστάξεσι τοῦ Τυράννου, τοὺς Ἀθλητὰς θεώμενος, ζῆλον κατ' ἐκείνους, ἔνθεον ἀνέλαβεν, ὁ Μάρτυς Παράμονος, καὶ πρὸς τὸ παθεῖν ἠυτομόλησεν.

Νεανικῶς σε τεινόμενον καὶ ταῖς λόγχαις, ἀνηλεῶς νυττόμενον, καὶ τὰς μεθοδείας, τοῦ ἐχθροῦ τροπούμενον, Χριστὸς ἐστεφάνωσεν, ὁ ἀγωνοθέτης μακάριε.

Ὑπομονὴν ἐκπληττόμενος τῶν Μαρτύρων, καὶ τὴν αὐτῶν τελείωσιν, ἔνδοξε θαυμάζων, τούτοις ἐκοινώνησας, τοῦ ζήλου τῆς πίστεως, καὶ τῆς ὑπερτίμου ἀθλήσεως.

Θεοτοκίον.

Νεκρωθέντας τοὺς ἀνθρώπους τῇ παραβάσει, τῷ ζωηφόρῳ τόκῳ σου, Παρθένε Μαρία, πάντας ἀνενέωσας. διόσε δοξάζομεν, καὶ θεοπρεπῶς μακαρίζομεν.

Ὠδὴ, ε'. Σὺ Κύριέ μου φῶς.

Λῶρον πολυτελὲς, σεαυτὸν προσενήνοχας, τῷ Κτίστῃ σου ἐναθλήσας, καὶ τὴν πλάνην νικήσας, Μαρτύρων ἐγκαλλώπισμα.

Ἑδρύματα σοφὲ, τῶν Δαιμόνων καὶ ξόανα, συνέτριψας ἑδρασμένον, λογισμὸν κεκτημένος, ἐν πέτρᾳ θείας πίστεως.

Δαιμόνων τὴν πληθὺν, ἀνδρικῶς ἐτραυμάτισας, τῷ τραύματι τῆς σαρκός σου, ἀθλητὰ γενναιόφρον. διόσε μακαρίζομεν.

Θεοτοκίον.

Ὁμότιμος Πατρὶ, ἐνυπάρχων καὶ Πνεύματι, ὁ Κύριος ἐξ ἁγνῶν σου, ἐσαρκώθη αἱμάτων, Ἁγνὴ βροτὸς γενόμενος.

Ὠδὴ, ϛ'. Θύσωσοι, μετὰ φωνῆς.

Ὕπτιος, ἐν καιρῷ τῶν ἀγώνων οὐ γέγονας, ἐγηγερμένος δὲ μᾶλλον, καὶ πρὸς θείαν ἄθλησιν ῥωμαλαῖος. διὰ τοῦτο, τῶν στεφάνων τῆς δόξης ἐπέτυχες.

Μαρτύρων, ὁμηγύρει σαυτὸν συγκατέλεξας, τελειωθεῖσι προθύμως, πρὸ τῆς σῆς ἀοίδιμε μαρτυρίας, καὶ σὺν τούτοις σωτηρίου πασάδος ἠξίωσαι.

Αἱ λόγχαι, μιμητήν σε Χριστοῦ ἀπειργάσαντο. αἷς τιτρωσκόμενος Μάρτυς, πρὸς αὐτὸν ἀνέπτης στεφανηφόρος, θανατώσας, ὑπομονῆς τοὺς ἄφρονας ξίφεσι.

Θεοτοκίον.

Ῥῦσαί με, τῶν σκανδάλων τοῦ βίου Παράχραντε, τὸν ἐν νυκτὶ ἀβλεψίας, λογισμῶν ἀτόπων κεκρατημένον, καὶ κακίᾳ, τοῦ δυσμενοῦς ἀεὶ σκοτιζόμενον.

Ὁ Εἱρμός.

Θύσωσοι, μετὰ φωνῆς αἰνέσεως Κύριε.

Τῷ αὐτῷ Μηνὶ, ΚΘ'. Ἄθλησις τοῦ Ἁγίου Μάρτυρος Παραμόνου, καὶ τῶν σὺν αὐτῷ Ἁγίων τριακοσίων ἑβδομήκοντα Συμμαρτύρων αὐτοῦ.

δ. Ὁ Παράμονος νύττεταίσοι Χριστέ μου.

Γνοὺς

Γνὸς γὰρ Θεὸν μόνον σε, σοὶ θνήσκει μόνῳ.

Ξίφει κεφαλὰς ἄνδρες ἑπτάκις δέκα,
Σὺν ἑξαπλῇ διδοῦσιν πεντηκοντάδι.

Παράμονον δ' ἐννάτῃ κτάνον εἰκάδι ἔγχεα μακρά.

Οὗτοι ὑπῆρχον ἐπὶ Δεκίου τοῦ Βασιλέως, καὶ Ἀκυλίνου ἄρχοντος. Πρόφασις δὲ αὐτοῖς τῆς διὰ Χριστὸν Πίστεως καὶ τῆς τελειώσεως, αὕτη. Ἐν τόπῳ τῆς Βαλσατίας καλουμένῳ Γερῷ, πολλή τις καὶ πλουσία τυγχάνει θερμῶν ὑδάτων ἀνάδοσις, παραδόξως τὰς νόσους ἰωμένη. Ἐνταῦθα κατὰ σώματος θεραπείαν παραγενόμενος ὁ τὴν τῆς Ἑώας ἀρχὴν διέπων Ἀκυλῖνος, ἕπεσθαι αὐτῷ ἀπὸ Νικομηδείας τοὺς συνειλεγμένους ἀθλητὰς, δεσμίους παρεκελεύσατο. Γενόμενος δὲ εἰς τὸ τῆς Ἴσιδος τέμενος, καὶ τὰς μυσαρὰς θυσίας ἐκτελέσας, τοὺς Ἁγίους θύειν τοῖς εἰδώλοις καὶ προσκυνεῖν προσέταττεν. Οὓς ἀπαναινομένους τοῦτο ποιῆσαι, ξίφεσιν ἀναιρεθῆναι πάντας προσέταξε. Καὶ οὕτως οἱ γενναῖοι, θαυμαστοὶ τοῦ Παμβασιλέως Χριστοῦ τοῦ Θεοῦ γεγόνασι Μάρτυρες, τῇ αὐτοῦ θείᾳ δυνάμει κραταιωθέντες, τὸν ἀριθμὸν ὄντες τριακόσιοι ἑβδομήκοντα. Οὓς θεασάμενος ὁ ἅγιος Παράμονος, φωνῇ μεγάλῃ ἐβόησεν εἰπών· Μεγίστην ἀσέβειαν ὁρῶ, ὅτι ὁ μιαρὸς οὗτος τοσούτους δικαίους, καὶ ταῦτα ξένους, εἰλόγων κατασφάττει τρόπῳ. Ὁ δὲ ἀκούσας, καὶ ὑπὸ μανίας ἀναφλεχθεὶς, εὐθέως τοῦτον ἀναιρεῖσθαι προστάττει. Ὅπερ οὐκ εἰδὼς ὁ μακάριος, ἐν ᾧ τόπῳ βαδίζων διετέλει, καταχόντες αὐτὸν οἱ ἀπεσταλμένοι, οὐκ ἠνέσχοντο ἐπὶ παραχωρῆσαι δρᾶν τὸν φόνον, ἀλλὰ πάντες ἐπ' ὄψεσι τοῦ δικάζοντος, ταῖς ἰδίαις χερσὶ, καὶ τοῖς οἰκείοις ὅπλοις ἐκχέειν αἷμα ἀθῷον ἐπείγοντο, οἱ μὲν λόγχαις βάλλοντες, οἱ δὲ καλάμοις ὀξέσι, διά τε τῆς γλώττης καὶ τῶν λοιπῶν μελῶν τοῦ ἁγίου διελαυνόντες, ἐπ' ὄψεσι τοῦ Τυράννου ἐτελείωσαν ἐν τῷ εἰρημένῳ τόπῳ, καὶ πρὸς τὰς οὐρανίους σκηνὰς διεβίβασαν, καὶ ἐν αὐτῷ τῷ χορῷ τῶν τριακοσίων ἑβδομήκοντα Μαρτύρων, καὶ ταῖς τούτων θήκαις συνταχθεὶς κατετέθη.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ Ἁγίου Μάρτυρος Φιλουμένου.

ἡ. Φιλουμένου πείρουσιν ἥλοις τοὺς πόδας,
Χριστὸν φιλοῦντας, καὶ Θεῷ φιλουμένους.

Φιλούμενος ὁ Μάρτυς, ὧν ἐπὶ Αὐρηλιανοῦ βασιλέως, ἐκ Λυκαονίας ὁρμώμενος, καὶ τὸν σῖτον κομίζων ἐν τῇ τῶν Γαλατῶν χώρᾳ. Φίληκι οὖν τῷ ἡγεμόνι Ἀγκύρας διαβληθεὶς, καὶ Χριστιανὸν ἑαυτὸν ὁμολογήσας, ἡλοῦται πρῶτον τοὺς πόδας σιδήροις, καὶ αἰκίζεται. Εἶτα ἀναρτηθεὶς, σπαθίζεται, καὶ εἰς κλίβανον ἐκκαέντα ἐμβάλλεται. Ἐκ τούτων δὲ τῇ τοῦ Χριστοῦ δυνάμει ἀβλαβὴς διαφυλαχθεὶς, ἡλοῦται αὖθις τὴν κεφαλὴν, καὶ τὰς χεῖρας, καὶ τοὺς πόδας, καὶ ἐπὶ τριάκοντα σταδίους ἐλαύνεται, ἕως λειποψυχήσας τῷ Θεῷ τὸ Πνεῦμα παρέθετο.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ Ὁσίου Πατρὸς ἡμῶν Νικολάου Ἀρχιεπισκόπου Θεσσαλονίκης, καὶ τοῦ Ἁγίου Ἱερομάρτυρος Ἰωάννου, τοῦ ἐν Περσίδι, καὶ τῶν Ἁγίων ἓξ Μαρτύρων, ὧν διωκομένων, πέτρας ῥαγείσης, καὶ ὑποδεξαμένης αὐτοὺς, τελειοῦνται.

ἡ. Ἤνοιξε πέτραν εἰς ταφὴν ἓξ ἀνδράσιν,
Ὁ νεκρὸς εὑρὼν εἰς ταφὴν Χριστὸς πέτραν.

Τῇ αὐτῇ ἡμέρᾳ, Ὁ Ἅγιος Οὐρβανὸς Ἐπίσκοπος Μακεδονίας, ἐν εἰρήνῃ τελειοῦται.

ἡ. Ὁ χερσὶν οὗτος ἐκπνέων τῶν Ἀγγέλων,
Οὐρβανός ἐστιν, οὗ βίος κατ' Ἀγγέλους.

Τῇ αὐτῇ ἡμέρᾳ, Ὁ Ἅγιος Διονύσιος, Ἐπίσκοπος Κορίνθου, ξίφει πληγεὶς τελειοῦται.

ἡ. Διονύσιος εἷς τελῶν Θυηπόλων,
Ξίφος μετελθὼν, εἷς ἐστι καὶ Μαρτύρων.

Τῇ αὐτῇ ἡμέρᾳ, Ὁ Ὅσιος Βησσαρίων, ἐν εἰρήνῃ τελειοῦται.

ἡ. Πολλῶν ἱδρώτων καὶ πόνων Βησσαρίων,
Πολλὰς θανὼν εὕρηκεν ἀντιμισθίας.

Τῇ

Τῇ αὐτῇ ἡμέρᾳ, Ὁ Ὅσιος Παγκόσμιος, ἐν εἰρήνῃ τελειοῦται.

ἦ. Σύμπας ὁ Κόσμος, οὐδὲν ἦν Παγκοσμίῳ.

Ἐδὲμ γὰρ ἤρα καὶ μόνως, ἦν λαμβάνει.

Τῇ αὐτῇ ἡμέρᾳ, Ὁ Ὅσιος Πυτηροῦν, ἐν εἰρήνῃ τελειοῦται.

ἦ. Τῇ σῇ θελήσει πρὸς σὲ χωρεῖ Χριστέ μου, Ὁ σῶν Πυτηροῦν ἐργάτης θελημάτων.

Τῇ αὐτῇ ἡμέρᾳ, Ὁ Ἅγιος Μάρτυς Οὐαλλεριανὸς, ξίφει τελειοῦται.

ἦ. Διὰ στέφος πάντιμον οἴσω καὶ ξίφος, Ὁ Μάρτυς ἐκραύγαζεν Οὐαλλερίων.

Τῇ αὐτῇ ἡμέρᾳ, Ὁ Ἅγιος Φαῖδρος, ῥητίνης ζεούσης καταχεθείσης αὐτῷ, τελειοῦται.

ἦ. Πολλοὺς πρὸς ἄλλα, πρὸς δὲ ῥητίνης ζέσιν.

Στερρῶς ἀθλοῦντα, Φαῖδρον ἔγνωμεν μόνον.

Ταῖς αὐτῶν ἁγίαις πρεσβείαις, ὁ Θεός.

Ὠδὴ, ζ'. Ἐν τῇ καμίνῳ.

Ὑπὸν ἰαμάτων, καὶ τῶν θαυμάτων χάριν σοφὲ, Μάρτυς, ἐκ Θεοῦ πλουτήσας περιφανῶς, ἰατρεύεις τοὺς κραυγάζοντας· εὐλογημένος εἶ, ἐν τῷ ναῷ τῆς δόξης σου Κύριε.

Ὑφαπλουμένων, κολαστηρίων οὐκ ἐφρόντισας, ὅλην, τὴν φροντίδα ἔχων ἐν Οὐρανοῖς, καὶ κραυγάζων ἀξιάγαστε, εὐλογημένος εἶ, ἐν τῷ Ναῷ τῆς δόξης σου Κύριε.

Οὐ τῶν αἱμάτων, τῷ πυρὶ πᾶσαν ἔφλεξας, ὅλην, ἀθείας ἔνδοξε πονηρὰν, τῇ δὲ δρόσῳ τῶν θαυμάτων σου, τοὺς ἐν τῷ κάυσωνι, τῶν δυσχερῶν δροσίζεις Παράμονε.

Θεοτοκίον.

Χαῖρε ἡ μόνη, χαραὶ ἀνθρώποις κυήσασα, χαῖρε, Οὐρανὲ καὶ Θρόνε Χερουβικὲ, καὶ περίδοξον Παλάτιον, τοῦ Βασιλεύοντος, τῶν αἰώνων Παράμωμε Δέσποινα.

Ὠδὴ, η'. Χεῖρας ἐκπετάσας Δανιήλ.

Ἀγρυπνόνσε φύλακα πιστῶν, κατεπλουτήσαμεν, κατακοιμίζοντα, δαιμόνων φάσματα πάντοθεν, καὶ σαρκὸς ἄγρια κύματα, καὶ καταιγίδας λογισμῶν, Μάρτυς πολύαθλε, τῶν βοώντων· πάντα τὰ ἔργα ὑμνεῖτε τὸν Κύριον.

Ἐείθροις σῶν αἱμάτων ἱερῶν, πορφύραν ἔβαψας, σαυτῷ παλαίωσιν, μηδ' ὅλως μέλλουσαν δέχεσθαι, καὶ λαμπρῶς ὡραϊζόμενος, τὰ ἐπουράνια οἰκεῖς, βοῶν μακάριε· εὐλογεῖτε, πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

Ἱερεῖον ὥσπερ καθαρὸν, καὶ θύμα ἄμωμον, καὶ καλλιέρημα, ὁλοκαυτούμενον ἄνθραξιν, ἱερῶς Μάρτυς ἀθλήσεως, τῷ ἀθλοθέτῃ σου Χριστῷ, προσήχθης μέλπων σοφέ· εὐλογεῖτε, πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

Θεοτοκίον.

Νόμουσε σκιαὶ καὶ Προφητῶν προδιεχάραξαν, σεπτὰ κηρύγματα, ἀῤῥήτως μέλλουσαν ἔσεσθαι, τοῦ Θεοῦ ἡμῶν λοχεύτριαν, θεοχαρίτωτε Ἁγνή. ᾧ πάντες μέλπομεν· εὐλογεῖτε, πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

Ὁ Εἱρμός. Χεῖρας ἐκπετάσας Δανιήλ.

Ὠδὴ, θ'. Λίθος ἀχειρότμητος.

Ἴδε φωταυγοῦς Ἀθλοφόρου, φωτοφανὴς ἔλαμψε μνήμη, πάντων τῶν πιστῶν τὰς καρδίας, φωταγωγοῦσα τῷ θείῳ Πνεύματι. περιχαρῶς χορεύσωμεν, τοῦτον ἐν πίστει μακαρίζοντες.

Ὡς τῇ ἑπτακύκλῳ δεκάδι, καὶ τῇ τριπλῇ ἑκατοντάδι, ἀκαταγωνίστων Μαρτύρων συναγελάζων, μεθ' ὧν τὸ σῶμά σου, Μάρτυς Χριστοῦ κατάκειται, σὺν τούτοις πρέσβευε σωθῆναι ἡμᾶς.

Στάδιον ἀνύσαντες πόνων, πολυειδῶν μεμεστωμένον, καὶ μετὰ Χριστοῦ τοῦ τὸν κόσμον, νενικηκότος λαμπρῶς νικήσαντες, στεφανηφόροι Μάρτυρες, τοὺς Οὐρανοὺς περιπολεύετε.

Ἤρθης ἀπὸ γῆς καὶ τὰ γέρα, τῶν σῶν ἀγώνων ἐκομίσω. νῦν δὲ ποταμοὺς ἀναβλύζεις, ἡμῖν θαυμάτων τοῖς σὲ γεραίρουσι, καὶ εὐσεβῶς τὴν μνήμην σου, πανηγυρίζουσι Παράμομε.

Θεο-

Θεοτοκίον.

Φώτισον ψυχῆς μου τὰς κόρας, ἀμαυρωθείσας ἀβλεψίᾳ, τῆς φθοροποιοῦ ἁμαρτίας, Θεογεννῆτορ Παράγγε Δέσποινα. σὺ γὰρ πιστῶν βοήθεια, καὶ φωτισμὸς ὑπάρχεις Ἄχραντε.

Ἡ λοιπὴ Ἀκολουθία τοῦ Ὄρθρου, καὶ Ἀπόλυσις.

Τῷ αὐτῷ Μηνὶ, Λ'.

Τοῦ Ἁγίου καὶ ἐνδόξου Ἀποστόλου, Ἀνδρέου τοῦ Πρωτοκλήτου.

Ἐν τῷ Μεγάλῳ Ἑσπερινῷ, μετὰ τὸν Προοιμιακὸν, ψάλλομεν τὸ, Μακάριος ἀνήρ. Ἑσπερᾶς, εἰς τὸ, Κύριε ἐκέκραξα, ἱστῶμεν ἅ. η. καὶ ψάλλ. ἅ. προσομ. τὰ παρόντα τρία, ἦχος, δ.

Ὁ ἐξ ὑψίστου κληθείς.

Ὁ τῷ Προδρόμῳ φωτὶ μεμορφωμένος, ὅτε τὸ Ἀπαύγασμα τὸ ἐνυπόστατον, τῆς Πατρικῆς δόξης ἔφανεν, ἀνθρώπων γένος, δι' εὐσπλαγχνίαν σῶσαι βουλόμενος. τότε πρῶτος ἔνδοξε, τούτῳ προσέδραμες, καταυγασθεὶς τὴν διάνοιαν, τελειοτάτῃ, μαρμαρυγῇ αὐτοῦ τῆς Θεότητος. ὅθεν καὶ κήρυξ καὶ Ἀπόστολος, χρηματίζεις Χριστοῦ τοῦ Θεοῦ ἡμῶν. ὃν ἱκέτευε σῶσαι, καὶ φωτίσαι τὰς ψυχὰς ἡμῶν. Δίς.

Ὁ τῆς Προδρόμου φωνῆς ἐνηχημένος, ὅτε ὁ παράγιος Λόγος σεσάρκωται, ζωὴν ἡμῖν παρεχόμενος, καὶ σωτηρίαν, τῆς ἐπὶ γῆς εὐαγγελιζόμενος, τότε τούτῳ πάνσοφε, κατηκολούθησας, καὶ σεαυτὸν ἀκροθήνιον, καὶ παναγίαν, ὡς ἀπαρχὴν αὐτῷ καθιέρωσας. ὃν καὶ ἐπέγνως καὶ ἐμήνυσας, τῷ συγγόνῳ τῷ σῷ τὸν Θεὸν ἡμῶν. ὃν ἱκέτευε σῶσαι, καὶ φωτίσαι τὰς ψυχὰς ἡμῶν. Δίς.

Ὁ τῷ ἐκ στείρας βλαστήσαντι φοιτήσας, ὅτε ὁ Παρθένιος τόκος ἀνέτειλε, τῆς εὐσεβείας Διδάσκαλος, καὶ σωφροσύνης, ὑποδεικνύων τὴν καθαρότητα, τότε σὺ θερμότατος, τῆς ἀρετῆς ἐραστὴς, Ἀνδρέα μάκαρ γεγένησαι, τὰς ἀναβάσεις, ἐν σῇ καρδίᾳ διατιθέμενος. καὶ ἀπὸ δόξης πρὸς τὴν ἄφραστον, ἤρθης δόξαν Χριστοῦ τοῦ Θεοῦ ἡμῶν. ὃν ἱκέτευε σῶσαι, καὶ φωτίσαι τὰς ψυχὰς ἡμῶν.

Δόξα. ἦχος, δ'. Ἀνατολίου.

Μὴν τῶν ἰχθύων ἄγραν, καταλιπὼν Ἀπόστολε, ἀνθρώπους σαγηνεύεις, καλάμῳ τοῦ κηρύγματος, χαλῶν ὥσπερ ἄγκιστρον, τῆς εὐσεβείας τὸ δέλεαρ, καὶ ἀνάγων ἐκ τοῦ βυθοῦ τῆς πλάνης, τὰ ἔθνη ἅπαντα. Ἀνδρέα Ἀπόστολε, τοῦ Κορυφαίου ὁμαίμων, καὶ τῆς Οἰκουμένης ὑφηγητὰ διαπρύσιε, πρεσβεύων μὴ ἐλλείπῃς ὑπὲρ ἡμῶν, τῶν ἐν πίστει καὶ πόθῳ εὐφημούντων πανεύφημε, τὴν ἀεισέβαστον μνήμην σου.

Καὶ νῦν, ἦχος ὁ αὐτός.

Ἡσαΐα χόρευε, λόγον Θεοῦ ὑπόδεξαι, προφητεύσον τῇ Κόρῃ Μαριὰμ, βάτον καταφλέγεσθαι, καὶ πυρὶ μὴ καίεσθαι, τῇ αἴγλῃ τῆς Θεότητος. Βηθλεὲμ εὐτρεπίζου, ἄνοιγε πύλην ἡ Ἐδέμ. καὶ Μάγοι πορεύεσθε, ἰδεῖν τὴν σωτηρίαν, ἐν φάτνῃ σπαργανούμενον. Ὃν Ἀστὴρ ἐμήνυσεν, ἐπάνω τοῦ Σπηλαίου, ζωοδότην Κύριον, τὸν σώζοντα τὸ γένος ἡμῶν.

Εἴσοδος, Φῶς ἱλαρὸν, καὶ τὰ Ἀναγνώσματα.

Καθολικῆς, α'. Ἐπιστολῆς Πέτρου τὸ Ἀνάγνωσμα.

Κεφ. α'. 1. Πέτρος Ἀπόστολος Ἰησοῦ Χριστοῦ, ἐκλεκτοῖς παρεπιδήμοις, διασπορᾶς Πόντου, Γαλατίας, Καππαδοκίας, Ἀσίας, καὶ Βιθυνίας. Κατὰ πρόγνωσιν Θεοῦ Πατρὸς, ἐν ἁγιασμῷ Πνεύματος, εἰς ὑπακοὴν καὶ ῥαντισμὸν Αἵματος Ἰησοῦ Χριστοῦ, Χάρις ὑμῖν καὶ εἰρήνη πληθυνθείη. Ἀγαπητοὶ, περὶ τῆς σωτηρίας τῶν ψυχῶν ἡμῶν, ἐξεζήτησαν καὶ ἐξηρεύνησαν Προφῆται, οἳ περὶ τῆς εἰς ἡμᾶς χάριτος προφητεύσαντες ἐρευνῶντες εἰς τίνα, ἢ ποῖον καιρὸν ἐδήλου τὸ ἐν αὐτοῖς Πνεῦμα Χριστοῦ, προμαρτυρούμενον τὰ εἰς Χριστὸν παθήματα, καὶ τὰς μετὰ ταῦτα δόξας. Οἷς ἀπεκαλύφθη, ὅτι οὐχ ἑαυτοῖς, ἡμῖν δὲ

δὲ διηκόμεν αὐτὰ, ἃ μὴ ἀγγέλη ὑμῖν, διὰ τὸν ἀναγγελισάμενον ἡμᾶς ἐν Πνεύματι Ἁγίῳ ἀποσταλέντι ἀπ' οὐρανοῦ, εἰς ἃ ἐπιθυμοῦσιν Ἄγγελοι παρακύψαι. Διὸ ἀναζωσάμενοι τὰς ὀσφύας τῆς διανοίας ὑμῶν, νήφοντες, τελείως ἐλπίσατε ἐπὶ τὴν φερομένην ὑμῖν χάριν ἐν ἀποκαλύψει Ἰησοῦ Χριστοῦ, ὡς τέκνα ὑπακοῆς, μὴ συσχηματιζόμενοι ταῖς πρότερον ἐν τῇ ἀγνοίᾳ ὑμῶν ἐπιθυμίαις. Ἀλλὰ κατὰ τὸν καλέσαντα ὑμᾶς Ἅγιον, καὶ αὐτοὶ ἅγιοι ἐν πάσῃ ἀναστροφῇ γενήθητε. Διότι γέγραπται· Ἅγιοι γίνεσθε, ὅτι ἐγὼ ἅγιός εἰμι. Καὶ εἰ Πατέρα ἐπικαλεῖσθε τὸν ἀπροσωπολήπτως κρίνοντα κατὰ τὸ ἑκάστου ἔργον, ἐν φόβῳ τὸν τῆς παροικίας ὑμῶν χρόνον ἀναστράφητε. Εἰδότες ὅτι οὐ φθαρτοῖς, ἀργυρίῳ ἢ χρυσίῳ ἐλυτρώθητε ἐκ τῆς ματαίας ὑμῶν ἀναστροφῆς πατροπαραδότου, ἀλλὰ τιμίῳ αἵματι ὡς ἀμνοῦ ἀμώμου καὶ ἀσπίλου Χριστοῦ. Προεγνωσμένου μὲν πρὸ καταβολῆς Κόσμου, φανερωθέντος δὲ ἐπ' ἐσχάτου τῶν χρόνων δι' ὑμᾶς, τοὺς δι' αὐτοῦ πιστοῦντας εἰς Θεὸν τὸν ἐγείραντα αὐτὸν ἐκ νεκρῶν, καὶ δόξαν αὐτῷ δόντα, ὥστε τὴν πίστιν ὑμῶν καὶ ἐλπίδα εἶναι εἰς Θεόν. Τὰς ψυχὰς ὑμῶν ἡγνικότες ἐν τῇ ὑπακοῇ τῆς ἀληθείας διὰ Πνεύματος, εἰς φιλαδελφίαν ἀνυπόκριτον, ἐκ καθαρᾶς καρδίας ἀλλήλους ἀγαπήσατε ἐκτενῶς. Ἀναγεγεννημένοι οὐκ ἐκ σπορᾶς φθαρτῆς, ἀλλ' ἀφθάρτου, διὰ λόγου Θεοῦ ζῶντος καὶ μένοντος εἰς τὸν αἰῶνα. Διότι πᾶσα σὰρξ ὡς χόρτος, καὶ πᾶσα δόξα ἀνθρώπου ὡς ἄνθος χόρτου. Ἐξηράνθη ὁ χόρτος, καὶ τὸ ἄνθος αὐτοῦ ἐξέπεσε. Τὸ δὲ ῥῆμα Κυρίου μένει εἰς τὸν αἰῶνα. Τοῦτο δέ ἐστι τὸ ῥῆμα τὸ εὐαγγελισθὲν εἰς ὑμᾶς. Αποθέμενοι οὖν πᾶσαν κακίαν, καὶ πάντα δόλον καὶ ὑποκρίσεις, καὶ φθόνους, καὶ πάσας καταλαλιὰς, ὡς ἀρτιγέννητα βρέφη, τὸ λογικὸν καὶ ἄδολον γάλα ἐπιποθήσατε, ἵνα ἐν αὐτῷ αὐξηθῆτε εἰς σωτηρίαν, εἴπερ ἐγεύσασθε ὅτι χρηστὸς ὁ Κύριος. Πρὸς ὃν προσερχόμενοι, λίθον ζῶντα, ὑπὸ ἀνθρώπων μὲν ἀποδεδοκιμασμένον, παρὰ δὲ Θεῷ ἐκλεκτὸν, ἔντιμον. Καὶ αὐτοὶ ὡς λίθοι ζῶντες οἰκοδομεῖσθε, οἶκος πνευματικὸς, ἱεράτευμα ἅγιον, ἀνενέγκαι πνευματικὰς θυσίας, εὐπροσδέκτους τῷ Θεῷ διὰ Ἰησοῦ Χριστοῦ. Διὸ καὶ περιέχει ἐν τῇ γραφῇ· Ἰδοὺ τίθημι ἐν Σιὼν λίθον ἀκρογωνιαῖον, ἐκλεκτὸν, ἔντιμον. Καὶ ὁ πιστεύων ἐπ' αὐτῷ, οὐ μὴ καταισχυνθῇ.

Καθολικῆς, α'. Ἐπιστολῆς Πέτρου τὸ Ἀνάγνωσμα.

Κεφ.) Ἀγαπητοὶ, Χριστοῦ ὑπὲρ ὑμῶν β'.21.) Ἔπαθεν, ὑμῖν ὑπολιμπάνων ὑπογραμμὸν, ἵνα ἐπακολουθήσητε τοῖς ἴχνεσιν αὐτοῦ. Ὃς ἁμαρτίαν οὐκ ἐποίησεν, οὐδὲ εὑρέθη δόλος ἐν τῷ στόματι αὐτοῦ. Ὃς λοιδορούμενος οὐκ ἀντελοιδόρει, πάσχων οὐκ ἠπείλει. παρεδίδου δὲ τῷ κρίνοντι δικαίως. Ὃς τὰς ἁμαρτίας ἡμῶν αὐτὸς ἀνήνεγκεν ἐν τῷ σώματι αὐτοῦ ἐπὶ τὸ ξύλον, ἵνα ταῖς ἁμαρτίαις ἀπογενόμενοι, τῇ δικαιοσύνῃ ζήσωμεν· οὗ τῷ μώλωπι αὐτοῦ ἰάθητε. Ἦτε γὰρ ὡς πρόβατα πλανώμενοι· ἀλλ' ἐπεστράφητε νῦν ἐπὶ τὸν Ποι- Κεφ.) μένα καὶ Ἐπίσκοπον τῶν ψυχῶν γ'. ι.) ὑμῶν. Ὁμοίως αἱ γυναῖκες ὑποτασσόμεναι τοῖς ἰδίοις ἀνδράσιν. ἵνα καὶ εἴ τινες ἀπειθοῦσι τῷ λόγῳ, διὰ τῆς τῶν γυναικῶν ἀναστροφῆς ἄνευ λόγου κερδηθήσονται. Ἐποπτεύσαντες τὴν ἐν φόβῳ ἁγνὴν ἀναστροφὴν ὑμῶν. Ὧν ἔστω οὐχ ὁ ἔξωθεν ἐμπλοκῆς τριχῶν, καὶ περιθέσεως χρυσίων, ἢ ἐνδύσεως ἱματίων κόσμος. Ἀλλ' ὁ κρυπτὸς τῆς καρδίας ἄνθρωπος, ἐν τῷ ἀφθάρτῳ τοῦ πραέως καὶ ἡσυχίου Πνεύματος, ὅ ἐστιν ἐνώπιον τοῦ Θεοῦ πολυτελές. Οὕτω γάρ ποτε καὶ αἱ ἅγιαι γυναῖκες αἱ ἐλπίζουσαι ἐπὶ τὸν Θεὸν ἐκόσμουν ἑαυτὰς, ὑποτασσόμεναι τοῖς ἰδίοις ἀνδράσιν, ὡς Σάρρα ὑπήκουσε τῷ Ἀβραὰμ, Κύριον αὐτὸν καλοῦσα, ἧς ἐγενήθητε τέκνα, ἀγαθοποιοῦσαι, καὶ μὴ φοβούμεναι μηδεμίαν πτόησιν. Οἱ ἄνδρες ὁμοίως, συνοικοῦντες κατὰ γνῶσιν, ὡς ἀσθενεστέρῳ σκεύει τῷ γυναι-

ναικείῳ ἀπονέμοντες τιμὴν, ὡς καὶ συγκληρονόμοι χάριτος ζωῆς, εἰς τὸ μὴ ἐγκόπτεσθαι τὰς προσευχὰς ὑμῶν. Τὸ δὲ τέλος, πάντες ὁμόφρονες, συμπαθεῖς, φιλάδελφοι, εὔσπλαγχνοι, φιλόφρονες. Μὴ ἀποδίδοντες κακὸν ἀντὶ κακοῦ, ἢ λοιδορίαν ἀντὶ λοιδορίας. τοὐναντίον δὲ, εὐλογοῦντες· εἰδότες ὅτι εἰς τοῦτο ἐκλήθητε, ἵνα εὐλογίαν κληρονομήσητε.

Καθολικῆς, α'. Ἐπιστολῆς Πέτρου τὸ Ἀνάγνωσμα.

Κεφ. δ'. 1.) Ἀγαπητοὶ, Χριστοῦ παθόντος ὑπὲρ ἡμῶν σαρκὶ, καὶ ὑμεῖς τὴν αὐτὴν ἔννοιαν ὁπλίσασθε, ὅτι ὁ παθὼν ἐν σαρκὶ, πέπαυται ἁμαρτίας, εἰς τὸ μηκέτι ἀνθρώπων ἐπιθυμίαις, ἀλλὰ θελήματι Θεοῦ τὸν ἐπίλοιπον ἐν σαρκὶ βιῶσαι χρόνον. Ἀρκετὸς γὰρ ὑμῖν ὁ παρεληλυθὼς χρόνος τοῦ βίου, τὸ θέλημα τῶν ἐθνῶν κατεργάσασθαι, πεπορευμένους ἐν ἀσελγείαις, ἐπιθυμίαις, οἰνοφλυγίαις, κώμοις, πότοις, καὶ ἀθεμίτοις εἰδωλοτρείαις. Ἐν ᾧ ξενίζονται, μὴ συντρεχόντων ὑμῶν εἰς τὴν αὐτὴν τῆς ἀσωτίας ἀνάχυσιν, βλασφημοῦντες. Οἳ ἀποδώσουσι λόγον τῷ ἑτοίμως ἔχοντι κρῖναι ζῶντας καὶ νεκρούς. εἰς τοῦτο γὰρ καὶ νεκροῖς εὐηγγελίσθη, ἵνα κριθῶσι μὲν κατὰ ἀνθρώπους σαρκὶ, ζῶσι δὲ κατὰ Θεὸν Πνεύματι. Πάντων δὲ τὸ τέλος ἤγγικε. Σωφρονήσατε οὖν, καὶ νήψατε εἰς προσευχάς. Πρὸ πάντων δὲ τὴν εἰς ἑαυτοὺς ἀγάπην ἐκτενῆ ἔχοντες, ὅτι ἡ ἀγάπη καλύψει πλῆθος ἁμαρτιῶν. Φιλόξενοι εἰς ἀλλήλους, ἄνευ γογγυσμῶν. Ἕκαστος καθὼς ἔλαβε χάρισμα, εἰς ἑαυτοὺς αὐτὸ διακονοῦντες, ὡς καλοὶ οἰκονόμοι ποικίλης χάριτος Θεοῦ. Εἴτις λαλεῖ, ὡς λόγια Θεοῦ. εἴτις διακονεῖ, ὡς ἐξ ἰσχύος ἧς χορηγεῖ ὁ Θεός. ἵνα ἐν πᾶσι δοξάζηται ὁ Θεὸς διὰ Ἰησοῦ Χριστοῦ. ᾧ ἐστιν ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εἰς τὴν Λιτὴν δι'. Ἰδιόμελα, ἦχος, α'. Ἀνδρέου Ἱεροσολυμίτου.

Ὁ πρωτόκλητος μαθητὴς, καὶ μιμητὴς τοῦ πάθους, συμμορφούμενός σε Κύριε, Ἀνδρέας ὁ Ἀπόστολος, τοὺς ἐν βυθῷ τῆς ἀγνοίας πλανωμένους ποτὲ, τῷ ἀγκίστρῳ τοῦ Σταυροῦ σου ἀνελκύσας, προσήγαγέ σοι. ταῖς πρεσβείαις αὐτοῦ ὑπεράγαθε, τὴν ζωὴν ἡμῶν εἰρήνευσον, καὶ σῷσον τὰς ψυχὰς ἡμῶν.

Ὁ αὐτός.

Ἐμνήσωμεν οἱ Πιστοὶ, Πέτρου τὸν σύγγονον, Ἀνδρέαν τὸν Χριστοῦ μαθητήν. οὗτος γὰρ τὴν θάλασσαν, δικτύοις ἐρευνήσας ποτὲ, ἰχθύας ἐζώγρησε. νῦν δὲ τὴν οἰκουμένην, τῷ καλάμῳ σαγηνεύει τοῦ Σταυροῦ, καὶ τὰ ἔθνη ἐκ πλάνης ἐπιστρέφει τῷ Βαπτίσματι. καὶ Χριστῷ παριστάμενος, αἰτεῖται τὴν εἰρήνην τῷ κόσμῳ, καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.

Ὁ αὐτός.

Τὸ πῦρ τὸ νοερὸν, τὸ φωτίζον διανοίας, καὶ φλογίζον ἁμαρτίας, ἔνδον λαβὼν ἐν καρδίᾳ, ὁ Ἀπόστολος Χριστοῦ καὶ Μαθητής. λάμπει μὲν ταῖς μυστικαῖς ἀκτῖσι τῶν διδαχῶν, ἐν ταῖς τῶν ἐθνῶν ἀφωτίστοις καρδίαις. φλέγει δὲ πάλιν, τὰς φρυγανώδεις τῶν ἀσεβῶν μυθουργίας. τὸ πῦρ γὰρ τοῦ Πνεύματος, τοιαύτην ἔχει τὴν ἐνέργειαν. ὢ θαῦμα ξένον καὶ φοβερόν. ἡ πηλώδης γλῶσσα, ἡ πηλίνη φύσις, τὸ σῶμα τὸ χοϊκὸν, τὴν νοερὰν καὶ ἄϋλον ὑπεδέξατο γνῶσιν. ἀλλ' ὦ μῦστα τῶν ἀρρήτων, καὶ θεωρὲ τῶν οὐρανίων, ἱκέτευε καταυγασθῆναι, τὰς ψυχὰς ἡμῶν.

Ἦχος, πλ. δ'.

Τὸν ποθούμενον Θεὸν, ἐν σαρκὶ κατιδὼν, ἐπὶ γῆς βαδίζοντα, θεόπτα Προτόκλητε, τῷ μὲν ὁμαίμονι ἐβόας ἀγαλλόμενος· εὑρήκαμεν ὦ Σίμων τὸν ποθούμενον. τῷ δὲ Σωτῆρι δαβιτικῶς ἐκραύγαζες· ὃν τρόπον ἐπιποθεῖ ἡ ἔλαφος ἐπὶ τὰς πηγὰς τῶν ὑδάτων, οὕτως ἐπιποθεῖ ἡ ψυχήμου πρὸς σὲ Χριστὲ ὁ Θεός. ὅθεν καὶ πόθῳ πόθον προσθεὶς, διὰ Σταυροῦ διαβαίνεις, πρὸς ὃν ἐπόθησας, ὡς ἀληθὴς Μαθητὴς, καὶ σοφὸς μιμητὴς γενόμενος, τοῦ διὰ Σταυροῦ αὐτοῦ πάθους. διὸ καὶ τῆς δόξης κοινωνὸς αὐτῷ γενόμε-

νόμενος, ἐκτενῶς ἱκέτευε, ὑπὲρ τῶν ψυχῶν ἡμῶν. Δόξα. ἦχος, πλ. δ'.

Ἀνδρέου Γεροσολυμίτου, οἱ δὲ Ἀνατολίου.

Τὸν κήρυκα τῆς πίστεως, καὶ ὑπηρέτην τοῦ λόγου, Ἀνδρέαν εὐφημήσωμεν. οὗτος γὰρ τοὺς ἀνθρώπους, ἐκ τοῦ βυθοῦ ἁλιεύει, ἀντὶ καλάμου, τὸν Σταυρὸν ἐν ταῖς χερσὶ διακρατῶν. καὶ ὡς σπαρτίον χαλῶν τὴν δύναμιν, ἐπαναγεῖ τὰς ψυχὰς, ἀπὸ τῆς πλάνης τοῦ ἐχθροῦ, καὶ προσκομίζει τῷ Θεῷ, δῶρον εὐπρόσδεκτον. ἀεὶ τοῦτον πιστοὶ, σὺν τῇ χορείᾳ τῶν Μαθητῶν τοῦ Χριστοῦ εὐφημήσωμεν, ἵνα πρεσβεύῃ αὐτῷ, ὅπως ἵλεως γενήσηται ἡμῖν, ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως. Καὶ νῦν. θί.

Δέσποινα πρόσδεξαι.

Καὶ αἱ συνήθεις εὐχαί.

Εἰς τὸν ἅ. ἅ. προσόμοια. ἦχος, π. α'.

Χαίροις ἀσκητικῶν.

Χαίροις ὁ λογικὸς Οὐρανὸς, δόξαν Θεοῦ διαπαντὸς διηγούμενος, ὁ πρῶτος, Χριστῷ καλοῦντι, καθυπακούσας θερμῶς, καὶ ἀμέσως τούτῳ συγγινόμενος. ὑφ' οὗ πυρσευόμενος, καθωράθης φῶς δεύτερον, καὶ τοὺς ἐν σκότει, ἀστραπαῖς σου ἐφώτισας, ἀγαθότητα, τὴν αὐτοῦ ἐκμιμούμενος. Ὅθεν τὴν παναγίαν σου, τελοῦμεν πανήγυριν, καὶ τῶν λειψάνων τὴν θήκην, περιχαρῶς ἀσπαζόμεθα. οὓς ἧς ἀναβλύζεις, σωτηρίαν τοῖς αἰτοῦσι, καὶ μέγα ἔλεος.

ἅ. Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν.

Πρῶτον τῶν ὀρεκτῶν εὑρηκὼς, δι' εὐσπλαγχνίαν, τὴν ἡμῶν περικείμενον, Ἀνδρέα Θεόφρον φύσιν, συναμεκράθης αὐτῷ, διαπύρῳ πόθῳ τῷ συναίμονι, βοῶν ὃν ἐκήρυξαν, οἱ Προφῆται ἐν Πνεύματι, εὕρομεν δεῦρο, ταῖς αὐτοῦ ὡραιότησι, καταθέλξωμεν, καὶ ψυχὴν καὶ διάνοιαν. ὅπως φωταγωγούμενοι, αὐτοῦ ταῖς λαμπρότησι, νύκτα τῆς πλάνης καὶ σκότος, τῆς ἀγνωσίας διώξωμεν, Χριστὸν εὐλογοῦντες, τὸν παρέχοντα τῷ Κόσμῳ, τὸ μέγα ἔλεος.

ἅ. Οἱ Οὐρανοὶ διηγοῦνται δόξαν.

Ἔθνη τὰ μὴ εἰδότα Θεὸν, ὡς ἐκ βυθοῦ τῆς ἀγνωσίας ἐζώγρησας, σαγήνῃ τῶν σῶν λογίων, καὶ συνταράσσεις σαφῶς, ἁλμυρὰς θαλάσσας, ἵππος ἄριστος, ὀφθεὶς τοῦ Δεσπόζοντος, τῆς θαλάσσης ἀοίδιμε, καὶ σηπεδόνα, ἀθείας ἐξήρανας, ἅλας τίμιον, ἐμβαλὼν τὴν σοφίαν σου. ἧν περ καὶ κατεπλάγησαν, Ἀπόστολε ἔνδοξε, τῆς μωρανθείσης σοφίας, οἱ ἀναιδῶς ἀντεχόμενοι, Χριστὸν μὴ εἰδότες, τὸν παρέχοντα τῷ Κόσμῳ, τὸ μέγα ἔλεος.

Δόξα. ἦχος, γ'. Γερμανοῦ.

Τὸν συναίμονα Πέτρου, καὶ Χριστοῦ Μαθητὴν, τῶν ἰχθύων ἀγρευτὴν, καὶ ἁλιέα τῶν ἀνθρώπων, ἐν ὕμνοις τιμήσωμεν, Ἀνδρέαν τὸν Ἀπόστολον. τοῦ γὰρ Γησοῦ τὰ διδάγματα, πάντας ἐξεπαίδευσε τοῖς δόγμασι, καὶ ὡς δέλεαρ ἰχθύσι, τὰς σάρκας τοῖς ἀνόμοις παρέδωκε, καὶ τούτους ἐσαγήνευσεν. αὐτοῦ ταῖς ἱκεσίαις Χριστὲ, παράσχου τῷ λαῷ σου εἰρήνην, καὶ τὸ μέγα ἔλεος.

Καὶ νῦν. ἦχος, ὁ αὐτός.

Ἰωσὴφ, εἰπὲ ἡμῖν, πῶς ἐκ τῶν ἁγίων, ἣν παρέλαβες Κόρην, ἔγκυον φέρεις ἐν Βηθλεέμ; ἐγώ φησι, τοὺς Προφήτας ἐρευνήσας, καὶ χρηματισθεὶς ὑπὸ Ἀγγέλου, πέπεισμαι, ὅτι Θεὸν γεννήσει, ἡ Μαρία ἀνερμηνεύτως. οὗ εἰς προσκυνήσιν, Μάγοι ἐξ ἀνατολῶν ἥξουσι, σὺν δώροις τιμίοις λατρεύοντες. ὁ σαρκωθεὶς δι' ἡμᾶς, Κύριε δόξα σοι.

Ἀπολυτίκιον. ἦχος, δ'.

Ὡς τῶν Ἀποστόλων πρωτόκλητος, καὶ τοῦ Κορυφαίου αὐτάδελφος, τῷ Δεσπότῃ τῶν ὅλων Ἀνδρέα ἱκέτευε, εἰρήνην τῇ οἰκουμένῃ δωρήσασθαι, καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.

Εἰς τὸν Ὄρθρον, εἰς τὴν α'. ἅλλο,

Καθισμα, ἦχος, α'.

Τὸν τάφον σου Σωτήρ.

Ὡς θεῖον Μαθητὴν, καὶ πρωτόκλητον πάντων, Χριστοῦ τῶν Μαθητῶν, εὐφημοῦμέν σε πόθῳ, Ἀνδρέα Ἀπόστολε, καὶ πιστῶς ἐκβοῶμέν σοι· ῥῦσαι ποίμνην σου, ἣν ἐκ Θεοῦ ἐπιστεύθης, πάσης θλίψεως, καὶ ἀναγκῶν καὶ σκανδάλων, καὶ πάσης κακώσεως.

Πάλιν τὸ αὐτό.

Καὶ μῶ. Θεοτοκίον. Ὅμοιον.

Μὰς χεῖράσα σεμνὴ, μῶ ἐκτείνασα οἰκτῳ, βοήθειαν ἡμῖν, ἐξ Ἁγίων παράσχου, καὶ δίδυ ἀκίνδυνον, τὴν ζωὴν διαμύσασθαι, τὰς δοξάζοντας, τὸν σὸν παγγενῆ Τόκον, καὶ σὲ Δέσποινα, ἐπιγραφομένους Κόρη, ἐλπίδα καὶ καύχημα.

Εἰς τὴν β'. ἦλο. καὶ. ἦχος, γ'.

Θείας Πίστεως.

Πρῶτον εὗρέσε, Χριστὸς καλῶν τα, μύστην ἄριστον, Ἀνδρέα μάκαρ, καὶ τὰ προστάγματα αὐτῶ τομῶς διαγγέλλοντα, τῇ οἰκουμένῃ καθάπερ ὑπόπτερον, καταφωτίζοντα ἐθνῶν τὰ συγκλύδια. αὐτὸν ὡς Θεὸν ἱκέτευε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος. Δίς.

Καὶ μῶ. Θεοτοκίον. Ὅμοιον.

Θεία γέγονας, σκηνὴ τοῦ Λόγου, μόνη παναγνε Θεονυμφων, τῇ καθαρότητι Ἀγγέλους ὑπεράρασα. τὸν ὑπὲρ πάντας ἐμὲ δὲ γαστρόμενον, ῥερυπωμένον, σαρκὸς πλημμελήμασιν, ἀποκάθαρον σεμνὴ Παναγία, ταῖς σαῖς πρεσβείαις ὡς πάντα ἰσχύουσα.

Μετὰ τὸν πολυέλεον, καὶ. ἦχ, π.α.

Τὸν σωματάρχον Λόγον.

Τὸν Ἀπόστολον πάντες αὐθυμνήσωμεν, ὡς αὐτόπτην τῶ Λόγω καὶ Θεοῦ κήρυκα, καὶ τῇ ἐθνῶν πνεύματικὸν, σαγηνευτὴν ὡς ἀληθῶς. ὅτι προσήγαγεν ἡμᾶς, εἰς τὴν ἐπίγνωσιν Χριστοῦ, Ἀνδρέας ὁ θεηγόρος, ὁ μέγας ὄντως ἡμῶν προστάτης, καὶ μῶ πρεσβεύει ἀδιαλείπτως, εἰς τὸ σωθῆναι τὰς ψυχὰς ἡμῶν. Δίς.

Καὶ μῶ. Θεοτοκίον. Ὅμοιον.

Τῶν σοὶ τὰς ἐλπίδας Παρθένε Ἀχράντε, ἀμεμβλακήτως ἐχόντων σκέπη ὑπάρχουσα, ἐκ ποικίλων πειρασμῶν καὶ περιστάσεων, καὶ κινδύνων χαλεπῶν, ἐλεύθερωσον ἡμᾶς, πρεσβεύουσα τῶ Υἱῶ σου, σὺν τοῖς ἁγίοις Ἀποστόλοις, καὶ σῶσον πάντας τοὺς ὑμνοῦντάς σε.

Οἱ Ἀναβαθμοὶ, τὸ α'. Ἀντίφωνον τῆς τετάρτης ἦχου.

Προκείμενον, ἦχος, πλ.

Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν.

Ψ. Οἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ. Πᾶσα πνοή.

Εὐαγγέλιον κατὰ Ματθαῖον.

Τῷ καιρῷ ἐκείνῳ, περιπατῶν ὁ Ἰησοῦς παρὰ τὴν Θάλασσαν.

Ζητεῖται Κυριακὴ, β'. Εἶτα τὸν Ν'. καὶ τὸ, Σῶσον ὁ Θεὸς τὸν λαόν σου.

Καὶ οἱ Καθίσματα, τῆς Θεοτόκου, εἰς ς'. καὶ τῶ Ἁγίου, εἰς η'.

Ὠδὴ. α'. ἦχος, α'. Ὁ Εἱρμός.

„ Ὠδὴν ἐπινίκιον, ἄσωμεν πάντες, „ Θεῷ τῷ ποιήσαντι, θαυμαστὰ τέ„ ρατα, βραχίονι ὑψηλῷ, καὶ σώσαντι τὸν „ Ἰσραὴλ, ὅτι δεδόξασται.

Ὡς μόνη τὸν ἄλγουσαν, Υἱὸν ἐν χερσὶν, τεκοῦσα σαρκούμενον, Παναγία ἄλγησαντα, πάντα τὰ χθόνια, τῆς παναθλίας μου ψυχῆς, πάθη θεράπευσον.

Τὰ τραύματα Παναγνε, τὰ τῆς ψυχῆς μου, καρδίας τὴν πώρωσιν, λογισμῶν τὴν σκότωσιν, καὶ τὰς μου ἐκτροπὰς, ἀφάμισον ὡς συμπαθὴς, ταῖς σαῖς δεήσεσιν.

Τὸ φῶς ἡ κυήσασα, τὸν λυτρωτήν μου, τοὺς σκότους με λύτρωσαι, καὶ βασιλείαν Ἄλγησαντα, τῇ αἰωνίων ἐκεῖ, ὅπως σωζόμενος ὑμνῶ, τὰ μεγαλεῖά σου.

Νοός μου Παναμώμε, τὰς ἀμαυρώσεις, φωτὶ σου ἀπέλασον, ἡ τὸ φῶς κυήσασα. καὶ δώρησαί μοι ἀγαθὴ, τὸ φῶς προσβλέψαι τὸ ἐκ σοῦ, ἐξαστράπτον ἡμῖν.

Ἕτερος Κανὼν τῶ Ἁγίου.

Ποίημα Γεωργίου Μοναχοῦ.

Ὠδὴ, α'. ἦχ, α'.

Σὲ ἡ τροπαιοῦχος δεξιά.

Πλὴν τεθολωμένην μου ψυχὴν, τῇ ἀμοιβῇ τε καὶ λόγῳ ἐκκάθαρον, τῇ ἁγιωσύνῃ σοι κήρυξ Χριστοῦ, Ἀνδρέα θεία χάριτι, ὅπως καθαρῶς σοι, πηγάσω ὕμνον ἐπάξιον.

Τίμιον ὁ Πρόδρομος Χριστῷ, τῇ ἑαυτοῦ Μαθητῶν ἀκροθίνιον, ὁ ἐκ σειρᾶδους βλαστὸς, τῷ ἐκ Παρθένου φύντι Χριστῷ, τῷ δεδοξασμένῳ, Ἀνδρέα χαίρων προσήγαγεν.

Ἔρω-

Γρωτι ζ πόθῳ ἀκλινεῖ, τῆς ἀρετῆς τῇ βαθμίδων ἀρξάμενος, ζ τὰς ἀναβάσεις ἀεὶ μελετῶν, ἐξ ἀμυδρᾶς δυνάμεως, πρὸς τὴν ἀκροτάτην, Ἀνδρέα δυνάμην ἔφθασας. Θεοτοκίον.

Χαῖρε ἡ τῆς χαρᾶς πηγή, Χαῖρε ἡ Κλίμαξ ζ Πύλη ὑψηλή, Χαῖρε ἡ Λυχνία, ζ Στάμνος χρυσῆ, ζ Ὄρος ἀλατόμητον, ἡ τὸν ζωοδότην, Χριστὸν τῷ κόσμῳ κυήσασα.

Ἕτερος Κανὼν τοῦ Ἀποστόλου.

Ὠδὴ, α'. ἦχος, α'.

Ὁ διὰ φύλου πυρός.

Πῶ καλάμῳ τῆς Εὐαγγελίου, ἐκ τοῦ βυθοῦ τῆς πλάνης ἀνελκύσω, Ἀνδρέα πολυύμνητε, σὺ ἐζώγρησας λαούς, ὡς ἐπηγγείλατο Χριστός, ὁ σαγηνεύειν διδάξας σε, ἀνθρώπους ὡς ἰχθύας ζωγρεῖν.

Ὁ τῆς πίστεως φύλος, ἡ ἑδρα τῆς ἀληθείας δογμάτων τοῦ Χριστοῦ, Ἀνδρέας ὁ θεόπνευστος, πάντα σήμερον καλεῖ, τῆς γῆς τὰ πέρατα, εὐρύθμως ἑτοίμως συρῆσαι θαι. συνέλθωμεν οὖν πάντες πιστοί.

Ὁ θαλάσσιον κῆτος, δικτύοις ἑαλωκώς, τῇ τέχνῃ ἁλιεύς, σαγήνῃ τῇ τοῦ Πνεύματος, ἔθνη φύλα καὶ λαούς, ζωγρεῖς ἐν Πνεύματι, καὶ τὸν ἄνω βυθὸν πολυθαύμαστε, σαφῶς ἀνακαλύπτεις ἡμῖν.

Μυστικὸν ἄρρητον ζ ῥητόν, τῆς ἀπορρήτου γνώσεως Χριστοῦ, ὁ δεξάμενος ἄνωθεν Πνεῦμα Ἅγιον, λαλῶν ἐν γλώσσαις καθήμενον, τῷ πυρὶ διαιρούμενα χαρίσματα, ἱκέτευε σωθῆναι ἡμᾶς.

Δόξα.

Πρωταρχὸν Τριάδος, Μοναδικὴν ὑπερουσίως πίστει προσκυνῶ, ἐν τέσσαρσι τὴν Θεότητα. ἔχει γὰρ ἀμοιβῆς, ἁπλῆν ἀμέριστος. συνάπτω δὲ ἀυτὴν, ἑνὶ ὑποστάτει προσώπῳ, ζ πίστει διαιρῶ. Καὶ νῦν.

Προφθάνει Θεὸς ἐκ Παρθένου, καὶ μεσουργεῖ τὰς φθαρτὰς ἐξ Ἀδὰμ, ζ λύει τὸ μεσότοιχον, καὶ τῆς ἔχθρας τὸν φραγμὸν, ἐν τῇ σαρκὶ αὐτοῦ, καταργῶν ἀλογεῖ τῆς Προμήτορος, ἐξ ἀλλοφύλου Μητρὸς προελθών.

Κατάβασία. Χριστὸς γεννᾶται δοξάσατε.

Ὠδὴ, γ'. Ὁ Εἱρμός.

„ Στερεωθήτω ἡ καρδία μου, εἰς τὸ θέ„ λημά σου Χριστὲ ὁ Θεὸς, ὁ ἐφ' ὕδα„ των Οὐρανοὺς στερεώσας τῷ δάκτυλῳ, ζ „ ἐδράσας ἐν τοῖς ὕδασι, τὴν γῆν πα„ τοδυόμενε.

Πῆς στερώσης διανοίας μου, ἀκαρπίαν πᾶσαν ἀπέλασον, καὶ καρποφόρον ἀρετῆς, τὸν ψυχήν μου ἀνάδειξον, Παναγία Θεοτόκε, τῷ πιστῶν ἡ βοήθεια.

Ῥύσαί με πάσης κατακρίσεως, ζ πολλῶν σκανδάλων τοῦ ὄφεως, τοῦ αἰωνίζοντος πυρὸς, ζ τοῦ σκότους Παναμωμε, ἡ τὸ φῶς ἀποκυήσασα, ἡμῖν τὸ ἀνέσπερον.

Τὸ ἀπαραίτητον κειμήλιον, καὶ τὸ πῦρ ἐκεῖνο τὸ ἄσβεστον, ζ τὴν ἀπόφασιν Ἀγγέλων, τὴν φρικτὴν ὅλως δέδοικα. ὡς εὔσπλαγχνον σῴσον πρὸ τοῦ τέλους, ἀγαθὴ τὴν οἰκέτιν σου.

Εὐλογημένος τῆς κοιλίας σου, ὁ καρπὸς Παρθένε παναμωμητε. τοὺς γὰρ φθαρέντας τῷ καρπῷ, διὰ ξύλου Σταυροῦ ἀυτοῦ, ἀφθαρτίας κατεκόσμησε, κοσμήσους θείας χάριτος.

Ἄλλος. Ὁ μόνος εἰδὼς τῆς τοῦ βροτοῦ.

Προσέδραμες δίψει οὐ κληθείς, Ἀνδρέα ἀλλ' αὐθαιρέτως, τῇ τῆς ζωῆς πηγῇ ὥσπερ ἔλαφος, ζ πᾶσι ταύτην ἀρῶν ἐκύρωσας, ζ πιὼν ἐπότισας, ἀφθαρσίας ῥάμματα, κεκμηκότα τῇ δίψει τὰ πέρατα.

Ἐπέγνως τῆς φύσεως θεσμὸς, Ἀνδρέα ἀξιάγαστε, ζ κοσμοῦσι τὸν σύγγονον εἵλκυσας, βοῶν· ἀνήκαμεν τὸν ποθούμενον, ζ ὁδοποιήσαντα, τῆς σαρκὸς τὴν γέμισιν, καθηγήσω τὴν γνῶσιν τοῦ Πνεύματος.

Σαγήνῃ τοῦ λόγου ἐκ βυθοῦ, ἁπάσης ἐσαγηνεύσας, τὰς λογικὰς ἰχθύας Ἀπόστολε, ζ τῇ τερπούσῃ Χριστῷ ὑψώσας, καθαρὸν προσήγαγες, λαμπρυνθέντας χάριτι, τῷ φανέντος σαρκὸς ὁμοιώματι.

Θεοτοκίον.

Θεὸν συλλαβοῦσα ἐν γαστρὶ, Παρθένε διὰ Πνεύματος, τὴν Παναγίαν ἐμεγάλυνας ἄφθονος. ἐπεσε βάτος τῷ νομοθέτῃ Μωσεῖ,

οεῖ, φλεγομένην ἄκαυστα, σαφῶς προεμήνυσε, τὴν τὸ πῦρ δεξαμένην τὸ ἄστεκτον.

Ἄλλος. Στερεωθήτω ἡ καρδία μου.

Ἀόγῳ καλοῦντι δεῦρ' ὀπίσω μου, τῷ Χριστῷ εὐθὺς ἠκολούθησε, σὺν τῷ Ἀνδρέᾳ καὶ Κηφᾶς, τὸν γενέτην ἐάσαντες, καὶ τὸ σκάφος καὶ τὰ δίκτυα, ὡς πίστεως πρόβολοι.

Μὰ εἰδωλεῖα μετεποίησας, εἰς ναοὺς Θεοῦ πανσεβάσμιε, καθιερώσας ἐν αὐτοῖς, τοὺς Υἱοὺς τοῦ Βαπτίσματος, οὓς ἡ χάρις ἀνεκαίνισε, δι' ὕδατος Πνεύματι.

Μὸν Μαργαρίτην τὸν πολύτιμον, μυστικῶς τῷ κόσμῳ προεύρηκας, τῷ τῆς καρδίας σου ἀγρῷ, κεκρυμμένον Ἀπόστολε, ὃν τῇ πίστει ἐθησαύρισαν, τὰ ἔθνη εὑράμενα.

Ὡς θησαυρὸν τὸ Εὐαγγέλιον, ἐν χερσὶ λαβὼν Πολυύμνητε, πᾶσαν ἐπλούτισας τὴν γῆν, τοῦ ἐνθέου κηρύγματος. διόσου τὰ μνημόσυνα, τιμᾷ σὺν τοῖς ἄθλοις σου.

Δόξα.

Μὴν ἐν Τριάδι μίαν δυνάμιν, ὀρθοδόξως πάντες ὑμνήσωμεν, ἄναρχον ἄκτιστον Θεὸν, ὁμοούσιον συνθρόνον, τρισυπόστατον τρισήλιον, αὐτὴν ἀναμέλποντες.

Καὶ νῦν.

Πᾶσα μὲν Μήτηρ γόνον τίκτουσα, παρθενεύειν ἔτι οὐ δύναται. σὺ δὲ τεκοῦσα τὸν Χριστὸν, Μητροπάρθενος πέφηνας, γαλουχοῦσα τὴν ζωὴν ἡμῶν, Ἁγνὴ διαμένουσα.

Καταβ. Τῷ πρὸ τῶν αἰώνων.

Κα. ἦχ. πλ. Τὴν σοφίαν καὶ Λόγον.

Ὡς πρωτόκλητον πάντων τῶν Μαθητῶν, καὶ αὐτόπτην τοῦ Λόγου καὶ ὑπουργὸν, Ἀνδρέα Ἀπόστολε, κατὰ χρέος τιμῶμέν σε. τῷ γὰρ ἀμνῷ τῷ αἴροντι, τοῦ Κόσμου τὰ πταίσματα, ἀδιστάκτῳ πόθῳ, θερμῶς ἠκολούθησας. ὅθεν καὶ τοῦ πάθους κοινωνὸς ἀνεδείχθης, σαρκὶ ὑπομείναντος, ἑκουσίως τὸν θάνατον. διὰ τοῦτο βοῶμέν σοι· πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ, τὴν ἁγίαν μνήμην σου.

Δόξα. Ὅμοιον.

Μῶν εἰδώλων τὰ θράση καταβαλὼν, τοῦ Σωτῆρος τὰ πάθη ἐπιποθῶν, Ἀνδρέα μακάριε, ἀνεδείχθης Ἀπόστολος, οὐρανόθεν πᾶσι, πηγάζων τὰ θαύματα, καὶ Ἐθνῶν ἐγένου, παμμάκαρ Διδάσκαλος. ὅθεν σου τὴν μνήμην, ἐπαξίως τιμῶντες, ἐν ὕμνοις δοξάζομεν, καὶ πιστῶς μεγαλύνομεν, τοῦ Κυρίου Ἀπόστολε. πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι.

Καὶ νῦν θτ. Ὅμοιον.

Χαῖρε Θρόνε πυρίμορφε τοῦ Θεοῦ. Χαῖρε Κόρη καθέδρα Βασιλικὴ, Κλίνη πορφυρόστρωτε, χρυσοπόρφυρε Θάλαμε, Χλαμὺς ἀλουργόχροε, τιμαλφέστατον Τέμενος, ἀστραπηφόρον Ἅρμα, Λυχνία πολύφωτε. Χαῖρε Θεοτόκε, δωδεκάτειχε Πόλις, καὶ Πύλη χρυσήλατε, καὶ Παστὰς ἀγλαόμορφε, ἀγλαόχρυσε Τράπεζα, θεοκόσμητον Σκήνωμα. Χαῖρε ἔνδοξε Νύμφη ἡλιοστάλακτε. Χαῖρε μόνη ψυχῆς μου εὐπρέπεια.

Ὠδὴ, δ'. Ὁ Εἱρμός.

„Ἐν πνεύματι προβλέπων, Προφῆτα „Ἀββακοὺμ, τὴν τοῦ Λόγου σάρκω„σιν, ἐκήρυττες βοῶν· ἐν τῷ ἐγγίζειν τὰ „ἔτη ἐπιγνωσθήσῃ, ἐν τῷ παρεῖναι τὸν „καιρὸν ἀναδειχθήσῃ· δόξα τῇ δυνάμει „σου Κύριε.

Παρθένε Παναγία, ἀμόλυντε σκηνὴ, μολυνθέντα πταίσμασι, καθάρισόν με νῦν, τῶν οἰκτιρμῶν σου ῥανίσι καθαρωτάταις, καὶ δός μοι χεῖρα βοηθείας, ἵνα κράζω· δόξα σοι Ἁγνὴ Θεοδόξαστε.

Ναὸς ἡγιασμένος, ἐδείχθης τοῦ Θεοῦ, τοῦ ἐν σοὶ οἰκήσαντος, Παρθένε ὑπὲρ νοῦν. αὐτὸν δυσώπει, ἁμαρτιῶν ἡμᾶς ῥύπου, ἀποκαθάραι, ὅπως οἶκος γνωρισθῶμεν, καὶ κατοικητήριον Πνεύματος.

Ἐλέησόν με μόνη, ἐλέους ἡ πηγὴν, Θεοτόκε τέξασα, καὶ λῦσον τὴν δεινὴν, τὴν τῆς ψυχῆς μου νόσον, καὶ πώρωσιν τῆς καρδίας, δακρύων ῥεῖθρα καὶ

κατά-

ταύξιμ πρὸ τέλους, θείαμ δωρημέμη πρεσβείαις σου.

Ἠοήσας ὁ Προφήτης, ἐμ Πμεύματι Θεοῦ, Ὄρος σε προέγραψε, κατάσκιον Ἁγνὴ, τοὺς ἐκτακμένους φλογμῷ, πολλῶμ ἐγκλημάτωμ, ἀποκαθάρας μεσιτείαις σου Παρθμέ, μόμη τῇ βροτῇ ἡ αὐόρθωσις.

Ἄλλος. Ὄρος σε τῇ χάριτι τῇ θείᾳ.

Ἡ θεία ἐξαμαλωτικήτε τοῦ κόρμου, τῷ παγκράτει ἐ φωταυγοῦς, Πμεύματος δμάμις ἐμ σοὶ, Ἀμδρέα οἰκήσασα, θεοπρεπῶς πυρίμης γλώττης ἐμφήματι, τῇ ἀπορρήτῳμ αὐέδειξε Κύριμα.

Οὐχ ὅπλα πρὸς ἄμμαμ, αὐέλατο σάρκιμα, ἐ πρὸς καθαίρεσιμ δεμῶμ, ὀχυρωμάτωμ τοῦ ἐχθροῦ, Ἀμδρέας ὁ πάγτιμος. ἀλλὰ Χριστῷ φραξάμεμος προσεμήοχαμ, αἰχμαλωτίσας τὰ ἔθμη ὑπήκοα.

Μὲς πόθῳ τελοῦντάς σε, τὸν μυήμην ἐμ ἄσμασιμ, ἐκ τῆς ἀφθόρου δωρεᾶς, τοῦ Διδασκάλου Χριστοῦ, Ἀμδρέα παμόλβιε, Πμεύματικῆς ἀγαλλιάσεως ῥήματα, αὐαπιμπλῶμ μὴ ἐλλείπης πρεσβεύοντα σε.

Θεοτοκίον.

Ὑμνοῦμεμ τὸ μέγα ἐ φρικτόν σε μυστήριον. ὑπερκοσμίους γὰρ λαθὼμ, πρεσβείας ἐπὶ σὲ, ὁ ὢμ καταβέβηκαμ, ὡς ὑετὸς ὁ ἐπὶ πόκομ Παμύμνητε, εἰς σωτηρίαμ ἡμῶμ ἐ αὐάπλασιμ.

Ἄλλος. Ἐμ πμεύματι προβλέπωμ.

Μὲ δίκτυά σου ῥίψας, καὶ ἄρας τὸμ Σταυρὸμ, δρόμῳ ἠκολούθησας, καλοῦμτι τῷ Χριστῷ, καὶ τὸν σαγήμην τοῦ Πμεύματος ὑφαπλώσας, αὐτὶ ἰχθύων τὰς αὐθρώπους σαγηυόεις. δόξα τῷ δοθέμτι σοι Πμεύματι.

Ἀπὸ Πμεύματος τὸν φλόγα, τῇ γλώσσῃ προσλαβὼμ, γέγοναις Ἀπόστολε, θεόληπτος αὐὴρ, τῇ κράμίῳ τὰ κάλλη περιπολόωμ, ἐ τὰ ἐμ τούτοις μοητὰ καταμαρθάμωμ, καλλιέ ἡμῖμ ἐκκαλύπτωμ αὐτά.

Μόμον ἔρημομ διῆλθοσαμ, ἐπότισας σοφὲ, τοὺς ἐμθέους λόγους σου, ἐ ἔδειξας αὐτόμ, πολυγομοῦσαμ τὰ τέκμα τῆς Ἐκκλησίας, καρποφορήματα τοῦ κηρύγματος τοῦ σώτορος. δόξα τῷ δοθέμτι σοι Πμεύματι.

Πὸ ἄφραστόμ σου κάλλος, Ἀμδρέας προϊδὼμ, Ἰησοῦ τὸμ σύγγομομ, ἐφώμησε λαμπρῶς. Πέτρε ὁμαίμομ αὐήκαμες τὸμ Μεσσίαμ, τὸμ ἐμ τῷ μόμῳ, καὶ Προφήταις κηρυχθέμτα· δεῦρο κολληθῶμεμ τῇ ὄμτως ζωῇ. Δόξα.

Τριάδα ὁμοήσιομ Μοράδι, ὑμμήσωμεμ πιστοὶ, ἐμ μιᾷ Θεότητι Πατέρα ἐ Υἱόμ, καὶ Πμεῦμα Θεῖομ οὐσίαμ μίαμ καὶ φύσιμ, ἀδιαιρέτως ἀχωρίστως ἀμερίστως. εἷς γὰρ ἐμ Τριάδι πρόσωπομ Θεός,

Καὶ μῶ Θεοτοκίον.

Λόγομ ἐκ τῆς Τριάδος, ἀφράστως ἐμ γαστρὶ, συλλαβοῦσα τέτοκας, ἀφθόρως ὡς Υἱόμ. ἐ ἡ Τριὰς μὴ προσῆκ'ω ὅλως οὐκ ἔχε, ἐ ἡ ἁγμεία, ὥσπερ μῖ ἐ πρὸ τόκου, σῴα Θεομήτωρ διεμείμαμ.

Καταβ. Ῥάβδος ἐκ τῆς ῥίζης Ἰεσσαί.

Ὠιδὴ, ε. Ὁ Εἱρμός.

Λιὸ σὲ ἐρῶ ὁδηγὸμ ἡμῖμ, Υἱὲ τοῦ Θεοῦ. ἄλλομ γὰρ ἐκτὸς σου, Θεὸμ οὐ γμωσκομεμ. τὸ ὁμομάσαι ὁμομάζομεμ, ὅτι Θεὸς ζώμτωμ, ἐ τῶμ μεκρῶμ ὑπάρχεις.

Μὰς κόρας τῆς καρδίας μου, διαφύξομ Ἁγμὴ, βλέπειμ με σεαυτῷ, τὴμ θείαμ λαμπρότητα, ἐ τὴμ σὴμ δόξαμ τὴμ αὐέκφραστομ, ὅπως ἐλέους τύχω, ἐ αἰωμίας δόξης.

Ἐμ δύω ταῖς θελήσεσι, τὸμ ἑμὰ τῆς σεπτῆς, τέτοκας Τριάδος παμάχραμτε, φέρομτα μίαμ τὴμ ὑπόστασιμ. ὃμ ἐκτενῶς δυσώπει, σῴζεσθαι τοὺς ἐμ πίστει κραζομτας· Χαῖρε Παρθμέ παμαμώμητε, ἀλογημέμη μόμη, τῷ Κόσμῳ προστασία.

Ἄλλος. Ὁ φωτίσας τῇ ἐλλάμψει.

Πεπλήρωσας ὁμ ἐπόθεις Ἀμδρέα Ἀπόστολε, ἐμ ἀφθάρτοις σὺ αὐτῷ κατα-

ταλύσας σκηνώμασι, τὰ τῶν πόνων δράγματα, τῶν σῶν δρεψάμενος ἀξίως. ὅθεν σε ὕμνοις δοξάζομεν.

Ἐπόθησας τὸν Δεσπότην καὶ τοῦτον ἐδίωξας, τοῖς ἴχνεσι τοῖς αὐτοῦ πρὸς ζωὴν ποδηγούμενος, καὶ τὰ τούτου πάθη, ἀψευδῶς ὑπέρτιμε Ἀνδρέα, μέχρι θανάτου μιμούμενος.

Ἐντείνας σε δυνατὸν ὥσπερ βέλος μακάριε, ἐπαφῆκεν εἰς τὸν σύμπαντα Κόσμον ὁ Κύριος, τραυματίζων Δαίμονας, καὶ δυσσεβείᾳ τοὺς ἀνθρώπους, τραυματισθέντας ἰώμενος. Θεοτοκίον.

Εὐφραίνονται Οὐρανῶν αἱ δυνάμεις ὁρῶσαί σε. ἀγάλλονται σὺν αὐτοῖς τῶν βροτῶν τὰ συστήματα. τῷ γὰρ τόκῳ ἡνώνται τῷ σῷ, Παρθένε Θεοτόκε, σὲ ἐπαξίως δοξάζοντα.

Ἄλλος.

Καταύγασον ἡμῶν τὸν νοῦν ὁ Θεός.

Ποθήσας τὸν Σταυρὸν Χριστοῦ Μαθητὰ, ἐπορίσω τῷ Σταυρῷ σου, τὴν ἀκήρατον βασιλείαν, ἣν ὁ πάντας ἑλκύσας Σταυρῷ τοὺς Θεομύστας, κληροδοτήσει ὑμῖν, τοῖς θεολόγοις αὐτοῦ.

Ἐζήτησας Χριστὸν τὴν ὄντως ζωὴν, καὶ ζητήσας πρῶτος εὗρες· καὶ εὑρὼν μυστικῶς ἐδράξω, καὶ ἔλαβες αὐτὴν ἐν αὐτῷ τῷ δεδωκότι, καὶ γέγονας θησαυρὸς, ζωῆς ἀκαταλύτου.

Τὰ ῥήματα τῶν σῶν ἐνθέων βροντῶν, διηχήθη ἐν τῷ Κόσμῳ, καὶ ἀπ' ἄκρων εἰς ἄκρα γῆς ἦλθεν. ἐκύκλωσαν γὰρ ὥσπερ τροχὸς, καὶ ἔφαναν σου αἱ ἀστραπαὶ, ὡς φησὶ Δαβὶδ τῇ οἰκουμένῃ.

Μνημόνευε ἡμῶν Χριστοῦ Μαθητὰ, τῶν τελούντων σου τὴν μνήμην, καὶ τιμώντων τὰ λείψανά σου. δεήθητι ἀεὶ ἐκτενῶς περὶ τῆς Ποίμνης, ἧς γέγονας ἀπ' ἀρχῆς, φύλαξ καὶ σωτηρία. Δοξα.

Πατέρα καὶ Υἱὸν καὶ Πνεῦμα Θεὸν, ἀδιαίρετον Τριάδα, τρισυπόστατον Βασιλείαν, δοξάσωμεν συμφώνως πιστοὶ, ἀκαταπαύστοις θεολογίαις, αὐτὴν πιστῶς ὑμνολογοῦντες.

Καὶ νῦν.

Ἐγέννησας τὸ φῶς μὴ γνοῦσα τὸ πῶς, ἡ ὁλόφωτος λυχνία, τοῦ ἡλίου λαμπαδηφόρε, καὶ γέγονας αὐλοῦ φωτὸς καινὸν δοχεῖον, πηγάζον πάσῃ τῇ γῇ, Θεογνωσίας αὐγάς.

Καταβασία.

Θεὸς ὢν εἰρήνης, Πατὴρ οἰκτιρμῶν.

Ὠδὴ, ϛ'. Ὁ Εἱρμός.

„ Τὸν Προφήτην Ἰωνᾶν, ἐκμιμούμενος
„ βοῶ, τὴν ζωὴν μου ἀγαθὲ, ἐλευ-
„ θέρωσον φθορᾶς, καὶ σῷσόν με, Σωτὴρ
„ τοῦ Κόσμου, κράζοντα δόξα σοι.

Μολυνθέντα με πολλαῖς, ἁμαρτίαις δυσωπῶ, σὲ τὴν ὄντως ἀγαθὴν, καὶ ἀμόλυντον σκηνήν. ἀπόπλυνον, παντοίου ῥύπου, τῇ μεσιτείᾳ σου.

Κυβερνήτης μοι γενοῦ, θαλαττεύοντι ἀεὶ, ἐν πελάγει τῶν δεινῶν, τῶν τοῦ βίου πειρασμῶν, καὶ σῷσόν με, πρὸς σωτηρίας, ὅρμον ἰθύνασα.

Ῥικυμίαι λογισμῶν, καὶ παθῶν ἐπαγωγαὶ, καὶ βυθὸς ἁμαρτιῶν, τὴν ἀθλίαν μου ψυχὴν, χειμάζουσι· βοήθησόν μοι, Ἁγία Δέσποινα.

Μεγαλεῖά σοι ἀεὶ, ἐποιήσατο Χριστός. ὃν ἱκέτευε ἀεὶ, μεγαλυνάι ἐπ' ἐμοὶ, τὰ πλούσια, αὐτοῦ ἐλέη, Θεοχαρίτωτε.

Ἄλλος. Ἐκύλωσεν ἡμᾶς ἐσχάτη.

Τὴν θάλασσαν τοῦ βίου περαιούμενος, ἐν σκάφει τῷ τοῦ σώματος, τὸν τὰ σύμπαντα διέποντα Χριστὸν, εὗρες κυβερνήτην παμμακάριστε, καὶ πρὸς αὐτὸν μάκαρ Ἀνδρέα, χαίρων προσήνεξαι.

Τὰ πνεύματα τῷ λόγῳ φυγαδεύονται, αἱ νόσοι δραπετεύονται, ψυχικῶν τε παθημάτων ὁ ἐσμὸς, πόῤῥῳ τῶν νοσούντων ἀπελαυνόνται, τῇ ἐκ Θεοῦ σοι δεδομένῃ, Ἀνδρέα χάριτι.

Ὡς κῦμα γαληνὸν πραέω πνεύματι, κινούμενον μακάριε, ἀπεξήρανας θαλάσσας πονηρὰς, τῆς πολυθείας θείοις ῥεύμασι, καὶ ποταμοὺς Θεογνωσίας, πᾶσιν ὀξέβλυσας.

Θεο-

Θεοτοκίον.

Εὐφραίνονται ἐν σοὶ Παρθένε ἄχραντε, τοῦ γένους οἱ Προπάτορες, τὴν Ἐδὲμ ἀπολαυόντες διὰ σοῦ, ἣν ἐκ παραβάσεως ἀπώλεσαν. σὺ γὰρ Ἁγνὴ ἐν πρὸ τοῦ τόκου, καὶ μετὰ γέννησιν.

Ἄλλος. Τὸν προφήτην Ἰωνᾶν.

Ὁ ἐκ τῆς Βηθσαϊδὰ, καταγόμενος ἡμᾶς, ἑορτάσαι συγκαλεῖ, τὴν πανήγυριν αὐτοῦ, προθεὶς ἡμῖν, τὰς ἀριστείας, τῶν παλαισμάτων αὐτοῦ.

Ὁ τῇ τέχνῃ ἁλιεὺς, ἐν τῇ πίστει Μαθητὴς, ὡς βυθὸν διερευνῶν, τὰς καρδίας τῶν πιστῶν, τὸ ἄγκιστρον, χαλᾷ τοῦ λόγου, ἐν σαγηνεύει ἡμᾶς.

Ὑπὸς ἀγάπης τοῦ Χριστοῦ, ἐν καρδίᾳ σου τὸ πῦρ, περιφέρων Μαθητὰ, κατεβόας τῶν ἐθνῶν· ἡ φλὸξ ὑμῶν, ἐσβέσθη ὄντως, ἐπιφανέντος Χριστοῦ.

Οἱ τῷ ἅλατι τὸν νοῦν, ἀρτυθέντες τοῦ Χριστοῦ, τὰ ὀψώνια ὑμῶν, κατεγλύκαναν ἡμῖν, τὰ δόγματα, τῆς οὐρανίου, καὶ ἀκηράτου τρυφῆς. Δόξα.

Τὸν Πατέρα ἐν Υἱὸν, ἐν τὸ Πνεῦμα τὸ εὐθὲς, προσκυνήσωμεν πιστοὶ, τρισυπόστατον φύσιν, ἀμέριστον, βοῶντες· δόξα, τῷ ἐν Τριάδι Θεῷ. Καὶ νῦν.

Εὐδοκίᾳ τοῦ Πατρὸς, ἐσαρκώθη ὁ Υἱὸς, διὰ Πνεύματος Θεοῦ, ἐν τῇ μήτρᾳ σου Ἁγνὴ, ἐν ἔσωσε, τὴν πρὶν εἰκόνα, Θεοκυήτωρ σαφῶς.

Καταβασία. Σπλάγχνων Ἰωνᾶν.

Κοντ. ἦχος, β. Τὴν ἐν πρεσβείαις.

Τὸν τῆς ἀνδρείας ἐπώνυμον θεηγόρον, ἐν Ἐκκλησίας ἀκόλουθον Κορυφαῖον, Πέτρου τὸν σύγγονον εὐφημήσωμεν. ὅτι ὡς πάλαι τούτῳ, ἐν νῦν ἡμῖν ἐκέκραγεν· Εὑρήκαμεν δεῦτε τὸν ποθούμενον.

Ὁ Οἶκος.

Ἄνωθεν μὲν Δαβὶδ ἀναστέλλει ἁμαρτωλὸν ὡς ἐμὲ, διηγεῖσθαι Θεοῦ εὐλόγως τὰ δικαιώματα. Ὅμως πρὸς πίστιν διδάσκει πάλιν, καὶ ἐν δάκρυσι πλείστοις ἐξαγορεύει. σήμερον γὰρ τῆς φωνῆς αὐτοῦ ἐὰν ἀκούσητε, καρδίας μὴ σκληρυνθῆτε, ὡς ποτὲ Ἰσραὴλ παρεπίκραναν. Ἐπάγει οὖν τῷ ἑξῆς Ψαλμῷ· τῷ Κυρίῳ ἡ σύμπασα ᾄσατε. Εὑρήκαμεν δεῦτε τὸν ποθούμενον.

Τῷ αὐτῷ Μηνὶ, Λ'. Μνήμη τοῦ Ἁγίου Ἐνδόξου καὶ Πανευφήμου Ἀποστόλου, Ἀνδρέου τοῦ Πρωτοκλήτου.

ἀ. Ἀντίστροφον σταύρωσιν Ἀνδρέας φέρει,
Φανεὶς ἀληθῶς οὐ σκιωδῶς ὢν Μύστης.
Σταυρὸν κἀκ κεφαλῆς τριακοστῇ Ἀνδρέας ἔτλη.

Ὃς ὑπῆρχεν ἐκ πόλεως Βηθσαϊδὰ, Υἱὸς μὲν Ἰωνᾶ τινὸς Ἑβραίου, Ἀδελφὸς δὲ Πέτρου τοῦ Ἀποστόλου, καὶ Κορυφαίου τῶν Μαθητῶν τοῦ Χριστοῦ. Οὗτος πρότερον τῷ Προδρόμῳ καὶ Βαπτιστῇ Ἰωάννῃ μαθητεύεται. ἔπειτα τὸ, Ἴδε ὁ Ἀμνὸς τοῦ Θεοῦ, παρὰ τοῦ Διδασκάλου ἀκούσας, δακτυλοδεικτοῦντος τὸν Ἰησοῦν, καταλιπὼν αὐτὸν, ἠκολούθησε τῷ Χριστῷ. Καὶ τῷ Πέτρῳ τὸ, Εὑρήκαμεν Ἰησοῦν τὸν ἀπὸ Ναζαρὲτ, εἰπὼν, ἐπεσπάσατο πρὸς τὸν τοῦ Χριστοῦ ἔρωτα. Καὶ ἕτερα πολλὰ ἔστιν ἐν τῇ θεοπνεύστῳ Γραφῇ κείμενα περὶ αὐτοῦ. Οὗτος ἐπεὶ τῷ Χριστῷ ἠκολούθησε, μετὰ τὴν Ἀνάληψιν αὐτοῦ, ἄλλῳ μὲν Ἀποστόλῳ, ἄλλητες ἐκληρώθη χώρα, τῷ Πρωτοκλήτῳ δὲ ἥτε Βιθυνῶν, ἐν ὁ Εὔξεινος Πόντος, τῆς Προπόντιδος τὰ μέρη, σὺν Χαλκηδόνι ἐν Βυζαντίῳ ἐν Θρᾴκῃ, ἐν Μακεδονίᾳ, ἐν τὰ ἕως Ἴστρου φθάνοντα, Θεσσαλίατε καὶ Ἑλλὰς, καὶ τὰ μέρη Ἀχαΐας. Ἀλλὰ ἐν Ἀμινσὸς, ἐν Τραπεζοὺς, καὶ Ἡράκλεια, ἐν Ἄμαστρις. Ταύτας δὲ, οὐχ ὥσπερ ὁ λόγος διέρχεται, οὕτω κἀκεῖνος διῆλθεν, ἀλλ' ἐν ἑκάστῃ Πόλει πολλὰ τὰ ἀντιπίπτοντα ὑποστὰς, πολλαῖς τε πραγμάτων δυσχερείαις ὡμιληκὼς, εἰ καὶ ῥοπῇ Χριστοῦ ἐν βοηθείᾳ πάντων ἐκράτει. ἐξ ὧν μιᾶς Πόλεως ἐπιμνησθεὶς, τὰς λοιπὰς τοῖς εἰδόσιν ἐάσω. Οὗτος τῇ Σινωπέων ἐπιδημήσας, καὶ τὸν λόγον καταγγείλας, πολλαῖς θλίψεσι καθυποβάλλεται. Κατὰ γῆς γὰρ αὐτὸν ἐρρίπτουν, καὶ χειρῶν καὶ ποδῶν λαβόμενοι εἷλκον, καὶ

τοῖς

τοῖς ὀδοῦσιν ἐσπάραττον, καὶ ξύλοις ἔπαιον, καὶ λίθοις ἔβαλλον, καὶ μακρὰν τῆς Πόλεως ἀπέρριπτον, ὅτε καὶ τὸν δάκτυλον ὀδοῦσιν ἔκοψαν. Ἀλλ' αὐτὸς αὖθις ὑπὸ τοῦ Σωτῆρος καὶ Διδασκάλου ἄρτιος καὶ ὑγιὴς ἀπὸ τῶν πληγῶν ἐφάνη. Ἐκεῖθέν τε ἀναστὰς, ἤμειψε πλείστας Πόλεις καὶ Χώρας, τήν τε Νεοκαισάρειαν, τὰ Σαμώσατα, Ἀλαμοὺς, Ἀβασγοὺς, Ζήκχους, Βοσπορίνους, καὶ Χερσωνίτας. Εἶτα διαπλεύσας εἰς τὸ Βυζάντιον, καὶ τὸν Στάχυν Ἐπίσκοπον χειροτονήσας, καὶ τὰς λοιπὰς χώρας διελθὼν, πρὸς τὴν περιφανῆ Πελοπόννησον ἔρχεται. Καὶ ξενισθεὶς παρὰ Σωσίῳ χαλεπῶς ἀσθενοῦντι, ἰάσατο αὐτόν. Καὶ παραυτίκα, πᾶσα ἡ Πόλις ἐκείνη τῶν Πατρῶν, προσῆλθε τῷ Χριστῷ, ὅτε καὶ ἡ Ἀνθυπάτου γυνὴ Μαξιμίλλα, τῶν χαλεπῶν λυθεῖσα τῆς νόσου δεσμῶν, καὶ ταχείας τυχοῦσα θεραπείας ἐπίστευσε. Καὶ Στρατοκλῆς ὁ σοφώτατος, ὁ τοῦ Ἀνθυπάτου Αἰγεάτου αὐτάδελφος, καὶ ἕτεροι πολλοὶ νόσους ἔχοντες ποικίλας, ὑγιώθησαν διὰ τῆς ἐπιθέσεως τῶν χειρῶν τοῦ Ἀποστόλου. Διὰ ταῦτα μανίᾳ περιπεσὼν ὁ Αἰγεάτης, καὶ Σταυρῷ προσηλώσας τὸν Ἀπόστολον, τῆς παρούσης ζωῆς ἐξιστᾷ. Αὐτὸς δὲ ἀπό τινος μετεώρου κρημνοῦ εἰς γῆν ἑαυτὸν καταβεβληκὼς, συνετρίβη. Τοῦ δὲ Ἀποστόλου τὸ λείψανον μετὰ πολὺν χρόνον μετετέθη ἐν Κωνσταντινουπόλει, ἐπὶ τῆς Βασιλείας Κωνσταντίου, τῇ τούτου κελεύσει, παρὰ Ἀρτεμίου τοῦ Μάρτυρος. καὶ κατετέθη μετὰ Λοῦκα καὶ Τιμοθέου ἐν τῷ τῶν Ἁγίων Ἀποστόλων περιβλέπτῳ τεμένει. Ὑπόμνημα εἰς τὸν Ἅγιον Ἀπόστολον Ἀνδρέαν τὸν Πρωτόκλητον.

Ἄρτι τοῦ Παιδὸς Ζαχαρίου, Ἰωάννου φημὶ τοῦ πάνυ, τὰς ἐρήμους ἀπολιπόντος, καὶ πρὸς τὰς ἐν ἄστει κατελθόντος διατριβάς. ἐκάλει γὰρ τὴν φωνὴν ὁ Λόγος, καὶ τὸν λύχνον τὸ φῶς, ἤδη τῷ Κόσμῳ φανὲν, καὶ φωτίζων ἐπειγόμενον τὰ ἐσκοτισμένα, ὑφ' οὗ καὶ βαπτίζεσθαι ἔμελλε τὸ ὑπὲρ ἡμῶν Βάπτισμα, ὁ καὶ αὐτοῦ τοῦ φωτὸς καθαρώτερος. ἐπεὶ καὶ Μαθηταὶ αὐτῷ ἦσαν συνεργοὶ καὶ διάκονοι τοῦ τῶν πολλῶν Βαπτίσματος καὶ τῆς μετανοίας, εἷς τῶν μαθητῶν τούτων καὶ Ἀνδρέας ἦν, ἀνὴρ τάτε ἄλλα σεμνὸς καὶ αἰδέσιμος, καὶ τῷ βάθει τοῦ φρονήματος τὴν ἐν βάθει τοῦ γράμματος ἀνιχνεύων ἀλήθειαν, καὶ τὰς ὑπὸ παραπετάσματι, τῷ λόγῳ κεκρυμμένας προῤῥήσεις ὑπὲρ Χριστοῦ θηρεύων, καὶ τῷ δηλουμένῳ δι' αὐτῶν προστιθέμενος.

Τούτῳ δὴ τῷ Ἀνδρέᾳ, καὶ τοῖς ἄλλοις τῶν Μαθητῶν, βουλόμενος ὁ Ἰωάννης μείζονας τῶν ἑαυτοῦ καὶ ὑψηλοτέρας ἐνθεῖναι τὰς περὶ Χριστοῦ ὑπολήψεις, δύω τῶν αὐτοῦ Μαθητῶν ἀπολεξάμενος, ὧν ἕτερος Ἀνδρέας ἐτύγχανε, μεθ' ἑαυτοῦ τε ἔχων, καὶ τῷ Ἰησοῦ ἐμβλέψας περιπατοῦντι, Ἴδε ὁ Ἀμνὸς τοῦ Θεοῦ, λέγει. ἀμέλει, καὶ ἀκολουθοῦσιν ἐκεῖνοι παραυτίκα Χριστῷ, καὶ ὅπου μένει διαπυνθάνονται. Ἐπιστραφεὶς δὲ ὁ Ἰησοῦς, καὶ ἀκολουθοῦντας αὐτοὺς θεασάμενος, τίνα ζητεῖτε, λέγει; οἱ δὲ, Ῥαββὶ, φασὶν, ὃ λέγεται Διδάσκαλε, ποῦ μένεις; Ὁ δὲ, Ἔρχεσθε καὶ ἴδετε. Ἦλθον οὖν, φησὶν ὁ Εὐαγγελιστὴς, καὶ εἶδον ποῦ μένει, καὶ παρ' αὐτῷ ἔμειναν τὴν ἡμέραν ἐκείνην. Ἀνδρέας τοίνυν τῷ ζητουμένῳ περιτυχὼν, καὶ παρ' αὐτῷ μείνας, καὶ μαθὼν ἅπερ ἔμαθε, τὸν θησαυρὸν οὐ κατέσχε παρ' ἑαυτῷ, οὐδὲ ὑπέμεινεν, εἰμὴ καὶ τῷ ἀδελφῷ κοινώσηται, ἀλλ' ἐπείγεται καὶ τρέχει ταχέως, μεταδώσων αὐτῷ τῶν ἀγαθῶν, ὧν πεπλούτηκε. Πέτρος δὲ οὗτος ἦν. οὗτος γὰρ Ἀνδρέᾳ σύγγονος. καὶ Βηθσαϊδὰ Πατρὶς ἀμφοτέρων, κώμη ταπεινὴ μὲν τινώην καὶ ἄσημος, ἀπὸ δὲ τούτων καὶ λίαν ἐπίσημος καὶ περιφανής. Καὶ γεννήτορες πανίᾳ συζῶντες, καὶ ταῖς ἑαυτῶν χερσὶν, Ἀποστολικῶς εἰπεῖν, τὸ ζῆν περιζόμενοι. Τοῦτον εὑρηκὼς τῆς συνήθους ἁλείας ἐχόμενον, καὶ τῶν δικτύων ὡς εἶχεν ἐπιμελούμενον, Εὑρήκαμεν, φησὶ, τὸν Μεσσίαν, ὅ ἐστι μεθερμηνευόμενον, Χριστός. τοῦτο ψυχῆς ἦν ὠδινούσης τὴν παρουσίαν ἐκείνου, καὶ τὴν ἄφιξιν ἄνωθεν προσδοκώσης.

σης. Τί γὰρ βούλεται ἡ τοῦ ἄρθρου προσθήκη; τὸ γὰρ τὸν Μεσσίαν εἰπεῖν, δεικνύντος ἦν τοῦ Ἀνδρέου, ὡς ἅμα πάντως Χριστὸν προσδοκῶντες, οὐδὲν κοινὸν πρὸς τοὺς ἄλλους ἔχοντα. Τί δὲ ὁ Πέτρος; θερμὸς καὶ ταῦθα καὶ ταχὺς δείκνυται, καὶ τῷ ἀδελφῷ καταπειθὴς γίνεται. Καὶ αὐτὸν τῆς χειρὸς Ἀνδρέας λαβόμενος, πρὸς τὸν Ἰησοῦν ἄγει. Ὃν καὶ αὐτὸς τῆς γνώμης ἀποδεξάμενος, καὶ ἐμβλέψας, Σὺ εἶ Σίμων, φησὶν, ὁ Υἱὸς Ἰωνᾶ, σὺ κληθήσῃ Κηφᾶς, ὃ ἑρμηνεύεται Πέτρος. εἶχε μὲν οὕτω ταῦτα, καὶ τῷ ἀδελφῷ ἐμυσταγώγει τὰ τοῦ Χριστοῦ.

Ὡς οὖν Ἰωάννης τῷ δεσμωτηρίῳ καθείρκτο, καὶ οἷα Προφήτης, μᾶλλον δὲ καὶ Προφήτου περισσότερος, προδιέγνω, ἑαυτὸν μὲν ὅσον οὔπω ὑπὸ Ἡρώδου διαχειρισθησόμενον, τοὺς ἑαυτοῦ δὲ Μαθητὰς τῇ νομικῇ σκιᾷ καὶ τῷ ζόφῳ παραμενοῦντας. ἵνα μὴ τοῦτο γένηται, μηδὲ ἐξ ἀνθρώπων αὐτοῦ γενομένου, ταῖς ταπειναῖς καὶ ἔτι περὶ Χριστοῦ ὑπολήψεσιν οἱ Μαθηταὶ καταμείνωσι, τί ποιεῖ; δύω τούτων πρὸς τὸν Ἰησοῦν ἐκπέμψας, Σὺ εἶ ὁ ἐρχόμενος, εἶπεν, ἢ ἕτερον προσδοκῶμεν; Τί οὖν ὁ τῶν γνώσεων Κύριος; οὔτε κρύπτει τὸ παῖν, οὔτε τὴν ἰδίαν αὐτὸς ἐκκαλύπτει Θεότητα. ἀλλὰ τοῖς πράγμασιν ἐπιτρέψας, ἀφίησιν ἐκείνους σκοπεῖν, ὡς ὁ ταῦτα ποιῶν, αὐτὸς ἂν εἴη ὁ καὶ ἐλεύσεσθαι μέλλων. Φησὶ γάρ· Ἀπελθόντες εἴπατε Ἰωάννῃ, ὅτι τυφλοὶ ἀναβλέπουσι, κωφοὶ ἀκούουσι, νεκροὶ ἐγείρονται, χωλοὶ περιπατοῦσι, πτωχοὶ εὐαγγελίζονται, καὶ μακάριος, ὃς ἂν μὴ σκανδαλισθῇ ἐν ἐμοί. Οὔτε οὖν Ἰωάννης εἰς ἐρώτησιν ἐκπέμπων τοὺς Μαθητὰς, ἠγνόει τὸν ἐρωτώμενον, ἀλλ' ἐκείνους μᾶλλον ἔσπευδε μαθεῖν ἀπὸ τοῦ Χριστοῦ, καὶ τὴν αὐτοῦ Θεότητα διδαχθῆναι. Οὔτε μὴν ὁ Χριστὸς ἀποστέλλων ἐκείνους, Ἰωάννην ἐβούλετο βεβαιοῦν. ἐγίνωσκε γὰρ ἐκεῖνον, ὑφ' οὗπερ δὴ καὶ αὐτὸς ἐγινώσκετο, ἀλλὰ πιστοῦν ἤθελε τοὺς πεμφθέντας, ἔτι χαμαὶ βαίνοντας, καὶ πολλῷ τῷ μέσῳ τὴν Ἰωάννου δόξαν ὑπερτιθέντας τῆς Ἰησοῦ. ὅτι ὁ μὲν ἐκ παραδόξου συλλήψεως, Ἀρχιερατικοῦ γένους, καὶ τῆς ἐρημίας ἀναφαινόμενος, ὁ πᾶς τε ὄχλος συῤῥέων αὐτῷ ἦν, καὶ ὡς μεγάλῳ προστιθέμενος. Ὁ δὲ, πένης, καὶ ἐκ πενήτων, καὶ ἄσημος ὅσον γοῦν τὸ ὁρώμενον, καὶ μηδὲ Μαθητὰς ἔτι περὶ αὐτὸν ἔχων. Ἐπεὶ οὖν Ἰωάννην εἶχε τὸ δεσμωτήριον, ὡς ὁ λόγος φθάσας ἐδήλωσεν, Ἰησοῦς μεταβὰς ἐκεῖθεν, ᾗ τὰ θεῖα διδάσκει λόγια, εἰς τὴν Λίμνην Γενησαρὲτ ἀφικνεῖται. Καὶ ἐπειδὴ πλοίοις ἐπιβάντες Ἀνδρέας τε καὶ Πέτρος, τὰ ἑαυτῶν κατήρτιζον δίκτυα, ταῖς τῆς λίμνης ἀκταῖς ὁ Θεάνθρωπος ἐπιστὰς, οὔθ' ὡς καταλιπόντας αὐτὸν ὀνείδισεν, οὔτε ῥῆμα σκληρὸν προῆκε, καθικέσθαι αὐτῶν δυνάμενον, ἀλλὰ πραείᾳ καὶ ἡμέρῳ φωνῇ· Δεῦτε, ἔφη, ὀπίσω μου, καὶ ποιήσω ὑμᾶς ἁλιεῖς ἀνθρώπων. οἵ γε εὐθέως ἀφέντες τὰ δίκτυα, ἠκολούθησαν αὐτῷ. Πάντως δ' ἴσως ἦν εἰπεῖν, καὶ πάντα καταλιπόντας. Τί γὰρ ἐκείνοις πλεῖον εἰς ὕπαρξιν, ἢ τὰ δίκτυα; Εὐθέως οὖν ἀκολουθῆσαι, φησὶν, οὐδὲν ἀναβαλομένους, ἀλλὰ τὸ θερμὸν καὶ ζέον τῆς ψυχῆς ἐπιδείξαντας. Ἔτι γὰρ τὴν μνήμην τῶν αὐτοῦ θαυμάτων, καὶ τῶν Ἰωάννου μαρτυριῶν ἐγκαθημένην εἶχον τῇ διανοίᾳ. Ἀλλὰ τὰ μὲν περὶ Πέτρου, τέως ἀναμεινάτω. τὸ δὲ νῦν ἔχον, Ἀνδρέας προκείσθω τοῖς φιλοθέοις ὑμῖν εἰς ἀκρόασιν.

Οὗτος τοίνυν μικρὰ, ἢ οὐδὲν τοῦ γένους, καὶ ὅσα τῆς κάτω φροντίσας περιφορᾶς, εἴχετο τοῦ Διδασκάλου, συνείπετο, διδαχῶν ἤκουε, διηκόνει, πάντα ἦν αὐτῷ καὶ πρῶτος καὶ μόνος, ἐπιτηδείως προσαρμοζόμενος. Ἤδει μὲν γὰρ αὐτὸν ἔκτε τῶν Μωσαϊκῶν βίβλων, καὶ τῶν Προφητικῶν, ἀληθῶς ἐλευσόμενον. Ἐπεὶ δὲ καὶ πηρώσεις σωμάτων εἶδε, καὶ ἀνίατα πάθη θεραπευόμενα, χωλοὺς μὲν ἁλλομένους ἐξ ἐπιτάγματος, τυφλοὺς δὲ τοῦ λυπηροῦ σκότους ἐκλυομένους, καὶ τὰς ἡλίου φίλας αὐγὰς καθαρῶς βλέποντας, πνεύματά τε λόγῳ φυγαδευόμενα, καὶ νεκροὺς ῥᾷον τοῦ ὕπνου τὸν θάνατον ἀποτιθεμένους, τ' ἄλλα τε τῶν παραδό-

ξων

ξων αὐτῶ θαυμάτων, τῶ θείκῶ κελάσματι ἐμεργόμενα, ἐκ πάντων οἷα χειραγωγόμενος, πρὸς τὸ θεῖον ὕψος ἀμεβιβάζετο. Διελογίζετο γὰρ μαγεχὴς ὢν, ὡς εἰ καὶ πολλοῖς τῶν Προφητῶν, ἢ τῶν πάλαι Δικαίων σημεῖα, καὶ τέρατα κατεπράχθη, ἀλλ' οὐ δεσποτικῶς, ἱκετικῶς δὲ μᾶλλον ἢ δι' ἀρχῆς τὰ πάντα κατώρθων. Ὁ δὲ τὸ, Σοὶ λέγω, ἢ τὸ, Θέλω, ἢ τ' ἄλλα δὴ τὰ δεσποτικὰ καὶ πολλοῦ προβαλλόμενος αὐθεντείαν, ἴσῃ τῶ λέγειν ἀκολία, τὰ μείζονα τερατουργεῖ καὶ θειότερα. Ἐπιβάλλει μόνον ὀφθαλμοῖν ξηραθείσῃ χειρὶ, καὶ λύει παραυτίκα πάθος δεσμά. Ἐπιτάσσει λεγεῶνι πνεύματος, καὶ οἷα κατήκοος ἐκλείπει, καὶ ἠδαμῶς φέρει τῶν ἐπιτιμίων. Γίνεται αἰμόρρους πρὸς, πεζάσα τῶν ὑφῶν ὡς ξηρῶν. Ἐξ ὀλίγων ἄρτων μυριάδας ἐμπίπλησι, πάντα ὅσα Θεῶ προσήκων ἀκολούθως ποιεῖ, ἀληθῶς Θεοῦ Υἱὸς ὢν ὄντος, ἢ Θεὸς ἀληθὴς, καὶ Σωτὴρ τοῦ Κόσμου. Οὗτος ὁ ἱερὸς Ἀνδρέας τὰ μεγάλα τε ἢ θεοπρεπῆ διδάσκεται, ἢ τὸ ἑξῆς ἀδιαιρέτως τῶ Διδασκάλω καθίσταται, παρ' ὅλον αὐτῶ τὸν χρόνον τῆς ζωῆς συγγινόμενος.

Ἐπεὶ δὲ τὰς πόλεις ἀφίει ὁ Σωτὴρ, πολλάκις περιεμένετο τῶν ἐρήμων, περιῆν δὲ αὐτῶ πλῆθος ἀνθρώπων, ἀπό τε τῶν θαυμάτων, ἢ τῆς ἐκείνων γλώττης ἡδέως ἑλκόμενοι, ἐρημία δὲ ἦν καὶ τροφῆς ἀπορία, ἢ ἡ γαστὴρ οὐκ ἐσαγήδετο, ὁ ἀγαθὸς τότε τὴν ἐρημίαν ὁρῶν, θαῦμα παλαιὸν ἐκαίνιζεν ἐν ἐρήμω πραχθὲν, ἢ μάρτυρα πάλιν ἐποιεῖτο τὴν ἔρημον, ἢ τὰς Μαθητὰς ἑστιάτορας προεβάλλετο, ἢ πρὸς ἀνοχὴν ὀχέδην παρεκάλει τὸ πλῆθος. τοῖς μὲν ἄλλοις τῶν Μαθητῶν ἀπορίαν τὸ γεγόμενον, ἢ θόρυβον ὡς εἰκὸς ἐποίει, τὴν αὐθεσίαν ἐπισταμένοις, καὶ τί βέλεται τῶ Χριστῶ τὸ λαὸ πρόσκλησις, διηπόρουν. Ἀνδρέας δὲ, ἐλευθεριώτερόν τι ποιῶν, ἢ φανερῶς διελέγχων τὴν αὐταρκαίαν τὴν ὀλιγότητα, ἔλαθε διδοὺς τῶ Σωτῆρι τοῦ θαύματος τὰς προφάσεις. Φησὶ γὰρ, Οὐκ εἰσὶν, εἰμὴ πέντε ἄρτοι, καὶ ὀλίγα ἰχθύδια. Τί ἂν ἐκεῖνος; Φέρετέ μοι αὐτὰ ὧδε, ἢ γένοιμαι ἡ τῆς αὐθείας ὁμολογία, περιουσία τῶν ἀγαθῶν ἢ πλήρωσις. Ἔξω δὲ καὶ ἄλλο σκοπεῖν, τὸ τῶ Ἀποστόλω πρὸς τὸν Διδάσκαλον οἰκεῖον ἢ προσφιλὲς, ἢ ὁπόσης μὲν αὐτὸς ἀπέλαυε τῆς παρ' ἐκείνου βοπῆς, ὅσον δὲ ὄντος πάλιν τὸ πρὸς αὐτὸν τῆς ἀγάπης ἔτρεφε πῦρ. ὑφ' ὧν ἢ θαύματα πάντας κατετόλμα, ἢ αὐθρείαν ἢ εὐτολμον εἶχε τὸν ψυχὸν ὁ Ἀνδρέας. Δεῖσαν γάρ ποτε τῶν κατ' ἐκεῖνο καιρὸν τιμες Ἑλλήνων, περὶ τοῦ τῶ Πάσχα Ἑορτῶν, εἰς Ἱεροσόλυμα ἀναβῶσαι, τὸν Ναὸν τε ἰδεῖν, καὶ τὸν ἐνθάδε ἀποδῆναι προσκύνησιν· ἐπειδὴ ἢ ὅτοι τὸν Ἰουδαϊσμὸν ἠρετίσαντο, φήμη δὲ τὰς ἐκείνων κατέπληττε περὶ Ἰησοῦ ἀκοὰς, ὡς εἴη τὸν ἐκ τοῦ Λάζαρον θαῦμα ἐμηχανικῶς, ὡς ἀναστηθείη παρὰ τὸν ὄχλον μὴ βαίων, ἄλλοις τε πολλοῖς σκιμείοις, εἰς εὐποιΐαν αὐτοὺς ἐμβάλλει Θεότητος. Καὶ εἰς ἔρωτα τῆς αὐτοῦ θέας μεταστάντες, προσῆσαν Φιλίππῳ δι' αὐτοῦ τυχεῖν ἀξιοῦντες τῆς πρὸς τὸν Διδάσκαλον ὁμιλίας. Ὁ δὲ οὐκ ἄλλως τοῦτο ποιεῖ, ἕως ἐκοινώσατο πρῶτον Ἀνδρέα, τὰ πρεσβεῖα τῶ Πρωτοκλήτω διδοὺς, ἢ εἰδὼς ὅπως εἶχε πρὸς τὸν Διδάσκαλον.

Ἐπεὶ δὲ καὶ ὁ ὑπὲρ ἡμῶν παθὼν Κύριος, καὶ Σταυρῶ ἢ τάφω προσομιλήσας, δωάμεσι Θεότητος ἀναστὰς τοῦ τάφου, ἢ τοὺς Μαθητὰς πάλιν ἢ φίλους πρὸς ἑαυτὸν συναγάγετο, παρέπεμπέ τε πάντα τὰ ἔθνη παιδαγωγικῶς μαθητεύοντας, μὴ τὴν ἐξ ὕψους πεμφθησομένην τῶ ἁγαθῶ Πνεύματος παρουσίαν, ταύτην καὶ Ἀνδρέας καθοπλισθεὶς, πρὸς τὸν τῶ Εὐαγγελίου δρόμον παρεσκεύαζετο. Ἀλλὰ τοῖς μὲν ἄλλοις τῶν Μαθητῶν, ἄλλαι μοῖραι τῆς γῆς, ἢ τῶν ἐν αὐτοῖς ἐθνῶν ἀπεκληρώντο, ἢ ἀφωρίζοντο· Ἀνδρέα δὲ τίς; ὡς μεγαλήτις ἢ φιλοτίμως ἐγχειρισθεῖσα. ἥτε γὰρ Βιθυνῶν ἅπασα χώρα, ἢ Πόντος ὁ Εὔξεινος, τῆς Προποντίδος τὰ μέρη ἑκάτερα, ἄχρι ἢ τῶ Ἀγακίου Κόλ-

που

που τείνοντα, καὶ παράπλου τοῦ ἐκεῖθεν διήκοντος. Ἀρίθμει σὺν τούτοις καὶ Χαλκηδόνα τὴν περιώνυμον, καὶ τὸ Βυζάντιον αὐτὸ, καὶ τὰ τὴν Θράκην δὲ καὶ Μακεδονίαν νεμόμενα γένη, καὶ τὰ ἕως τοῦ Ἴστρου φθάνοντα. Καὶ Θεσσαλία δὲ, καὶ Ἑλλὰς, καὶ τὰ μέχρις Ἀχαΐας αὐτῆς ἐκτείνοντα, τῆς ἐκείνου γλώσσης καρπὸς καὶ φυτὰ πρὸς εὐσέβειαν. Τούτων οὖν τῶν χωρῶν καὶ τόπων, καὶ τῶν ἐν αὐταῖς Πόλεων, ὁ Πρωτόκλητος τὸν κλῆρον ἐγχειρισθεὶς, οὐ πρὸς τὸ μέγεθος τοῦ πράγματος ἀποβλέψας, ἠμβλυύθητε τὸ πρόθυμον, καὶ ὤκνησε τὴν ἐγχείρησιν, ἀλλὰ πίστεως πλήρης τε ὤν, καὶ τὸν τοῦ Διδασκάλου πόθον ὠδίνων, ἥπτετο τοῦ κηρύγματος Μαθητὰς ἐπαγόμενος, ὅσους δὴ τὴν ἀρχὴν ἱκανοὺς ἔχειν ᾤετο πρὸς τὸ κήρυγμα, ὡς κατ' ὀλίγον καὶ ἑτέρων αὐτῷ προστεθησομένων. Πολλαὶ μὲν οὖν αἱ κατὰ παῖν ἔθνος αὐτοῦ ἀποδημίαι, πλείους δὲ τούτων αἱ κατὰ Πόλεις καὶ Κώμας, ἐν αἷς τὰ περὶ Χριστοῦ δόγματα κατασσείρας, τὸν τῆς εὐσεβείας στάχυν ἐθέρισε.

Καὶ πρῶτα μὲν Ἀμινσὸς αὐτὸν ὑπεδέχετο. ἐν ᾗ συχνοὺς εὑρηκὼς, τοὺς μὲν τὰ Ἑλλήνων, τοὺς δὲ καὶ τὰ τοῦ Ἰουδαϊσμοῦ σέβοντας. καὶ τοὺς μὲν τῆς τοιαύτης δόξης καὶ τῆς θρησκείας λίαν ἀντεχομένους, φιλοξενίᾳ δὲ καὶ ἁπλότητι, καὶ τῷ τοῦ ἤθους ἐλευθερίῳ σφόδρα σεμνυνομένους, ἐπιξενοῦταί τινι τῶν τὰ Ἰουδαϊκὰ σεβομένων ἀνδρί. ἐσκόπει τε, πῶς ἂν αὐτῷ εἴη πλῆθος τοσοῦτον θαλάσσῃ πλάνης βεβυθισμένον, τῷ ἑαυτοῦ δικτύῳ περιλαβεῖν. Συναγωγῆς οὖν ἑωθινῆς γεγονυίας, καὶ τοῦ Ἀνδρέου μετὰ πάντων εἰσελθόντος, ἐπυνθάνοντο, τίς τε εἴη, καὶ πόθεν, καὶ ὁποῖον ἥκει διαγγέλλων τὸ κήρυγμα. Ὁ δὲ δημηγορίας ἁψάμενος, διηγεῖτο καλῶς περὶ τοῦ Χριστοῦ, καὶ ὅσα περὶ αὐτοῦ Προφῆται μὲν προηγόρευσαν, Νόμος δὲ ὑπέφηνε, καὶ διὰ πάντων ἐτράνου, ὅτι αὐτός ἐστιν, ὁ ἐπὶ σωτηρίᾳ τοῦ ἀνθρωπίνου γένους ἐληλυθὼς, αὐτὸν παραγαγὼν τὸν Πρόδρομον Μάρτυρα, καὶ ὅσα περ αὐτῷ ἐκεῖνος μεμυσταγώγηκε. Ταῦτά τε, καὶ τὰ τοιαῦτα πρὸς ἐκείνους εἰπὼν, καὶ τὴν ἀψευδῆ Πίστιν ταῖς αὐτῶν ἐγγράψας ψυχαῖς, καὶ εἴσω τῶν ἰδίων ἤδη δικτύων θέμενος, οὕτως ἁλιεὺς ἀνθρώπων κατὰ τὸν Διδασκάλου λόγον ἐφάνη. Εἶτα καὶ λουτρῷ μὲν τοῦ Θείου Βαπτίσματος, τὸν τῆς ψυχῆς αὐτῶν ῥύπον ἀποκαθαίρει. ὅσοι δὲ καὶ νόσοις πονήρως εἶχον τὰ σώματα, ἢ πνεύμασι χαλεποῖς προσεπάλαιον, τῆς ἑκατέρωθεν αὐτοὺς ἀπήλλαττε βλάβης. Ἐντεῦθεν ναούς τε ἱεροὺς ἀνεγείρας, καὶ ἀπὸ τῶν ἤδη πεπιστευκότων ἱερέας προχειρισάμενος, ἔξεισι μὲν ἐκεῖθεν, πρὸς δὲ τὴν Τραπεζοῦντα παραθαλασσίδιον οὖσαν πόλιν γίνεται, ἔτι δὲ καὶ τὴν οὐ μακρὰν αὐτῆς ἀπέχουσαν Λαζικήν. Καὶ αὐτοῖς ὁμοίως τὸ πιστευθὲν τάλαντον καταθέμενος τῆς Διδασκαλίας, καὶ πολλὰ πλήθη προσαγαγὼν τῷ Χριστῷ, ἐκεῖθεν ἀπαίρειν πρὸς Ἱερουσαλὴμ ἔγνω, τὴν Ἑορτὴν τοῦ Πάσχα ἐπιτελέσων, ἵνα Παύλῳ τε ὁμιλῇ τῷ θείῳ, καὶ Πέτρῳ τῷ Ἀδελφῷ συγγίνηται.

Κἀκεῖθεν ἅμα Ἰωάννῃ τῷ Θεολόγῳ καὶ Εὐαγγελιστῇ, πρὸς Ἔφεσον ἀφικνεῖται, ἔνθα καὶ νυκτερινῆς τυχὼν ὄψεως, πρὸς τὴν Βιθυνῶν αὐτῷ κελευούσης ἐπανελθεῖν, πεισθεὶς, τὴν Νικαέων καταλαμβάνει, οὔπω τότε τειχείρη καὶ ἀσφαλῆ οὖσαν. χρόνοις γὰρ ὕστερον παρὰ Τραϊανοῦ φασὶ Καίσαρος περιβόλοις αὐτὴν καὶ πύργοις ὀχυρωθῆναι. Ἀλλ' οὐδὲ τὴν ἀγχίθυρον αὐτῆς Λίμνην οὕτως ἔχουσαν τῷ τηνικάδε μεγέθει, ἀλλὰ βραχεῖαν οὖσαν καὶ ἀνπερίγραπτον, καὶ πολὺ Νικαέων ἀπῳκισμένην. Κατὰ ταύτην ἐπιστὰς τὴν Πόλιν, ἐπεὶ καὶ αὐτοὶ κατάσχετοι ἦσαν Ἑλληνισμῷ τε καὶ Ἰουδαϊσμῷ, οὐχ οἷός τε ὢν ἐκείνους μὲν λόγῳ μεταβαλεῖν πρὸς εὐσέβειαν, τοῖς ἔργοις ἐπιχειρεῖ. καὶ ἃ μάλιστα τὰς τῶν παχυτέρων πείθει ψυχὰς, ἐνήργει τὰ θαύματα, ὁτὲ μὲν ἀφωνίας χαλινὰ ἀνύων, ὁτὲ δὲ δαίμονας ἐλαύνων, καὶ παθῶν ἄλλων καὶ νόσων ἄμισθος ἰατρὸς

γινό-

γιόμενος. Νῶ μὲν τὲς ἐμφωλεύοντας ἐκεῖσε δράκοντας, τῇ σιδηρᾷ ῥάβδῳ ἡ ὑπεφέρετο, ἧς κ' τὸ ἄκρον Σταυρὸς ἐπετπήγει, καταβάλλων ἐς θαλάσσ. μῶν δὲ Ἀφροδίτης ἐ Ἀρτέμιδος τῇ αἰχίσῳ, τὰ μιαρὰ καθαίρων ἀγάλματα, ἐ τὶ ἐμ αὐτοῖς ἐοικῶτα πνεύματι τὶν φυγὶν ἀγαπᾷν, τῇ ἐπικλήσει μόνῃ Χριστῦ ποιούμενος, ὡς εἶναι μ' ταῦτα βάσιμον τὸν ἐκεῖσε χῶρον τοῖς βυλομένοις. Ἐντεῦθεν ἡ τῇ ἑλληνικῶν καθαίρεσις Ἑορτῇ, καὶ ἡ τῇ χάριτι αὐτῇ σωτηρίζομένων εὔδικος μισθαποδοσία. δαιμονῶντες γὰ, καὶ πνεύμασι πονηροῖς ὀχούμενοι, σαρκῶντε ἥπτοντο τῇ ἰδίων, ἐ ταύτας ἐθίοντες κατεφθείροντο, ἀξίας παρ' αὐτῇ, ὥσπερ ἔφημεν, λαμβάνοντες ἀντιδόσεις, ὃς θεραπείαν σωτηρίαν ἐλύθασαν. ἀ μὲν ἐκεῖνα τὸ παροράν ἐῶ, ἀλλὰ καὶ αὐτὲς τῆς διπλῆς ἀπωλείας κατελείσας, διπλῶν παρέχε τὶν ἴασιν, φῶς τε θεογνωσίας ἐπιλάμψας αὐτοῖς, καὶ τὸν κατ' αὐτῇ πολύδακρυν φόνον μόρον. αὐτά τε τὰ τῇ ἐδαλωτεμένη εἰς ἱερὸς μ' ποιήσας μανὲς, ἐ Ἱερεῖς πάλιν ἐν τούτοις καταστήσαμενος. Διετίαν δὲ ὅλην ἐκεῖσε διαγαγὼν, ἐκ Νικαίας πρὸς τὴν Νικομήδειαν παραγίνεται, καὶ αὐτὴν δεισιδαιμονεστάτην ἅπασαν, πλάνης τε ἀσεβείας προσέχουσαν, ἐ ψεύδος τὴν ἐλπίδα θεμένην. Ἐκεῖθεν δὲ πρὸς τὴν Χαλκηδόνα, ἐ ἀπ' αὐτῆς παραπλέυσας τὴν Προποντίδα, ἐ τὰς τῦ Εὐξείνου Πόντε παραμείψων ἀκτὰς, Ἡράκλειαν ἱσορεῖ. Κἀκεῖθεν μέτεισι πρὸς Ἀμάστριδα. Ταύτας δὲ, ὐχ ὥσπερ ὁ λόγος ῥᾳδίως διέρχεται, ὕτω κἀκεῖνος διήρχετο, ἀλλ' ἐν ἑκάστῃ πολλὰ τὰ ἀντιπίπτοντα ὑποφὰς, πολλαῖς δὲ πραγμάτων δυσχερείαις ὠμίλησε, θεῷ ἐ ῥοπῇ Χριστῦ ἐ βοηθείᾳ παντων ἐκράτει. ὃς ἐ ὑπῆρχεν αὐτῷ τὸ ἔργον τῇ χειρῶν κατάθυμόν, καὶ σῶμα δίδως ἐ σοφίαν, τὲς τῇ Ἑλλήνων σοφὲς καταισχύνασαν.

Εἶτα μεταβὰς ἐκεῖθεν, τῇ Σινωπέων ἐπιφοιτᾷ, ἣ φασι λόγοι παλαιοὶ, αὐτὸν τὸν Πρωτόκλητον μ' τὸ συγγόνυ, χρόμον ὅτε μικρὸν διατρίψαι· Μαρτύρων δὲ, ἐ γαρείοις ἐ μῶν αἱ τάτων καθέδραι τοῖς βυλομένοις ὁρώμεναι, λίθυ πεποιημέναι λαϊκῦ. αἷς καθεζόμενοι, τὸ γλυκὺ μάννα τῆς Διδασκαλίας προέχεν. Καὶ εἰκὼν δὲ Ἀνδρέα παρ' αὐτοῖς σώζεται πρεσβυτάτη, ἀπόδειξις ἐμαργής· ἣ ἐ φέρει τύπον αὐτὴ δυνάμεως, ὅτιπερ ἀ ζῶν ἀπλῶς ἐ φθεγγόμενος, ἀλλὰ ἐ γραφῇ μόνῃ καθ' ἑκάστιν Ἀνδρέας θαυματουργεῖ. Λόγος δὲ, ὅτι τὸν Ἀπόστολον Ματθίαν, παρὰ Σινωπεῦσι τῷ δεσμωτηρίῳ καθειργμένον εὗρον, τῷ φανερῷ τε σημείῳ τὶν φυλακὶν διανοίξαντα, ἐ τοῖς ἄλλοις ἅμα δεσμώταις, ἐκεῖθεν ἐξαγαγεῖν. Καὶ ταῦτα μὲν ὁ θεῖος Ἀνδρέας. Σινωπεῖς δὲ, Ἰουδαῖοι μὲν τὸ σέβας ὑπῆρχον, ὠμοὶ δὲ ἐ ἄγριοι τὰς ψυχὰς, μορφῇ μόνῃ καὶ ὀφθαλμῷ τὸ μὴ θῆρες εἶναι πιστούμενοι. Οἵ ἐ τὸν Ἀπόστολον θεασάμενοι, καὶ οἷα δὴ καθαιρέτην τῆς οἰκείας δόξης μισήσαντες, ὅτι τε τὸ δεσμωτήριον ἀχῇ διανοίξας, ἐκεῖθεν ἐξαγαγὼν τὲς καθειργμένους, ἐς ἐῦ γεμόμενοι σύγχυμα, τὴν μὲν οἰκίαν ἐμπιπράν ἐπεχείρουν, ἐν ᾗπερ αὐτὸς ἐπιξενωθεὶς ἐτύγχανεν, ἐκεῖνον δὲ συλλαβόμενοι, κ' γῆς ἔρριπτον. Καὶ οἱ μὲν ποδῶν, οἱ δὲ ἐ χειρῶν λαβόμενοι, ἕλκόν τε ἐ διέσπων, καὶ φανεροὶ ἦσαν ὑπὸ τῆς ἐκμανίας αὐτὲς ὁρμώμενοι λύσσης, ἐ αὐτοῖς ὀδοῦσιν ἐφιέμενοι τῇ ἁγίων ἐκείνων σαρκῶν ἅψασθαι. Οἱ μὲν ἐν ξύλοις ἔπαιον, οἱ δὲ λίθοις ἔβαλλον, Ἰουδαῖοι πάντως ἐ αὐτοὶ ὄντες, τὸν μιμητὴν Χριστῦ, τὸ πρῶτον ὑπ' ἐκείνων αἱρεθέντος, ἕως ἡμιθανῆ θέμενοι, ὥσπερ τι τῇ θρησκεύματος μακρὰν τῆς Πόλεως ἀπέρριπτον. Ἀλλ' ἐγγὺς ἡ παράκλησις. Ἐπιφανεὶς γὰ ὁ Διδάσκαλος, ἐθαῤῥύνετε ἐ αἰσθητὸν μᾶλλον φιλανθρώπως τὸν Μαθητὴν, καὶ τῇ ἐν χερσὶ κηρύγματος ἐπιμελεῖσθαι παρεκελεύετο. Ἐπεὶ δὲ ἐ συρόμενος ὑπὸ τῇ αὐτόμου, ἐμὰ τῇ δακτύλων ἔτυχεν ἐκκοπείς, ὑγιᾶ καὶ τοῦτον ἐπι-

ἐπι-

ἐπιφανὴς ἀπεδείκνυτο. Εἴσεισιν οὖν καὶ αὖθις εἰς τὴν Πόλιν ἄρτιος, ὑγιὴς, μηδὲ τύπου τινὸς τῶν πληγῶν ὑποφαινομένου. Ὃν οἱ αἰκισάμενοι θεασάμενοι, καὶ τοῦτο μὲν, τὴν καρτερίαν θαυμάσαντες, τοῦτο δὲ, καὶ τὸ τῆς θεραπείας ὑπὲρ ἄνθρωπον ἐκπλαγέντες, μεταβάλλονται τῆς θηριωδίας, καταμύσσονται τὴν καρδίαν, καὶ τὴν ἐκείνου Διδαχὴν εὐπειθῶς δέχονται. Ὃς καὶ αὐτοὺς τῷ Χριστῷ προσάγει, ψυχάς τε αὐτῶν ἰασάμενος, καὶ τῶν κακῶς ἐχόντων τὰ σώματα, τὰ μὲν λόγῳ, τὰ δὲ τῇ τῶν χειρῶν ἐπιθέσει. οὕτω πολλάκις τὸν κακῶς παθόντα, μακροθύμως διενεγκεῖν, τιμωρίας πάσης τοὺς δεδρακότας ἔπληξεν ἰσχυρότερον, ἀρετῆς θαύματι τὰς ψυχὰς αὐτῶν καταιδέσαντα, καὶ τοῖς παθοῦσι δούλας ἀτεχνῶς ποιησάμενον. Ἔπειτα φόνον τὲς ὑποστὰς, ἀγγέλλεται τῷ μεγάλῳ. οὗπερ ὁ μὲν φονεὺς ἀφανὴς, ἡ μήτηρ δὲ μητρικῶς πάσχουσα, καὶ ἰσχυρῶς τὸν παῖδα ὀδυρομένη. Ὁ δὲ σπλαγχνίζεται μὲν ὡς φιλάνθρωπος, καὶ τῷ τόπῳ εὐθὺς ἐφίσταται. Ἐνεργεῖ δὲ ὡς Χριστοῦ Ἀπόστολος, καὶ ζῶντα δίδωσι τὸν Υἱὸν τῇ μητρί. Οὕτως ἔλαβον γυναῖκες ἐξ ἀναστάσεως τοὺς νεκροὺς αὐτῶν. ὃ τοὺς ἰδόντας πρὸς πλείονα πίστιν ἐνάγει, καὶ πείθει τῷ θείῳ τελειωθέντας Βαπτίσματι, λαὸν ἱερὸν γενέσθαι Χριστοῦ, καὶ τῆς αὐτοῦ Ποίμνης ἀληθῶς ἄξιον.

Ὧν κἀνταῦθα τοὺς δοκιμωτέρους ἱερέας χειροτονήσας, ἔξεισιν ἐκεῖθεν, καὶ τῇ Ἀμινσῷ πάλιν πρόσεισι, παρ' ὧν εἰς Τραπεζουντίους τὸ δεύτερον παραπέμπεται. Ὧν ὀλίγων τινῶν φωτὶ θεογνωσίας πεφωτισμένων, τὸ πλῆθος ὑπὸ νύκτα τῆς ἀπιστίας πλανώμενον ἦν. Οἷς ἐπιμείνας, τὰ περὶ Πίστεώς τε διδάξας, καὶ βίου τοῦ καλῶς ἔχοντος, μεταβαίνει πρὸς τὴν Νεοκαισάρειαν. Κἀκεῖ ὁμοίως τὸν τῆς εὐσεβείας λόγον κηρύξας, πρὸς Σαμώσατα πάλιν μεταχωρεῖ. ἦν ἄνδρες τότε κατῴκουν, οὐ μόνον τὴν περὶ τὰ εἴδωλα πλάνην νοσοῦντες, ἀλλὰ καὶ τῇ περὶ τὴν τοῦ Κόσμου σοφίαν δόξῃ δυσθεράπευτοι τὴν ψυχὴν ὄντες, ἅτε συλλογισμῶν πλεκτάναις αὐτοί τε ἄμαχοι εἶναι, καὶ οὓς ἂν βουληθεῖεν εὐκόλως θηρᾶν οἰόμενοι. Ἀλλ' οὗτος διὰ τῆς μωρίας τοῦ κηρύγματος, τὰς ἐκείνων πλοκὰς ὡς ἅμματα τινὰ διακόψας, παῖδας ἔδειξε τοὺς τῷ δοκεῖν ἀλήπτους καὶ μετεώρους, μακράν τε τῆς ἀληθείας αὐτοὺς ὑποπλανωμένους, καὶ πολλῷ τοὺς αὐτῶν θεοὺς, ἐκείνων ὄντας ἀθλιωτέρους. Οἳ τὸ πρὸς ἀλλήλους ἐναντίως ἔχειν ταῖς γνώμαις καὶ τοῖς θελήμασι, καὶ ἀλλήλων εἰσὶ πολέμιοι, καὶ διὰ τοῦτο καὶ φθαρτικοὶ ἀλλήλων ἀκριβῶς δείκνυνται. Οὕτω καὶ λόγῳ τὴν τῶν φιλοσόφων ὀφρὺν ὁ Ἁλιεὺς καταπάσας, καὶ ταῖς ἀπὸ τῶν σημείων ἐνεργείαις τὰς ἐκείνων πείσας ψυχὰς, καὶ μεταγαγὼν πρὸς εὐσέβειαν, πάλιν πρὸς Ἱερουσαλὴμ ἀφικνεῖται. Κἀκεῖ τὰ συνήθη ἐπιτελέσας, εἶτα καὶ πρὸς τὰς οὔπω δεξαμένας τὸν λόγον τῆς ἀληθείας Πόλεις ὑπέστρεψε. Καὶ ἐπειδὴ Ματθίας τε, καὶ Θαδδαῖος, καί τινες ἄλλοι τῶν Μαθητῶν αὐτῷ συνείποντο, Θαδδαῖος μὲν ἔγνω προσμένειν τῇ Ἐδεσηνῶν πόλει, Ματθίας δὲ σὺν τοῖς ἄλλοις, τὸ εὐαγγελικὸν διαγγέλλει κήρυγμα.

Αὐτὸς δὲ Ἀνδρέας τῆς Ἀλανῶν χώρας ἐπιβὰς, καὶ τὸ τῆς χάριτος ἐκεῖ διασαλπίσας Εὐαγγέλιον, μεταβαίνει πρὸς Ἀβασγούς. καὶ τὴν ἐκεῖθεν Σεβαστόπολιν εἰσιὼν, ἐδιδασκέ τε καὶ εἰσηγεῖτο τὸ τοῦ Χριστοῦ μυστήριον, ὡς πολλοὺς αὐτῶν ἔργον γενέσθαι τῆς Ἀνδρέου γλώττης, καὶ τὴν θεογνωσίαν ἀσπάσασθαι. Ἀλλ' οὐδὲ τῆς τῶν Ζηκχῶν τε καὶ Βοσπορηνῶν ἠμέλησε σωτηρίας. ἀλλὰ καὶ τούτοις ἐπιδημήσας, τῶν μὲν τὸ ἀπειθὲς μισήσας καὶ ἄγριον, ἀναχωρεῖν ἔγνω, ἅτε ἀπαραδέκτους εὑρὼν τοῦ θείου σπόρου, καὶ μηδὲ ἀξίους τῆς εὐσεβείας ὑπάρχοντας. Βοσπορηνῶν δὲ τὸ εὐπειθὲς ἐπαινέσας, καὶ δοκίμους εἰς ὑποδοχὴν τοῦ θείου λόγου νενόμικε, καὶ τὴν εὐσέβειαν αὐτοῖς εἰσηγήσατο. Παρ' οἷς καὶ εἰκόνες Ἁγίων, ἀρχετύπῳ μεμορφωμέναι κηρῷ, τέχνην οὐ μιμητὴν, καὶ σοφίαν ὅσην δηλοῦσαι χειρῶν, τέχνην ἡττωμένην ἠλέγχοντο. Οὐμὴν ἀλλὰ καὶ λάρνακες ἐν μυχῷ γῆς ἀποκεκρυμμέναι δυοῖν Ἀποστόλων ὁμωνύμων ἐδείκνυντο.

τὴν

τὴν μὲν γὰρ, Σίμωνος εἶναι τοῦ Ζηλωτοῦ, τὴν δὲ, τὴν τοῦ Κανανίτου Σίμωνος αἱ ἐπιγραφαὶ διεσάφουν. Ὁ μὲν οὖν μικρὸν ἐν Βοσπόρῳ παραμείνας, πρὸς Χερσῶνα Πόλιν ἐφοίτα, ἐπίσημόν τε οὖσαν καὶ πολυάνθρωπον, καὶ πρὸς μὲν τὴν ὑγιᾶ πίστιν οὐκ εὐπαγῆ, πρὸς δὲ τὰς συνήθεις αἱρέσεις εὐπαραδέκτως ἔχουσαν. Ὅθεν καὶ αὐτοὺς ὑπελθὼν εὐφρόνως, καὶ τὸν εὐθὺν τῆς πίστεως λόγον εὐθύτατα διαγγείλας, διαπόντιος περαιωθεὶς, αὖθις κατὰ Σινώπην γίνεται, καὶ τὸ ἤδη προφυτευθὲν αὐτῷ νεόφυτον, τοὺς ἄρτι φημὶ τὸν λόγον τῆς πίστεως παραδεξαμένους, ἑδραιοτέρους πάλιν καταστήσας πρὸς θεοσέβειαν, Φιλολόγον τε αὐτοῖς προχειρισάμενος Ἐπίσκοπον, αὐτὸς ἀπελθὼν ἔπλει πρὸς τὸ Βυζάντιον, πολίχνιον ἔτι ὄν, καὶ οὔπω τοσαύτην μεγαλειότητα καὶ πολυανθρωπίαν εὐτυχηκός. Ἐν ᾧ καταστὰς, Στάχυν μὲν ἐνὰ τῶν Ἑβδομήκοντα Ἐπίσκοπον ἐκεῖσε χειροτονεῖ, πολλοὺς δὲ τῶν τῆς πόλεως κατηχήσας, καὶ τέκνα φωτὸς τῇ τῆς πίστεως παραδοχῇ ποιησάμενος, ἱερὸν τέμενος τῇ τοῦ Θεοῦ Λόγου Μητρὶ πρὸς τῇ ἀκροπόλει τοῦ ἄστεος ἀνεγείρει, φύλακα ταύτην καὶ πολιοῦχον τῆς ἐσύστερον Ὀρθοδόξου Βασιλείας καταστησάμενος. Εἶτα ἐκεῖθεν ἀπάρας, πρὸς Ἡράκλειαν τὴν τῆς Θρᾴκης ἐχώρει. Ὀλίγον οὖν κἂν ταύτῃ προσμείνας, τὸ ἱερὸν κήρυγμα καταγγείλας, πρὸς τὰς γείτονας πόλεις καὶ κώμας διήει, ἕως καὶ πρὸς αὐτὴν ἐπέστη τὴν Μακεδονίαν, κηρύττων μὲν τὸν τοῦ Θεοῦ λόγον, οἴκους δὲ θείους οἰκοδομῶν, καὶ τοὺς ἀνθρώπους μᾶλλον Θεοῦ οἴκους κατασκευάζων, καὶ ψυχαῖς πεινώσαις τὸν τῶν Ἀγγέλων διανέμων ἄρτον, τὸ τῆς εὐσεβείας δηλαδὴ κήρυγμα.

Εἶτα διὰ πάσης Θεσσαλίας καὶ Ἑλλάδος περιοδεύσας, φθάνει καὶ πρὸς αὐτὴν τὴν περιφανῆ Πελοπόννησον. ἣν εἰσιὼν, πρὸς μίαν τῶν ἐν αὐτῇ Πόλεων ἐπιξενοῦται ἀνδρὶ, Πάτραι τῇ πόλει, Σώσιος τῷ ξενίζοντι ὄνομα. Οὗτος ἀρρωστίᾳ κάτοχος ὤν, λυτήριον εὑρίσκει ταύτης τοῦ ξενισθέντος τὴν εἴσοδον. Παραπολαύουσι δὲ καὶ ἑτέρων αἱ Πάτραι θαυμάτων, τῇ ἐπιφοιτήσει τοῦ Κήρυκος. Κατὰ γὰρ μέσην τὴν πόλιν, δοῦλός τις τῶν ἠμελημένων ἐπὶ κοπρίας κείμενος, καὶ ὅλος νόσου δαπάνημα γεγονὼς, καὶ τὰς τοῦ ζῆν ἐλπίδας ἀφῃρημένος, ταχείας τυγχάνει τῆς παρ' αὐτοῦ θεραπείας. ἔδει γὰρ μηδὲ τοῦτον ἔρημον ἀφεῖναι προνοίας τὸν τοῦ Χριστοῦ κήρυκα, Μαθητὴν ὄντα πάντως ἐκείνου, παρ' ᾧ οὔτε δοῦλος, οὔτε ἐλεύθερος ἁπλῶς κρίνεται. καὶ ὃς ἀδελφὸν καλεῖν οἶδε καὶ τὸν ἐλάχιστον, καὶ ἴδιον εἶναι τὸ εἰς ἐκεῖνον γινόμενον ὁμολογεῖ. Ἐκεῖνος οὖν τῇ ἰδίᾳ Δεσποίνῃ σημαίνει τὸν ἰατρόν. καὶ ἐπεὶ καὶ ταύτην μετ' οὐ πολὺ νόσος ἐλάμβανεν, ἧς ἰατροὶ καὶ τέχναι φανερῶς ἡττῶντο, τῶν ἄλλων ἀμελήσασα πάντων, μετακαλεῖται τὸν ἀληθῆ καὶ ἄμισθον Ἰατρὸν, τὸν θεῖον φημὶ Ἀπόστολον. Ὃς τῷ οἴκῳ αὐτῆς ἐπιστὰς, ἐκείνην μὲν οὐκ εἰς ἀναβολὰς, ἀλλ' εὐθέως τῶν χαλεπῶν τῆς νόσου λύει δεσμῶν, τὸν δέ γε Ἀνθύπατον σύζυγον αὐτῆς ὄντα, καὶ ὅσον οὔπω ἑαυτὸν μαχαίρᾳ διαχειρίσασθαι μέλλοντα, εἰ ταύτην τεθνηκυῖαν ἴδοι, τῆς σφαγῆς τε ἀπήλλαξε, καὶ σωφρονεῖν παρεσκεύασε, χαρᾶς ἀντὶ λύπης αἰτιώτατος αὐτῷ καταστάς. Ἐπεὶ δὲ τὴν μὲν γυναῖκα τὴν ἑαυτοῦ ζῶσαν ἑώρα, τὴν δὲ ψυχὴν νεκρὰν εἶχεν ἐκεῖνος, τῇ πολλῇ περὶ τὰ εἴδωλα μανίᾳ, οὐκ ἠγάπα διὰ τῆς πίστεως ζῶσαν ἰδεῖν, ἀλλὰ μικροῖς μᾶλλον καὶ ἀναξίοις περὶ τὸν θεραπεύσαντα λογισμοῖς διακείμενος, ἐβούλετο μισθοὺς αὐτῷ παραυχεῖν τῆς ἰάσεως. Ὁ δὲ, οὐδὲ ἄκροις ὠσὶ παρεδέχετο. ἀσέβημα γὰρ αὐτῷ ἐδόκει, χρημάτων ὤνιον τοῦ Πνεύματος ποιεῖσθαι τὴν δωρεὰν, τὸ τοῦ Διδασκάλου καὶ εἰπὼν καὶ δράσας ὁ θεῖος Ἀπόστολος, τὸ, Δωρεὰν ἐλάβετε, δωρεὰν δότε.

Ἐκεῖθεν μὲν οὖν ἀπέστη, τὴν δὲ πόλιν πᾶσαν περιθὼν, ὁρᾷ ἐν τινι τῶν στοῶν ἄνδρα Παράλυτον, νόσῳ μὲν χρονίᾳ κατειλημμένον, μηδεμιᾶς δὲ παρά τινος ἀξιούμενον θεραπείας. οὗ περ οἶκτον λαβὼν, οἷά τινα καινὴν καὶ ἀλεξίκακον ἐπῳδὴν, τὸ τοῦ Χριστοῦ καλεῖ ὄνομα, καὶ εὐθὺς χεῖρα ὀρέγει, καὶ τῆς κλίνης ἐγείρας, τὸν ἐπ' ἴσης ἀκίνητον

τὴν βαδίζειν ἐποίει. Οὐ ταῦτα δὲ μόνον Ἀνδρέας Πατρεῦσιν ἐπιβατήρια, ἀλλὰ καὶ πολλοῖς τὰ ὄμματα τυφλωττόμενα διεμοίρατο, καὶ φῶς ἀφωτίστοις δίδωσι. Καί τινα λεπρὸν τῶν τῆς Πόλεως λιμαὶ παρερρίμμενον, καὶ τὸν Ἰὼβ ἐπὶ κοπρίας κείμενον, βρύοντα δὲ καὶ ὀδοῦσι τοῖς ἕλκεσι θεασάμενος, χεῖρα δὺς, ἐξαμίσησεν. εἶτα τῇ ἐκ γαστρὸς ἀποσμήξας θαλάσσῃ, μᾶλλον δὲ τῷ θείῳ ἀφάκαι σας Βαπτίσματι, καθαίρει τῶν ῥυσήματος, καὶ τὴν προτέραν ἀποδίδωσιν ἀνεξίαν, ὡς ἐπιστρέψαι τὴν σάρκα αὐτῶν, τὸ τῆς θείας φαίνειν γραφῆς, καθάπερ παιδαρίου μικροῦ, ὅπερ ἐπὶ τοῦ Νεεμὰν ἐκείνη τῶ παλαιῶ ἔλεγεν. Ὅς καὶ αὐτίκα τῷ Ἀποστόλῳ σωθεὶς πέτο, διαγγέλλων ἀπὸ τῆς θέας, καὶ πρὸ τῆς γλώττης τὸν ἰασάμενον, καὶ διαπρύσιος κήρυξ τῇ τῶ Χριστοῦ θαυμάτων γινόμενος. Οὕτω Παῦλος τῇ Ἀποστολικῶν ἀπόρρητα τεραστίων. ὅπως Ἀνδρέας τὸν ὑπὲρ πᾶσαν τὴν Ἀχαϊκὴν λαὸν, τὸν μὲν τῷ λόγῳ, τὸν δὲ θαύμασι καὶ σημείοις ἐπισπασάμενος, καὶ Ποιμένα Χριστοῦ καὶ λαὸν ἅγιον ἐκτελέσας, ἐχαιρέτιζε καὶ ἐγκαθίζετο τῷ καταθύματι. Ἐμτεύθεν τὰς εἰδωλικὰς φήμας καὶ τὰ τεμένη, τὰ πιστεύσαντα πλῆθος κατέξεστε, καὶ εἰς γῆν καταβέβληκε, δικαίᾳ ὕβρει ἄλογον τιμὴν ἀμειβόμενον. Λαβὰς καὶ αὐτὰς τὰς Ἑλληνικὰς βίβλους, πίστεως παρεχούσας πληροφορίαν, τῷ πυρὶ παραδέδωκεν. Εἶτα καὶ τὸν αἴτιον αὐτοῖς ἀγαθῶν τοιούτων γενόμενον, οἷς εἶχον ἐθέλοντες θεραπεύειν, ἐκ τῆς οἰκείων χρημάτων ἕκαστος καθόσον εἶός τε ἦν ἀπόμοιραν τῷ Ἀποστόλῳ παρέχων. ὁ δὲ, ταῦτα μὲν ἀδαμῶς, οὐδὲ γὰρ ἐδέετο. τὴν γνώμην δὲ προσέμενος, ἐκείνα παρομοίοις ἐκέλευε καὶ λιμώττουσι χορηγεῖν. τὰ δὲ εἰς κατασκαλὴν ἱερῶν καὶ ἐπέστρεπεν καὶ ἀνέλυσεν. Ὅς καὶ πολλῷ τῷ τάχει μεταγνοθεὶς, εἰς σωτηρίαν ἦν τῇ ἄρτι πεπιστευκότων. Ἐμοὶ καὶ αὐτὸς θυσίας ἀναφέρων πνευματικὰς, ὅς αὐτῷ τε εἰς μυσταγωγὸς καὶ ἱερέας ἀπολελέγμενος, καὶ ἀπαρτίσας Θεῷ Ἐκκλησίαν ὁλόκληρον, τῇ σωτηθῶν ἔχετο πρὸς αὐτὸς διδαχῶν, ποτὲ μὲν ἀπὸ τῆς Παλαιᾶς παράγων Γραφῆς, καὶ σαφηνίζων αὐτοῖς τὰ περὶ Χριστοῦ, ποτὲ δὲ καὶ ἀπὸ τῆς Νέας προφητείας Διαθήκης, ὅπως ἐμ αὐτῷ τὸ ἐκβασιν ἔχοιμ τὰ τῆ Προφητῶν προκηρύγματα, καὶ δεικνὺς τὸν Νέαν συμφθεγγομένην τῇ Παλαιᾷ, καὶ θεσμὰ τὸν αὐτὸν τε καὶ ἑνὸς μοθετήσαντα. Ἐμ τούτῳ δὲ, ὁ μὲν Ἀνθύπατος πρὸς Ῥώμην ἄπεισι, ὧν τε ἀφεχεφίθη, τὸν λόγον ὀφέξων Καίσαρι, καὶ τῇ εἰς τὸ ἔξης λυσιτελοῦντα τῷ διάταξιν. ὁ δέ γε αὐτάδελφος ἐκείνου Στρατοκλῆς, ἄρτι ἐξ Ἀθηνῶν ἀφικόμενος, συμφορᾷ περιέπεσεν ἀνεπία, τὸν ἀγνάστον αὐτῷ τῇ θεραπόντων δαίμονι κάτοχον ἀρνηθῶς. Τῶτον ἦν θεασάμενος ἀθύμει, ἤχαλλε, ἐδυσφόρει, φέρειν οὐκ εἶχε τὰς ἐκ τῆς λύπης πληγάς. Μαξιμίλλα δὲ ἡ τῶ Ἀνθυπάτου γαμετὴ, ἅπω διακείμενον ὁρῶσα, τὰ περὶ τῶ Ἀποστόλου τε εἰσηγεῖτο, καὶ ὅπως χρήσαιτο αἱρεῖται λάμβανε ταῖς ἐλπίσιν, αὖδρα λέγουσα εἶναι θαυμάτων πολλῶν ἀνταργὸν, καὶ ἔτι πρὸς μόσων ἴασιν χαλεπῶν ἄνταρκες ῥῆμα φιλόν, χωρὶς δὲ τῇ ἄλλων, ἀρκεῖν εἶναι τῇ ἀρνησίων μαρτύριον τοῦτο. ἐμὲ γὰρ οὕτω παρέλπιδα πᾶσαν καὶ τέχνης δυσαμμ, θανάτου τε ἐρρύσατο, καὶ τὸ ὑγιαίνειν ἀχερῶς ἐδωρήσατο. ὅθεν εὐελπιν εἶναί σου τῷ αἱρετῷ βάλλομαι. οὐδὲν γὰρ τὸ κωλύον, αὖδρα ὧν ἐγὼ ἔγνωκα, καὶ τῶν σῶν ἴασθαι συμφοραί. Οὕτω λεγούσης, ἐπείθετο Στρατοκλῆς. καὶ γὰρ ἐκ τῶ βούλεσθαι μόνον ταχὺς πείθεσθαι, ἀλλὰ καὶ ψυχὴν ἔχων ἐπιτηδείαν, ἀσεβείας ὠνείρατα καταδέξασθαι. Μετεκαλεῖτο τοίνυν Ἀνδρέας, καὶ Χριστοῦ ἐπίκλησις ἦν, καὶ ἀθὺς ἐλύετο ὁ πάχων τε τῶ δαιμονίου, καὶ δεισιδαιμονίας ὁ Στρατοκλῆς. Καὶ παραχρῆμα Βάπτισμα, καὶ παρ' ὕλης οἰκεία προσαγωγὴ τῷ Χριστῷ. μεθ' ὧν καὶ Μαξιμίλλα τῷ θείῳ προσελθοῦσα λουτρῷ σωμάτων καὶ Στρατοκλεῖ, τῷ Ἀποστόλῳ προσιδρύσω, καὶ κοινῇ τῇ θείων ἀπέλαυον διδαχῶν.

Τί τὸ μὴ ταῦτα; ἐπαύσαντο ἐκ Ῥώμης ὁ Ἀνθύπατος, καὶ οἱ κατὰ λαβὼν, πρόσεισι

σεισι τῇ αὐτοῦ γαμετῇ. Μαξιμίλλα δὲ οὐκ εἶχεν ὥσπερ τὸ πρότερον. ἐκείνη γὰρ ἤδη Χριστῷ νυμφευθεῖσα, τοῦ Χριστὸν οὐκ εἰδότος ἀπωθεῖτο τὴν ὁμιλίαν, τοὺς μισοῦντάς σε, μετὰ τοῦ Δαβὶδ λέγουσα, ἐμίσησα Κύριε, καὶ ἐπὶ τοὺς ἐχθροὺς σου ἐξετηκόμην. τοῦ μέντοι ἀπωθεῖσθαι τὸ πρόσχημα, νόσου τέως προσποίησις ἦν, ἣν μετ' ὀλίγον ἐλέγξαντος τοῦ καιροῦ, τὴν αἰτίαν ἐκεῖνος τοῦ μίσους ἠρώτα. Ἐπεὶ δέ τις αὐτῷ ἀπήγγειλεν, ὡς ὁ ἐνταῦθα παρὼν ξένος αἴτιος εἴη σοι τῆς μεταβολῆς ταύτης, καὶ ὡς τῶν ἐκείνου λόγων θήραμα ὤφθησαν Μαξιμίλλα καὶ Στρατοκλῆς, καὶ τῷ αὐτοῦ Θεῷ πεπιστεύκασι, τὸ πάτριον ἐξωμοσάμενοι σέβας, τούτων ἀκούσας Ἀνθύπατος, παντοῖος ἦν ἀπὸ τῆς ὀργῆς, καὶ τὸν ὀδόντα συὸς τρόπον ἔθηγε κατὰ τοῦ Ἁγίου. πλὴν ἀλλὰ πρότερον σιωπὴν ἐνεγκὼν, ἀπεπειρᾶτο τῆς αὐτοῦ γαμετῆς, τί μὲν οὐ λέγων, τί δὲ οὐ ποιῶν, ὥστε ταύτην ἐπαγαγέσθαι, καὶ πεῖσαι Ἀνθυπάτῳ τοὺς ὀφθαλμοὺς προσβάλλειν ἡμέρως; Ἐπεὶ δὲ κενὴν ψάλλειν ἑῴκει, καὶ εἰς ὦτα λέγειν μὴ ἀκουούσης, τὸν θυμὸν ὅλον ἀνάπτει κατὰ τοῦ Κήρυκος. Καὶ νῦν μὲν εἱρκτῇ δίδωσιν ὑπὸ φρουροῖς, καὶ σφραγίσιν ἀσφαλῶς τηρούμενον, ἕως ἂν ἐπὶ σχολῆς σκέψηται, πῶς ἀνελεῖν μέλλων αὐτὸν χρήσαιτο. Ἤδη δὲ βαθείας νυκτὸς οὔσης, ὁ Στρατοκλῆς σὺν Μαξιμίλλῃ, καίτισιν ἄλλοις τῶν πιστευσάντων, τῇ θύρᾳ τῆς φυλακῆς ἐπιστάντες, κόπτουσι πάνυ κούφως, ὡς χρηγοροῦντι μόνῳ αἴσθησιν παρασχεῖν. ὁ δὲ (καὶ γὰρ ἦν προσευχῇ σχολάζων) συνεὶς τὴν ἔλευσιν, τῷ τοῦ Σταυροῦ σημείῳ παραδόξως τὰς θύρας ἀνοίγει. Εἶτα τὸ γεγονὸς τοῖς φρουροῖς εἰς γνώσιν ἐλθὸν, φόβος ἐμπίπτει πολύς. Καὶ ὃς ἀμελεῖν ἐκέλευε καὶ θαρρεῖν, οὐδὲν προσδόκιμον πονηρὸν ἔχοντας. Στρατολκὴς δὲ σὺν Μαξιμίλλῃ καὶ τοῖς ἄλλοις, προσπίπτουσί τε καὶ θερμῶς αἰτοῦσι τῷ Ἀποστόλῳ, ἐπιρρῶσαι αὐτοῖς τὴν εὐσέβειαν. Ὁ δὲ πολλά τε εἰπὼν καὶ διδάξας, καὶ τοῦτο μὲν πρὸς Θεοσέβειαν, τοῦτο δὲ καὶ πρὸς ἐπιμέλειαν βίου καταρτίσας αὐτοὺς, καὶ τῶν ἁγίων μεταδοὺς Μυστηρίων, ἐπανιέναι πάλιν ἐκέλευσε. καὶ οἱ μὲν ἐξίεσαν· ὁ δὲ τὰς θύρας τῆς φυλακῆς, ὅπως εἶχον αὐταῖς ἀποκαθίστησι σφραγίσιν.

Ὁ μέντοι Ἀνθύπατος, ἐπεὶ ὥσπερ εἴρηται, τῆς γυναικὸς ἐπέγνω τὴν ὁμιλίαν, τοὺς ὑπὲρ αὐτῆς οὐ φέρων θυμοὺς, πρόφασιν ἔχων καὶ τὸ τοῦ Χριστιανισμοῦ σέβας, τὸν διὰ Σταυροῦ θάνατον καταψηφίζεται τοῦ Ἁγίου. τὸ δὲ ποίας δόξης, ποίου πλούτου, ποίας τρυφῆς, οὐ μᾶλλον εὔφρανε τὸν Ἀπόστολον, ὅτι τὸν αὐτὸν θάνατον ἔμελλεν ὑπείκειν τῷ Δεσπότῃ, καὶ συμμορφοῦσθαι τοῖς ἐκείνου παθήμασι; Καὶ διὰ τοῦτο καὶ φωναῖς αὐτὸν εὐχαριστηρίοις ἠμείβετο, χάριν ὁμολογῶν ὅσην τῆς ὁμοιώσεως, καὶ ὅτι τὸν τοῦ Εὐαγγελίου δρόμον εἰς πέρας ἤγαγε, καὶ ὅτι τὴν πίστιν ἀκαταίσχυντον τετήρηκε τῷ Δεσπότῃ. Ἀμέλει καὶ πρὸς αὐτὸν ἀπιδὼν τὸν Σταυρὸν, πολλοῖς ἐτίμα τοῖς ἐγκωμίοις, σωτηρίας αἴτιον ἀνθρώποις, θανάτου θάνατον, ἐχθρῶν κατάπτωσιν, πιστῶν φύλακα, γένους ἀνθρώπων εἰς οὐρανοὺς ἀνύψωσιν, καὶ ἄλλα ὅσα ἐκεῖνον ἀποκαλῶν. Πρὸς τούτοις εὐκαταφρόνητον ἡγεῖσθαι τὸν θάνατον, καὶ χαίρειν παρῄνει, ὅτι δι' αὐτοῦ Χριστῷ συναπτόμεθα, Χριστῷ τῷ ὑπὲρ ἡμῶν θάνατον ἑλομένῳ, μεταβαίνοντες ἀπὸ τῶν φθαρτῶν πρὸς τὰ ἄφθαρτα, καὶ μυρίων ἐκεῖ τῶν ἀγαθῶν ἀξιούμενοι. Ἐπὶ πολὺ οὖν τῷ Σταυρῷ τοῦ Ἀποστόλου ἐγκαρτεροῦντος, ὁ μὲν Στρατοκλῆς ἐπειρᾶτο καταγαγεῖν αὐτὸν, τὸ ἀπάνθρωπον τοῦ ἀδελφοῦ Αἰγεάτου, διὰ μίσους ποιούμενος. ἐπεὶ δὲ οὐκ ἠφίει ὁ μυρίων ἐκεῖνος σταυρῶν ἄξιος, ἔμεινεν οὕτως ἐπὶ τοῦ Σταυροῦ, τὸ τῶν πεπιστευκότων διδάσκων πλῆθος, ἀκίβδηλον τὴν εἰς τὸν Χριστὸν φυλάττειν ὁμολογίαν. Πάντων οὖν πρὸς αὐτὸν συρρεόντων κατὰ θέαν ἅμα καὶ ἀκοὴν τῆς μακαρίας ἐκείνης μορφῆς τε καὶ φωνῆς, καὶ ζημίαν οὐ φορητὴν ἡγουμένων, τὸ μὴ ἐπιθανάτιόν τι ῥῆμα λαβεῖν, ὥστε ἀπομνημόνευμα τοῦτο ἔχειν καὶ παραμύθιον ἕκαστος τῆς ὅλης ζωῆς, ὁ Ἀνθύπατος δείσας μήτι καὶ

νεω-

νεωτερισθείη παρὰ τοῦ ὄχλου, πρόσεισιν ἀπολύσων αὐτὸν ἀπὸ τοῦ Σταυροῦ. Ὁ δὲ οὐκ ἠνείχετο, ἀλλ' ἠξίου μᾶλλον εἴ τίς γε δύναμις, ἑαυτὸν ἀπολύσαι τῶν κατεχόντων τῆς ἀγνοίας δεσμῶν, καὶ Χριστῷ συνάψαι διὰ τῆς πρὸς αὐτὸν πίστεως, εἶδ' οὖν, ὅσον οὔπω προσδοκᾶν, τὸν οἴκτιστον ὑποστήσεσθαι θάνατον, ὃ δὴ καὶ πρὸς τὸν ἐκείνου λόγον κατὰ πόδας ἀπήντα. Ὁ μὲν γὰρ θεῖος Ἀπόστολος, ἐπὶ πολὺν οὕτω τὸν χρόνον τῷ Σταυρῷ προσαγηρτημένος, τῷ Θεῷ παραδίδωσι τὴν ψυχὴν, τῶν ἐσχάτων ἤδη τῆς ἡλικίας ἁπτόμενος, Μαρτυρικῷ τέλει, Ἀποστολικὸν δρόμον ἐπισφραγίσας. Ὁ δέ γε θεομισὴς Ἀνθύπατος, μανίᾳ κάτοχος γεγονὼς, καὶ ὑπὸ τῶν θεραπευομένων ὑπ' αὐτοῦ δαιμόνων ἀξίας ἀπολαμβάνων τὰς ἀντιλήψεις, ἀπότινος μετεωροτάτου κρημνοῦ ἑαυτὸν εἰς γῆν καταβεβληκὼς, ὡσεὶ πάχος γῆς ἐρράγη, καὶ τὰ ὀστᾶ αὐτοῦ παρὰ τὸν ᾅδην, κατὰ τὰ ἱερὰ λόγια φάναι, διεσκορπίσθη.

Ἀλλὰ τὸ ἀποστολικὸν ἐκεῖνο καὶ μακάριον Σῶμα, Μαξιμίλλα καὶ Στρατοκλῆς τοῦ Σταυροῦ καθελόντες, καὶ ὅσια πάντα ἐπ' αὐτῷ δράσαντες, θάπτουσιν ἐντίμως, Πατρεῦσι φρουρὸν, Πατρικὴν στοργὴν διασώζοντα. Στρατοκλῆς δὲ, τῆς τοῦ ἀδελφοῦ ὑπάρξεως οὐδ' ὁτιοῦν μετασχεῖν θελήσας, πένησι διανέμει πάντα, ἀνόσιον εἶναι κρίνας ἐλαίῳ ἁμαρτωλοῦ λιπανθῆναι τὴν κεφαλὴν, καὶ οὗπερ ἐκεῖνος τῶν τοῦ πνεύματος οὐ μετεῖχε καρπῶν, τούτου τῶν σωματικῶν αὐτὸς κοινωνῆσαι. Ἡ δὲ Μαξιμίλλα, τῷ τάφῳ παραμένουσα τοῦ Ἀποστόλου, τὸ λοιπὸν ἐξεβίωσε τῆς ζωῆς τῆς φθειρομένης, ἧς ἔτυχε τῆς ἀφθάρτου καὶ κρείττονος. Αὕτη καὶ μετὰ Στρατοκλέους πένησι τὰ ὄντα διανειμάμενοι, μικρῶν παραχωροῦντες ἐκείνοις, ἐπεὶ τῶν μειζόνων ἑαυτοὺς ἠξίουν, καὶ Ἐπισκοπὴν οἰκοδομοῦσιν, αὐτοῦ τοῦ Στρατοκλέους εἰς Ἐπισκοπὴν ἤδη παρὰ τοῦ Ἀποστόλου προχειρισθέντος, φροντιστήριά τε ἐκ βάθρων αὐτῶν δειμαμένων, τὰ μὲν εἰς ἀνδρῶν, τὰ δὲ καὶ εἰς γυναικῶν οἴκησιν, οὕτω θεοφιλῶς τὸ ἑξῆς τοῦ βίου διανύσαντες. Εἶτα καὶ πρὸς τὴν αἰωνίαν ζωὴν μετετάξαντο. Ἀλλὰ προστιθέσθω ἔτι καὶ τοῦτο περὶ τοῦ Ἀποστολικοῦ σώματος. Εἶχον μὲν γὰρ ἐκεῖνο Πατρεῖς ἐπὶ πολὺ τιμώμενον, καὶ πολλαῖς θαυμάτων δωρεαῖς τῆς ξενοδοχίας αὐτοὺς ἀμειβόμενον.

Ἐπεὶ δὲ ὁ τοῦ πρώτου Χριστιανῶν εὐσεβῶς βασιλεύσαντος Κωνσταντίος Παῖς, ἐπαινετῷ ληφθεὶς ἔρωτι, μετακομίζειν αὐτὸ πρὸς τὴν Βασιλίδα ταύτην τῶν Πόλεων σπουδὴν ἔθετο, πληροῖ τοῦτο ἀνδρὶ λίαν ἐπιτηδείῳ τὴν ὑπηρεσίαν πιστεύσας. Ἀρτέμιος οὗτος ἦν, ὁ θαυμαστὸς ἐν Μάρτυσι καὶ γενναῖος. καλὴ γὰρ ὄντως καὶ φίλη διακονία, ἣν ἂν Ἀποστόλοις καὶ Μάρτυσι διακονήσωσι Μάρτυρες. Ὑπ' αὐτοῦ τοίνυν πρὸς τήνδε τὴν Βασιλίδα Πόλιν μετακομίζεται τοῦ σοφοῦ, καὶ σὺν ἑτέροις Ἀποστολικοῖς σκηνώμασι κατατίθεται, Λουκᾶ, φημὶ, τοῦ θείου, καὶ Τιμοθέου, ὃν μὲν ἐξ Ἑλλάδος, ὃν δὲ ἐξ Ἐφεσίων, αὐτῶν ἐρώτων ἀνελομένων τοῦ Κωνσταντίου, ἵνα τοὺς ὑπὲρ ἐνὸς κηρύγματος καὶ σφαγῆς ἀγωνισαμένους, εἷς καὶ ὁ αὐτὸς ὑποδέχοιτο τάφος. Κεῖνται τοιγαροῦν ἐν τῷ τῶν Ἱερῶν Ἀποστόλων ἐπωνύμῳ Ναῷ, οὐκ ἐν γωνίᾳ, οὐκ ἐν παραβύστῳ, οὐκ ἐκτὸς ἐντινὶ χωρίῳ, ἀλλὰ μέσον αὐτοῦ τοῦ Ἱεροῦ θυσιαστηρίου, καλοὶ καλὴν λαχόντες τὴν κατοικίαν. Καὶ πῶς γὰρ οὐκ ἔμελλον; ὧν τὰ Πνεύματα οἶκος ὁ ἐνδότατος ἔχει Θεοῦ, τῆς παρ' αὐτοῦ πρώτης ἠξιωμένα τιμῆς. οἳ καὶ ἡμῖν ἁμαρτιῶν λύσιν, καὶ τὴν μετὰ Χριστοῦ διαπρεσβεύονται Βασιλείαν. Ὅτι αὐτῷ πρέπει δόξα, τιμὴ καὶ προσκύνησις, σὺν τῷ ἀναρχῷ Πατρὶ, καὶ τῷ ζωοποιῷ Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Τῇ αὐτῇ ἡμέρᾳ, Τοῦ Ὁσίου Πατρὸς ἡμῶν Φρουμεντίου, Ἐπισκόπου Ἰνδίας.

ἁ. Φρουρούμενος χάριτι σεπτῆς Τριάδος, Φρουμέντιος δέδειχε φροῦδον τὴν πλάνην.

Ἐν ταῖς ἡμέραις Κωνσταντίνου τοῦ μεγάλου Βασιλέως, Τύριός τις Φιλόσοφος ἀπῆλθεν ἱστορήσων τὴν ἐσχάτην Ἰνδίαν, λαβὼν δύω νεανίσκους ἀδελφούς. Ἐν δὲ τῷ ὑποστρέφειν αὐτὸν σὺν αὐτοῖς, προσορμί-

σαντες λιμένι τινὶ διὰ χρείαν ὕδατος, βαρβάροις περιέπεσον· καὶ οὓς μὲν τῶν ἐν τῷ πλοίῳ οἱ βάρβαροι πρὸς θάλασσαν κατηκόντισαν, οὓς δὲ κατέσφαξαν, ἐξ ὧν καὶ ὁ Τύριος φόνου παραμάλωμα γεγονὼς, τοὺς δὲ περιλειφθέντας, μεθ' ὧν καὶ οἱ νεανίσκοι, δεσμήσαντες, προσήγαγον τῷ βασιλεῖ τῆς Ἰνδίας. Τούτων ὁ μὲν Αἰδέσιος, ὁ δὲ Φρουμέντιος ὠνομάζοντο. Ὁ γοῦν Βασιλεὺς, τοὺς νεανίσκους ἰδὼν εὐφυῶς ἔχοντας, πρὸς ὃν κατὰ νοῦν εἶχε σκοπὸν τῶν βασιλείων ἐπιμελητὰς καὶ οἰκονόμους προὐβάλλετο. Εἶθ' ὕστερον τοῦ υἱοῦ τοῦ βασιλέως κατὰ τὴν τελευτὴν τοῦ πατρὸς τῆς βασιλείας ἐπιλαβομένου, καὶ πλείονος ἔτι τῆς τιμῆς ἀπολαβόντες, θαρροῦντες, καὶ τῶν ἐκεῖσε ἐμπόρων ἀφικνουμένων, κατὰ τὸ τῶν Ῥωμαίων ἔθος συναθροίζεσθαι, καὶ θείας ἐπιτελεῖν λειτουργίας παρεκελεύοντο. Χρόνων δέ τινων διελθόντων, τῷ βασιλεῖ προσίασι, καὶ τῆς εὐνοίας ἀπαιτοῦντες μισθὸν, τὴν πρὸς τὴν ἐνεγκαμένην ἐξελιπάρουν ἐπάνοδον. Τούτου δὲ τυχόντες, εἰς τὴν Ῥωμαίων ἀφίκοντο γῆν. Καὶ ὁ μὲν Αἰδέσιος τὴν Τύρον κατέλαβε, τοὺς γεννήτορας καὶ τὰ οἰκεῖα ἐπιζητῶν. Φρουμέντιος δὲ τὴν περὶ τὰ θεῖα σπουδὴν τῆς τῶν γεννητόρων προτετίμηκε θέας. Καὶ τὴν Ἀλεξάνδρου καταλαβὼν Πόλιν, τῷ τῆς Ἐκκλησίας δεδήλωκε Προέδρῳ, ὡς Ἰνδοὶ λίαν ποθοῦσι τὸ τῆς εὐσεβείας δέξασθαι φῶς. Πρὸς ὃν ὁ μακάριος Ἀθανάσιος, (οὗτος γὰρ ἦν ὁ τὴν Ἐκκλησίαν τότε τῆς Ἀλεξάνδρου καὶ τὸν Θρόνον κοσμῶν,) καὶ τίς σου ἡμῖν κρείττων, ἔφη, τῆς ἀγνοίας τὴν ἀχλὺν ἀποσκεύασαι τοῦ ἔθνους, καὶ τοῦ θείου κηρύγματος ἀντεπεισάξαι τὴν αἴγλην; Καὶ ταῦτα εἰπὼν, καὶ τῆς Ἀρχιερατικῆς αὐτῷ μεταδοὺς χάριτος, εἰς τὴν τοῦ ἔθνους ἐξέπεμψε γεωργίαν.

Ὁ δὲ καὶ τὴν Πατρίδα καταλιπὼν, καὶ τοὺς γονεῖς ἀφεὶς, καὶ τοῦ μεγίστου πελάγους ὑπὲρ τῆς εὐσεβείας καταφρονήσας, κατέλαβε τὸ ἀγεώργητον ἔθνος. Ἐγεώργησε δὲ προθύμως, ἔχων συνεργὸν τὴν Θεόσδοτον χάριν. Ἀποστολικαῖς γὰρ κεχρημένος διδασκαλίαις, καὶ θαυματουργίαις, οὐ μόνον τοὺς δαιμονῶντας ἐθεράπευε, καὶ παῦ ὁτιοῦν νόσημα, ἀλλὰ καὶ τοῖς ἀντιλέγουσι, καὶ μὴ ταχέως τὰ παρ' αὐτοῦ λεγόμενα δεχομένοις, ὃν μὲν δαίμονι ἐδίδου, κατὰ τὸν λέγοντα Ἀπόστολον, παράδοτε αὐτὸν τῷ Σατανᾷ, εἰς ὄλεθρον τῆς σαρκὸς, ἵνα τὸ πνεῦμα σωθῇ, ὃν δὲ ξηρὸν ἐποίει, ἄλλου δὲ τὸ φῶς εἰς ἀβλεψίαν μετέβαλλεν. Οἱ δὲ εὐθέως προσπίπτοντες, καὶ τῆς ἰάσεως ἀπολαμβάνοντες, ἐπίστευον τῷ Χριστῷ. Αἱ καθ' ἑκάστην δὲ γινόμεναι θαυματουργίαι, μαρτυροῦσι περὶ αὐτοῦ, καὶ περὶ τῆς εἰς Χριστὸν Πίστεως, ὡς παμπληθεὶ ἅπαν τὸ ἔθνος πρὸς Θεογνωσίαν διήλαυνον. Διὸ ἐν ὀλίγῳ χρόνῳ μόνος σὺν Θεῷ, πᾶσαν τὴν τῶν Ἰνδῶν βαπτίσας χώραν, καὶ Ἱερεῖς ἐξ αὐτῶν χειροτονήσας, καὶ Ναοὺς διαφόρους ἐγείρας, καὶ εἰδωλεῖα καταστρέψας, καὶ τὸ ξόανα πάντα συντρίψας, ἅπαν τὸ Ἔθνος εἰς Θεογνωσίαν μετέβαλεν. Ἐθαύμαζον δὲ ἅπαντες, καὶ αὐτὸς ὁ Βασιλεὺς, λέγοντες· οὐκ ὀλίγους χρόνους σὺν ἡμῖν ὢν διαβιβάσας, οὐδέν τι ἐκ τῶν παρὰ σοῦ θαυμασίων ποτὲ ἐποίησας. καὶ νῦν πόθεν σοι παμφίλτατε ἡ τοιαύτη χάρις ἐδόθη, δι' ὀλίγου καὶ ταῦτα καιροῦ; Οὐκ ἐμὸν ἀπεκρίνατο τὸ δῶρον, ὦ τιμιώτατοι τοῦ Χριστοῦ φίλοι, ἀλλὰ τῆς Ἱερωσύνης, καὶ αὐτοῦ τοῦ Χριστοῦ. Ἰδὼν γὰρ τὴν ἀγαθὴν ὑμῶν γνώμην, ἐάσας διὰ τοῦτο πατρίδα καὶ συγγένειαν, κατὰ τὴν τοῦ Κυρίου φωνὴν, κατέλαβον τὴν Ἀλεξάνδρειαν, καὶ τὸν Ἀρχηγὸν τῆς Ἐκκλησίας τὸν μέγαν Ἀθανάσιον τὰ περὶ ὑμῶν ἀναδιδάξας, καὶ χρίσματι ἁγίῳ χριθεὶς παρ' αὐτοῦ, καὶ Ἀποστολικῷ χαρίσματι λαμπρυνθεὶς τῇ πρὸς Θεὸν αὐτοῦ ἐντεύξει, πρὸς ὑμᾶς ἀπεστάλην. Ὑμῶν δὲ πιστῶς ἐμὲ δεξαμένων, ἡ τῆς Ἱερωσύνης χάρις, μᾶλλον δὲ τοῦ Θεοῦ, ἐνεργεῖ ὡς ὁρᾶτε δι' ἐμοῦ. Οὗτος ἐπὶ χρόνοις οὐκ ὀλίγοις ζήσας θεαρέστως ἐν αὐτοῖς, καὶ τὰς τοῦ Θεοῦ ἐντολὰς διδάξας, καὶ πρὸς τὴν τοῦ Θεοῦ ἐργασίαν παραδόξως μεταρρυθμίσας, κατὰ τὸ δυνατὸν ἑκάστῳ, ἀμφὶ τὰ ἑκατὸν ἔτη, πρὸς Κύριον

ἐξεδή-

ἐξεδήμησεν. Οὗ τὸ τίμιον Λείψανον παντοδαπὰς τὰς ἰάσεις τοῖς προσιοῦσι παρέχει, εἰς δόξαν τοῦ ἀληθινοῦ Θεοῦ ἡμῶν. Ἀμήν.

Ταῖς αὐτῶν ἁγίαις πρεσβείαις.

Ὠδὴ, ζ'. Ὁ Εἱρμός.

„Ῥοὺς ἐν καμίνῳ Παῖδάσσου Σωτὴρ, οὐχ
„ἥψατο, οὐδὲ παρηνώχλησε τὸ πῦρ.
„τότε οἱ τρεῖς ὡς ἐξ ἑνὸς στόματος, ὕμ-
„νον καὶ εὐλόγον λέγοντες· εὐλογητὸς ὁ
„Θεὸς, ὁ τῶν Πατέρων ἡμῶν.

Ἣν μιανθεῖσαν ἄχραντε ψυχὴν, ἁγίασον, πάντοτε τοῦ δούλου σου Ἁγνὴ, καὶ τοῦ νοὸς δεινὰς αἰχμαλωσίας, καὶ καρδίας πώρωσιν, καὶ τῶν δαιμόνων ὁρμὰς, τάχος ἀφάνισον.

Νενεκρωμένον πάθεσι σαρκὸς, Παράμωμε, ζώωσον τὸν νοῦν μου καὶ Θεῷ, τὰ ἀρεστὰ ἐπιτελεῖν ἐνίσχυσόν με. ἵνα μεγαλυνώσε, ἵνα δοξάζω ἀεὶ, τὴν ἀγαθότητά σου.

Νεκρωσόν μου Δέσποινα ἁγνὴ, τὰ τῆς σαρκὸς πάθη, καὶ ψυχῆς μου ταπεινῆς ῥύπον, δεινὸν ἐναποσμήχουσα Παρθένε, καὶ λογοθεσίου με, τῶν ἀοράτων ἐχθρῶν, ῥῦσαι καὶ σῷσόν με.

Ἐοὶ παναγία Ἄχραντε ἁγνὴ, οἱ δοῦλοί σου, πάντοτε ἡμέρας καὶ νυκτὸς, προσπίπτομεν συντετριμμένῃ διανοίᾳ, δυσωποῦντες λύτρωσιν, ἁμαρτημάτων εὑρεῖν, ἡμᾶς ταῖς σαῖς προσευχαῖς.

Ἄλλος. Σὲ νοητὴν, Θεοτόκε κάμινον.

Ἡ ἀψευδὴς, ἐμφανῶς πεπλήρωται, ἐπαγγελίασου Χριστέ. τῷ γὰρ σάλῳ ὁ φοιτητὴς, σοῦ ὁ ἐνθεώτατος, λόγῳ ἐμβριμώμενος, πρὸς ἱλαρὰν γαλήνην μετέβαλεν. ὁ αἰνετὸς τῶν Πατέρων, Θεὸς καὶ ὑπερένδοξος.

Ῥῷ νοητῷ, τῆς Σιὼν Ἀπόστολε, προσβῆναι ὄρει κελευσθεὶς, σωτηρίου τε εἰληφὼς, χαίρων τὸ ποτήριον, νέμοις πορευόμενος, διὰ θανάτου πρὸς Θείαν ζωήν. ὁ αἰνετὸς τῶν Πατέρων, Θεὸς καὶ ὑπερένδοξος.

Εὐγηγενὴς, πεφυκὼς Ἀπόστολε, ὑπερφυῶς τερατουργεῖς. δι' ἀγάπης γὰρ συγκραθεὶς, τούτῳ ἠκολούθησας, Χριστῷ τῷ σὲ ἀγαπήσαντι, ὁ αἰνετὸς ἀναμέλπων, Θεὸς καὶ ὑπερένδοξος. Θεοτοκίον.

Χαῖρε σεμνὴ, τοῦ Ἀδὰμ τὸ κώδιον, ἐξ οὗ προῆλθεν ὁ Ποιμὴν, ἐνδυσάμενος ἀληθῶς, ὁ ὑπερυψούμενος, ὅλον με τὸν ἄνθρωπον, ἐν τῇ γαστρίσου ἀνέπλασεν, ὁ αἰνετὸς τῶν Πατέρων, Θεὸς καὶ ὑπερένδοξος.

Ἄλλος. Τοὺς ἐν καμίνῳ Παῖδάσσου.

Ῥοῦ Παναγίου Πνεύματος τὸ πῦρ, σπασάμενος, ἄνωθεν Ἀπόστολε Χριστοῦ, γλώσσαις καιναῖς αἷς μηδαμοῦ ἐφθέγξω, τοῖς τοῦ κόσμου πέρασι, διεκελεύσθης λαλεῖν, τὰ μεγαλεῖα αὐτοῦ.

Ὑπερεκπλήττει πάντα λογισμὸν, τὸ κήρυγμα, ὅπερ ἐσαλπίσατε τῇ γῇ, Μῦσται Χριστοῦ, καὶ θεωροὶ τῶν ἄνω, ὅτι μόνοι δώδεκα, τὰς μυριάδας τῆς γῆς, κατεφωτίσατε.

Ἐθαυμαστώθη Δέσποτα Χριστὲ, ἡ χάρις σου, ἐν τοῖς θεοσόφοις Μαθηταῖς, ὅτι μικροὶ καὶ ἰδιῶται ὄντες, πᾶσαν γῆν διέδραμον, ἀπὸ τῶν ἄκρων αὐτῆς, ἕως περάτων πάντων.

Τί τὸ διδάξαν οὕτως σὲ λαλεῖν, Ἀπόστολε; τί τὸ καταλάμψαν σου τὸν νοῦν, βλέπειν τρανῶς τῆς ἀπροσίτου δόξης, τὴν αὐγὴν τὴν λάμψασαν, τῆς ἀληθείας τὸ φῶς, ἐν ταῖς καρδίαις ἡμῶν; Δόξα.

Τριαδικῶς ὑμνήσωμεν πιστοὶ, δοξάζοντες, ἄναρχον Πατέρα καὶ Υἱὸν, Πνεῦμα εὐθὲς, μοναδικὴν οὐσίαν μίαν. ἣν τρισσῶς ὑμνήσωμεν· Ἅγιος, ἅγιος, ἅγιος εἶ, εἰς τοὺς αἰῶνας. Ἀμήν. Καὶ νῦν.

Ὡς τῆς Τριάδος ἔνα σε Χριστὲ, δοξάζομεν, ὅτι ἐκ Παρθένου σαρκωθεὶς, δίχα τροπῆς ἀνθρωπικῶς πάντα ἠνέσχου, μὴ ἐκστὰς τῆς φύσεως, τῆς πατρικῆς Ἰησοῦ, εἰ καὶ ἠνώθης ἡμῖν. Καταβασία.

Οἱ Παῖδες εὐσεβείᾳ συντραφέντες.

Ὠδὴ, η'. Ὁ Εἱρμός.

„Ὃν φρίττουσιν Ἄγγελοι, καὶ πᾶσαι στρα-
„τιαὶ, ὡς Κτίστην καὶ Κύριον, ὑμ-
„νεῖτε Ἱερεῖς, δοξάσατε Παῖδες, εὐλο-
„γεῖτε λαοὶ, καὶ ὑπερυψοῦτε, εἰς πάντας
„τοὺς αἰῶνας.

Σαρ-

Σαρκοῦται ὁ ἄσαρκος, ἐκ σοῦ θεοπρεπῶς. ὃν αἴτησαι Παράγγε, τὰ πάθη τῆς ἐμῆς, ψυχῆς θαματῶσαι, καὶ ζωῶσαι αὐτὴν, νεκρωθεῖσαν πάλαι, κακίστῃ ἁμαρτίᾳ.

Τάσω τὸ σύντριμμα, Ἀδὰμ τοῦ χοϊκοῦ, Σωτῆρα κυήσασα, Παράχραντε Θεόν. αὐτὸν ἐκδυσώπει, τὰς πληγὰς τῆς ἐμῆς, ψυχῆς θεραπεῦσαι, αἰνίατα νοσούσης.

Ἀνάστησον κείμενον, εἰς βάθη με κακῶν. τοὺς νῦν πολεμοῦντάς με, πολέμησον ἐχθρούς. τρωθέντα ἀτόποις ἡδοναῖς τὴν ψυχὴν, Ἁγνὴ μὴ παρίδῃς, ἀλλ' οἴκτειρον, καὶ σῷσον.

Τάτρευσον ἄχραντε, τὰ πάθη τῆς ἐμῆς, καρδίας κυήσασα, τὸν πάντων ἰατρὸν, καὶ τῆς τῶν δικαίων δεῖξον μέτοχον, Παρθένε μερίδος, Χριστὸν ἐκδυσωποῦσα.

Ἄλλος. Ἐν καμίνῳ Παῖδες.

Φωτοφόρος καὶ εὐφραντικὴ, ἀκτῖνας ἰαμάτων, Ἀνδρέα Χριστοῦ Ἀπόστολε, ἐκλάμπουσα ἡμῖν ἡ εὔθεος μνήμησου, τοῖς βοῶσι· πάντα τὰ ἔργα Κυρίου, τὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Ἀνθρωπίνης φύσεως λαχὼν, τοὺς ταύτης ὑπερέβης, θεσμοὺς καὶ πρὸς τὴν Ἀγγέλων μεταβέβηκας σκηνὴν, Ἀνδρέα Ἀπόστολε, καὶ κραυγάζεις· πάντα τὰ ἔργα Κυρίου, τὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Ἡ ἐξ ὕψους Πνεύματος Θεοῦ, πνοήσε προεκπυρώσασα, Ῥήτορα Θεηγόρε, ἀναδείνυσι θερμὸν, βοῶντα Ἀπόστολε τῷ Χριστῷ σου· πάντα τὰ ἔργα Κυρίου, τὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Φεγγοβόλος ὥσπερ ἀστρατὴ, εἰς φῶς ἐθνῶν ἐξῆλθες, τὸ σκότος τῆς ἀγνωσίας, ἐκδιώκων καὶ πιστοὺς, φωτίζων κραυγάζοντας· εὐλογεῖτε, πάντα τὰ ἔργα Κυρίου, τὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Θεοτοκίον.

Τὴν ἀσπόρως καὶ ὑπερφυῶς, ἐξ ἀστραπῆς τῆς θείας, τεκοῦσαν τὸν μαργαρίτην, τὸν πολύτιμον Χριστὸν, ὑμνήσωμεν ἅπαντες, ἐκβοῶντες· πάντα τὰ ἔργα Κυρίου, τὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Ἄλλος. Τὸν ἐν Σινᾷ τὴν βάτον.

Τῇ τέχνῃ τῆς ἁλείας, ἐκ θαλάσσης ἤχρευσας ἰχθύας πάνσοφε, νῦν δὲ τῇ πίστει, ἀνθρώπους σαγηνεύεις Χριστῷ, ἐκ πλάνης τοῦ ἐχθροῦ. βυθὸς γὰρ ἦν ἡ πλάνη ποτὲ, βυθίζων τὰ ἔθνη, τῇ ζάλῃ τῆς ἀγνοίας.

Τὸν νοητὸν τοῦ βίου, ἀκυμάντως ἐπλεύσας βυθὸν Ἀπόστολε, διαπετάσας, τῷ ἱστίῳ τοῦ Πνεύματος, τῇ πίστει τοῦ Χριστοῦ. διὸ καὶ εἰς λιμένα ζωῆς, κατήντησας χαίρων, εἰς πάντας τοὺς αἰῶνας.

Τοῦ νοητοῦ Ἡλίου, ἐπὶ ξύλου δυνάντος αὐτεξουσίῳ βουλῇ, ὁ τοῦ ἡλίου φωστὴρ συναναλύσαι ζητῶν, καὶ δυῦναι εἰς Χριστὸν, ἐν ξύλῳ ἐκρεμάσθη Σταυροῦ, Ἀνδρέας ὁ μέγας, λαμπτὴρ τῆς Ἐκκλησίας.

Ὦ μαθητὰ καὶ φίλε, τοῦ Χριστοῦ καὶ σύμψηφε τῶν Ἀποστόλων αὐτοῦ, ὅταν ἐν θρόνῳ, κάθηται Κριτὴς σὺν ὑμῖν, τοῖς δώδεκα κρίναι, ὡς ἡ ἐπαγγελία φησὶ, γένοισθε τότε ἡμῖν, φιλανθρωπίας τεῖχος.

Δόξα.

Τριοσοφαῆ Μονάδα, καὶ Τριάδα σύνθρονον δοξολογήσωμεν, οὐ διαιροῦντες, ἑνοῦντες δὲ αὐτὴν συμφυῶς, ὡς μίαν ἀληθῶς, οὐσίαν ἡνωμένην, ἐν προσώποις τρισὶν, οὐ συναλοιφομένην.

Καὶ νῦν.

Τὸν τῆς Τριάδος ἐνὰ, συλλαβοῦσα τέτοκας σεσαρκωμένον ἐκ σοῦ, καινοτομοῦντα, τοὺς νόμους τοὺς τῆς φύσεως, τῷ τόκῳ σου Ἁγνή. αὐτὸν ὑπὲρ ἡμῶν ὡς Θεὸν, ἀεὶ δυσωποῦσα, μὴ πάυσῃ Θεοτόκε.

Καταβασία.

Θαύματος ὑπερφυοῦς ἡ δροσοβόλος.

Ὠδὴ, θ'. Ὁ Εἱρμός.

„ Τὴν φωτοφόρον νεφέλην, ἐν ᾗ ὁ πάν-
„ των Δεσπότης, ὡς ὑετὸς ἐξ Οὐρα-
„ νοῦ, ἐπὶ πόκον κατῆλθε, καὶ ἐσαρκώθη
„ δι' ἡμᾶς, γενόμενος ἄνθρωπος, ὁ ἄναρ-
„ χος, μεγαλύνωμεν πάντες, ὡς Μητέρα
„ τοῦ Θεοῦ ἡμῶν ἁγνήν.

Φιλα-

Φιλομαρτήμων ὑπάρχων, ἐν ἀμελείᾳ διάγω, καὶ τὸ κριτήριον Ἁγνὴ, τὸ ἀδέκαστον τρέμω, ἐν ᾧ με τήρησον ταῖς σαῖς, ἁγίαις δεήσεσι, Θεόνυμφε, ἀκατάκριτον ὅπως, ὡς προστάτιν μακαρίζωσε ἀεί.

Φρίττω τὸ βῆμα Παρθένε, καὶ τὸ ἀλάθητον ὄμμα, τοῦ σοῦ Υἱοῦ πράξεις αἰσχρὰς, ἐπὶ γῆς ἐκτελέσας. καὶ διὰ τοῦτό σοι βοῶ· παρεύσπλαγχνε Δέσποινα, βοήθειμοι, καὶ τῆς τότε ἀνάγκης, ἐξελοῦ με καὶ διάσωσον Ἁγνή.

Ὡς φοβερὰ ἡ ἡμέρα, τῆς ἐξετάσεως Κόρη, ὡς ἡ ἀπόφασις φρικτὴ, ὡς δεινὴ ἡ αἰσχύνη. τίς ὑποστήσεται λοιπόν; παράχρανε Δέσποινα, ἐλέησον, τὴν ἀθλίαν ψυχήν μου, καὶ πρὸ τέλους δός μοι ἄφεσιν Ἁγνή.

Φῶς ἡ τεκοῦσα τὸ θεῖον, ἐσκοτισμένον με πάσαις, ταῖς προσβολαῖς τοῦ πονηροῦ, καὶ κακίαις ἁπάσαις, καὶ παροργίζοντα Θεὸν, Παράμωμε φώτισον, ὁδηγοῦσα, πρὸς καλὰς ἐργασίας, ὡς αἰτία οὖσα πάντων τῶν καλῶν.

Ἄλλος. Τύπον τῆς ἁγνῆς λοχείας σου.

Οἷα φοιτητὴς παράριστος, τοῦ τῷ Σταυρῷ βουλήσει προσομιλήσαντος, τῷ Δεσπότῃ σου μέχρι θανάτου ἑπόμενος, ἀνελήλυθας χαίρων εἰς ὕψος Σταυροῦ, στελλόμενος πορείαν, πρὸς Οὐρανοὺς μάκαρ Ἀπόστολε.

Πύλη τῆς Ἐδέμ σοι ἠνοίκται, καὶ προσετέθη κλίμαξ ἡ ἐπουράνιος, καὶ ἐδέξαντο τῶν Οὐρανῶν τὰ σκηνώματα, καὶ παρέστηκας χαίρων Ἀπόστολε, Χριστῷ τῷ ζωοδότῃ, ὑπὲρ τοῦ Κόσμου πρέσβυς ἄριστος.

Ἴσοις ἐδοξάσθης πάθεσι, τοῦ Διδασκάλου μάκαρ Ἀνδρέα πάνσοφε. διὰ Σταυροῦ γὰρ τὸ θεῖον τέλος ἀπείληφας, καὶ μεθέξει Θεὸς ἐχρημάτισας. διόσε δυσωποῦμεν, ὑπὲρ ἡμῶν ἀεὶ ἱκέτευε.

Χαίροις ξυνωρὶς παράριστος, ἐν Οὐρανοῖς λαχοῦσα, νῦν τὸ πολίτευμα, ἐποπτεύοις τε τῶν ὑμνητῶν τὴν προαίρεσιν, ἑαυτῶν ἐκνικῶσα τὴν δύναμιν, καὶ θείων χαρισμάτων, καταγλαΐζουσα λαμπρότησιν.

Θεοτοκίον.

Ῥίζεις ἐκ Δαβὶδ ἐβλάστησας, προφητικῆς Παρθένε καὶ Θεοπάτορος. ἀλλὰ καὶ Δαβὶδ ὡς ἀληθῶς σὺ ἐδόξασας, ὡς τεκοῦσα τὸν προφητευόμενον, τὸν Κύριον τῆς δόξης. ὃν ἐπαξίως μεγαλύνομεν.

Ἄλλος. Τὴν φωτοφόρον νεφέλην.

Ὁ τὴν σαγήνην ἁπλώσας, τῆς μυστικῆς θεωρίας, καὶ ὡς ἰχθύας ἐν αὐτῇ, σαγηνεύσας τὰ κάλλη, τῶν οὐρανίων ἐννοιῶν, ἱκέτευε Ἅγιε, τὴν Ἁγίαν Τριάδα, τοῦ πηγάσαι καὶ ἡμῖν τὸν ἱλασμόν.

Εὐχαριστοῦμεν τὰ ἔθνη, τὰ διὰ σοῦ φωτισθέντα, καὶ ἀπὸ γῆς εἰς Οὐρανοὺς, διὰ σοῦ ἀναχθέντα. τῆς γὰρ λατρείας τοῦ ἐχθροῦ, ἐκστάντες γεγόναμεν συμμέτοχοι, τῶν Ἁγίων Ἀγγέλων, τοῦ Κυρίου τε τῆς δόξης κοινωνοί.

Ὧν ἀπορρήτων αὐτόπται, καὶ ὑπηρέται τοῦ Λόγου, μυσταγωγοὶ καὶ θεωροὶ, τῶν ἀνεξιχνιάστων, συγκληρονόμους καὶ ἡμᾶς, γενέσθαι δεήθητε Ἀπόστολοι, τῆς Χριστοῦ Βασιλείας, καὶ μετόχους τῆς Θεότητος αὐτοῦ.

Δεσμεῖν καὶ λύειν λαβόντες, παρὰ Χριστοῦ ἐξουσίαν, λύσατε πάντας τῶν δεσμῶν, τῶν πολλῶν ἐγκλημάτων, ὅταν ἐλεύσεται Χριστὸς, καὶ πάντες καθήσεσθε οἱ δώδεκα, ἐπὶ θρόνοις τοσούτοις, κρίναι πάσας, τὰς φυλὰς τοῦ Ἰσραήλ.

Δόξα.

Τὴν τρισυπόστατον Φύσιν, καὶ ἀδιαίρετον δόξαν, τὴν ἐν Θεότητι μιᾷ, ὑμνουμένην ἀπαύστως, ἐν οὐρανῷ καὶ ἐπὶ γῆς, Τριάδα ἀχώριστον δοξάσωμεν, σὺν Υἱῷ τὸν Πατέρα καὶ τὸ Πνεῦμα, προσκυνοῦντες εὐσεβῶς.

Καὶ νῦν.

Ὑπὸ τὴν σὴν εὐσπλαγχνίαν, τοὺς καταφεύγοντας πίστει, καὶ προσκυνοῦντας εὐσεβῶς, τὸν Υἱόν σου Παρθένε, Θεογεννήτωρ ὡς Θεὸν, τοῦ Κόσμου καὶ Κύριον ἱκέτευε, ἐκ φθορᾶς καὶ κινδύνων λυτρωθῆναι, καὶ παντοίων πειρασμῶν.

Καταβασία.

Μυστήριον ξένον ὁρῶ καὶ παράδοξον.

Ἐξαποστειλάριον.

Ἐν

Ἐν Πνεύματι τῷ Ἱερῷ.

Ὁ Λόγος ὁ προάναρχος, εὐρηκώς σε παμμάκαρ, Πρωτόκλητον ἀνέδειξε, πάντων τῶν Ἀποστόλων, Ἀνδρέα πανοίδιμε, καὶ τοῖς τούτου ἴχνεσιν, ἑπόμενος ἀνεδείχθης, ὁδηγὸς πλανωμένων, πρὸς οὐράνιον αὐτοὺς, ἀνάγειν θείαν πορείαν.

Ἕτερον. Γυναῖκες ἀκουτίσθητε.

Τοῦ Πέτρου τὸν συναίμονα, τῶν Μαθητῶν τὸν πρώτιστον, αὐτόπτην καὶ ὑπηρέτην, γενόμενον τὸν τοῦ Λόγου, Ἀνδρέαν τὸν Ἀπόστολον, ἐνδόξως εὐφημήσωμεν. τὰ ἔθνη γὰρ ἐφώτισε, καὶ σταυρωθεὶς τελειοῦται, ὡς Μαθητὴς τοῦ Δεσπότου.

Θεοτοκίον. Ὁμοιον.

Θεὸν ὅνπερ ἐγέννησας, Παρθένε παναμώμητε, ἱκέτευε ὑπὲρ πάντων, τῶν εὐσεβῶς σε τιμώντων, σὺν τῷ κλεινῷ Ἀνδρέᾳ τε, τυχεῖν θείας ἐλλάμψεως, τοῦ σοῦ Υἱοῦ καὶ στάσεως, τῶν ἐκλεκτῶν καὶ Ἁγίων. καὶ γὰρ ἰσχύεις ὡς θέλεις.

Εἰς τοὺς Αἴνους, Πᾶσα πνοή. ἱστῶμεν π. δ'. καὶ ψάλλομεν π. ἦχος, α.

Τῶν οὐρανίων ταγμάτων.

Βηθσαϊδὰ νῦν ἀγάλλου. ἐν σοὶ γὰρ ἤνθησαν, ἐκ μυστικῆς λιβάδος, εὐωδέστατα κρίνα, Πέτρος καὶ Ἀνδρέας, Κόσμῳ παντὶ, τὸ τῆς πίστεως κήρυγμα, εὐωδιάζοντες χάριτι τοῦ Χριστοῦ, οὗ καὶ τὰ πάθη ἐκοινώνησαν.

Ἀνδρέα χαῖρε καὶ σκίρτα, ὅτι ἐδέξω σαφῶς, ἐν τῇ τοῦ Λόγου λάμψει, τὸν Ἥλιον τῆς δόξης, Χριστὸν τὸν ζωοδότην, ὃν καὶ κρατῶν, ἐν τῇ πίστει ἐκήρυξας. τοῦτον δυσώπει ἀπαύστως ὑπὲρ ἡμῶν, τῶν ἐν πίστει ἀνυμνούντων σε.

Ὁ μυστολέκτης τῆς θείας, οἰκονομίας Χριστοῦ, ὁ ἐκλεχθεὶς ἐν πρώτοις, μαθητεῦσαι τῷ Λόγῳ, Ἀνδρέας ὁ Θεόπτης, ἐβόα φησὶ, τὸν συναίμονα Πέτρον ἰδών. εὑρήκαμεν τὸν Μεσσίαν ὃν ἡ Γραφὴ, καὶ οἱ Προφῆται προεκήρυξαν.

Ἡ τῶν Πατρέων σε πόλις, Ποιμένα κέκτηται, καὶ πολιοῦχον θεῖον, καὶ κινδύνων παντοίων, ῥύστην καὶ φρουρόν σε, Ἀνδρέα σοφὲ, εὐχαρίστως τιμῶσά σε. ἀλλ' ἐκδυσώπει ἀπαύστως ὑπὲρ αὐτῆς, διασώζεσθαι ἀλώβητον.

Δόξα ἰδιόμελον. ἦχος, πλ. Ἀνατολίου.

Οἱ δὲ, Ἀνδρέου Ἱεροσολυμίτου.

Τὸν Κήρυκα τῆς πίστεως, καὶ ὑπηρέτην τοῦ Λόγου, Ἀνδρέαν εὐφημήσωμεν. οὗτος γὰρ τοὺς ἀνθρώπους, ἐκ τοῦ βυθοῦ ἁλιεύει, ἀντὶ καλάμου τὸν Σταυρὸν, ἐν ταῖς χερσὶ διακρατῶν. καὶ ὡς σπαρτίον χαλῶν τὴν δύναμιν, ἐπανάγει τὰς ψυχὰς, ἀπὸ τῆς πλάνης τοῦ ἐχθροῦ, καὶ προσκομίζει τῷ Θεῷ, δῶρον εὐπρόσδεκτον. ἀεὶ τοῦτον πιστοὶ, σὺν τῇ χορείᾳ τῶν Μαθητῶν, τοῦ Χριστοῦ εὐφημήσωμεν. ἵνα πρεσβεύῃ αὐτῷ, ὅπως ἵλεως γενήσηται ἡμῖν, ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως.

Καὶ νῦν, ἦχος, ὁ αὐτος.

Ὑπόδεξαι Βηθλεὲμ, τὴν τοῦ Θεοῦ Μητρόπολιν. φῶς γὰρ τὸ ἄδυτον, ἐπὶ σὲ γεννῆσαι ἥκει. Ἄγγελοι θαυμάσατε ἐν Οὐρανῷ. ἄνθρωποι δοξάσατε ἐπὶ τῆς γῆς. Μάγοι ἐκ Περσίδος, τὸ τρισσόκλεον δῶρον προσκομίσατε. Ποιμένες ἀγραυλοῦντες, τὸν Τρισάγιον ὕμνον μελωδήσατε. Πᾶσα πνοὴ, αἰνεσάτω τὸν παντουργέτην.

Δοξολογία Μεγάλη, καὶ Ἀπόλυσις.

Εἰς τὴν Λειτουργίαν, Τυπικὰ, καὶ ἀπὸ τοῦ Κανόνος τοῦ Ἀποστόλου.

Ὠδὴ, γ'. καὶ ς'.

Κοινωνικόν. Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτοῦ, καὶ εἰς τὰ πέρατα τῆς Οἰκουμένης τὰ ῥήματα αὐτοῦ.

Τ Ε Λ Ο Σ.